συμφορᾶς μεμνημένη. τὸ γὰρ εἰς μέσον προθεῖναι τοιούτου βασιλέως ὑπόθεσιν καὶ τοσούτου πρὸς ἀρετὴν ἀνάμνησίς ἐστι καὶ τῶν κατ' ἐκεῖνον θαυμάτων, ἅπερ κἀμὲ πρὸς δάκρυα θερμότατα καταφέρει, μετὰ πάσης τῆς οἰκουμένης δακρυούσαν. τὸ γὰρ ἐκείνου μεμνῆσθαι καὶ τὴν αὐτοῦ βασιλείαν εἰς μέσον ἄγειν ἐμοὶ μὲν θρήνων ὑπόθεσις, τοῖς ἄλλοις δὲ ζημίας ἀνάμνησις. ἀρκτέον τοίνυν ἐνθένδε τῆς ἱστορίας τοὐμοῦ πατρός, ὅθεν καὶ ἄρχεσθαι ἄμεινον· ἄμεινον δὲ ὅθεν σαφέστερός τε καὶ ἱστορικώτερος ὁ λόγος γενήσεται.

que praeclara indole vitam in medium profero, redit etiam admirabilium eiusdem virtutum memoria, quae mihi lacrimas fervidissimas affert, toto terrarum orbe collacrimante. nam illius meminisse et imperii eius imaginem exhibere non solum mihi lamentandi causam praebet, verum etiam reliquos communis iacturae admonet. sed inchoanda historia patris mei hinc est, unde inchoare praestat; praestat autem, unde certior atque ad cognitionem aptior narratio futura est.

νήσειε, καὶ οὐκ αἰσθητικὴν μόνον, ἀλλὰ καὶ ἄψυχον φύσιν εἰς πάθος καταναγκάσῃ. τὸ μέντοι πάθος τὸ περὶ τὸν Καίσαρα καὶ ὁ κατ' αὐτὸν ἀνέλπιστος θάνατος αὐτῆς μου καθίκετο τῆς ψυχῆς καὶ ἐς βάθος τὸ τραῦμα εἰργάσατο. καὶ ἡγοῦμαι τὰς προειληφυίας συμφορὰς πρὸς ταύτην τὴν ἄπληστον συμφορὰν ψεκάδα ὡς ὄντως πρὸς ὅλον Ἀτλαντικὸν πέλαγος ἢ τοῦ Ἀδριατικοῦ πελάγους τὰ κύματα· μᾶλλον δέ, ὡς ἔοικεν, ἦσαν ἐκεῖναι τούτων προοίμια, καί με προκατελάμβανεν ὁ καπνὸς τοῦ καμιναίου τούτου πυρὸς καὶ ὁ καύσων ἐκεῖνος τῆς ἀρρήτου ταύτης φλογώσεως καὶ τὰ καθ' ἡμέραν πυρὸς τῆς ἀφάτου πυρκαϊᾶς. ὢ πυρὸς ἄνευ ὕλης ἀποτεφροῦντος, πυρὸς ἐν ἀπορρήτοις δᾳδουχουμένου καὶ
V. 4 καίοντος μέν, μὴ καταφλέγοντος δέ, καὶ τὴν καρδίαν μὲν περιφρύγοντος, δόξαν δὲ παρέχοντος, ὅτι οὐ συνεφρύγημεν, καίτοι μέχρις ὀστέων καὶ μυελῶν καὶ μερισμοῦ ψυχῆς τὰς πυρακτώσεις δεξάμενοι. ἀλλὰ γὰρ ἐμαυτῆς αἰσθάνομαι διὰ ταῦτα παρενηνεγμένης τοῦ προκειμένου, καὶ ὁ Καῖσάρ μοι ἐπιστὰς καὶ τὸ τοῦ Καίσαρος πένθος πένθος μοι ἐπέσταξε διωλύγιον. ἀποψήσασα οὖν τὸ δάκρυον τῶν ὀμμάτων καὶ
P. 8 ἐμαυτὴν ἀναλεξαμένη τοῦ πάθους, τῶν ἑξῆς ἕξομαι, διπλᾶ κατὰ τὴν τραγῳδίαν κερδαίνουσα δάκρυα, οἷον ἐπὶ συμφορᾷ

2. καταναγκάσαι? 6. ὄντας A, em. Hoeschel. 13. καρδία . . . . . περιφρ. A, suppl. Hoeschel. 18. τὸ : τῇ A, corr. Hoeschel. 19. ἀποψ . . . ασα A, suppl. Crusius.

e loco quidem ullo modo, nec ad arma pugnamve, sed ad lacrimas audientem commoveat, neque solum sensu praeditam, verum etiam inanimatam naturam ad misericordiam adigat. at vero ille de Caesare dolor et inopinata eius mors ipsum animum meum tetigit et altum vulnus inflixit. priora mala, huic ingenti casui collata, profecto guttae instar habeo ad totum Atlanticum Oceanum vel Adriatici maris fluctus. quinimo ea, ut videtur, huius miseriae prolusio fuit, meque ante corripuit fumus huius quasi fornacalis ignis, ardor ille infandae huius flagrantiae, atque immensi incendii flamma quotidiana. o ignem sine materia flagrantem, ignem arcana face subditum, et urentem quidem, non consumentem tamen, quique conficit plane cor nostrum, sed tamen ita, ut confecti non videamur, licet ad ossa medullasque flamma penetrarit et animam a corpore paene divellerit. at sentio me vi doloris ab eo, quod institui, abreptam esse. Caesaris enim recordatio luctuosa luctum mihi instillavit gravissimum. abstersis igitur lacrimis animoque revocato a moestitia, in viam redeam, duplices, ut in tragoedia est, lacrimas lucrans, quippe quae uni miseriae mentionem alterius addam. nempe cum talis imperatoris tam-

συμφορᾶς μεμνημένη. τὸ γὰρ εἰς μέσον προθεῖναι τοιούτου βασιλέως ὑπόθεσιν καὶ τοσούτου πρὸς ἀρετὴν ἀνάμνησίς ἐστι καὶ τῶν κατ' ἐκεῖνον θαυμάτων, ἅπερ κἀμὲ πρὸς δάκρυα θερμότατα καταφέρει, μετὰ πάσης τῆς οἰκουμένης δακρύουσαν. τὸ γὰρ ἐκείνου μεμνῆσθαι καὶ τὴν αὐτοῦ βασιλείαν εἰς μέσον ἄγειν ἐμοὶ μὲν θρήνων ὑπόθεσις, τοῖς ἄλλοις δὲ ζημίας ἀνάμνησις. ἀρκτέον τοίνυν ἐνθένδε τῆς ἱστορίας τοὐμοῦ πατρός, ὅθεν καὶ ἄρχεσθαι ἄμεινον· ἄμεινον δὲ ὅθεν σαφέστερός τε καὶ ἱστορικώτερος ὁ λόγος γενήσεται.

que praeclara indole vitam in medium profero, redit etiam admirabilium eiusdem virtutum memoria, quae mihi lacrimas fervidissimas affert, toto terrarum orbe collacrimante. nam illius meminisse et imperii eius imaginem exhibere non solum mihi lamentandi causam praebet, verum etiam reliquos communis iacturae admonet. sed inchoanda historia patris mei hinc est, unde inchoare praestat; praestat autem, unde certior atque ad cognitionem aptior narratio futura est.

ΑΛΕΞΙΑΣ Α.

ALEXIADIS LIBER I.

ARGUMENTUM.

Alexius quatuordecim annos natus, Diogenis Romani contra Turcas expeditioni interesse cupit. sub Michaele Duca cum imperio ad Urselium debellandum proficiscitur (1). *is a Tutacho captus, Alexio traditur, qui Amasenos rogat, ut pactam proditionis mercedem solvant* (2). *turbas inde ortas callide componit Urseliumque Cpolin adducit* (3). *Nicephorus Bryennius imperium affectat. miserrimus status militiae romanae. Alexius ab imp. Nicephoro Botaniate contra illum mittitur* (4). *utriusque ducis comparatio. proelium ad Calauram* (5). *Bryenniani fusi, dux ipse capitur* (6). *Basilacio regnum itidem appetente, belli cura Alexio committitur* (7). *proelium nocturnum* (8). *Basilacius Thessalonicam fugit, ubi paullo post Alexio deditus, a Botaniatae ministris excaecatur. Alexius Sebasti titulo auctus* (9). *Robertus Normannus bellum adversus Romanos molitur. eiusdem patria, genus, mores* (10). *e latrone fit gener Gulielmi Mascabelis, quem in vincula missum oculis privat* (11). *eius ditione potitus, dux fit Longibardiae atque ipsum imperium appetit. ne belli causa deesset, Pseudomichaelem monachum subornat* (12). *papa cum Henrico Germaniae rege dissidens, foedus cum Roberto init* (13). *eius filius Boëmundus Aulonem occupat. interim ipse naves et milites parat* (14). *Raul legatus Cpoli reversus bellum dissuadet* (15). *tamen Robertus Brundusio Dyrrachium solvit. Corypho urbs capta. Georgius Monomachatus, dux Illyrici, Alexio rerum iam potito auxilia denegat* (16).

P. 3 1. Ὁ βασιλεὺς Ἀλέξιος καὶ ἐμὸς πατὴρ καὶ πρὸ τοῦ τῶν
V. 7 σκήπτρων ἐπειλῆφθαι τῆς βασιλείας μέγα ὄφελος τῇ βασι-

ΑΛΕΞΙΑΣ Α om. A. 1. Ὁ om. A.

1. Imperator Alexius, pater meus, etiam ante susceptum imperium magno rebus Romanis praesidio fuit. etenim stipendia facere

λείᾳ Ῥωμαίων γεγένηται. ἤρξατο μὲν γὰρ στρατεύειν ἐπὶ Ῥωμανοῦ τοῦ Διογένους. θαυμαστός τις γὰρ ἐφαίνετο ἐν τοῖς κατ' αὐτὸν καὶ φιλοκινδυνότατος. οὗτος γὰρ τεσσαρεσκαιδεκάτου ἔτους ὢν κατ' ἐκεῖνο καιροῦ συνεκστρατεύειν ἠπείγετο τῷ βασιλεῖ Διογένει κατὰ Περσῶν βαρυτάτην ἄγοντι στρατιάν, καὶ ἀπό γε τοῦδε ὁρμήματος ἀπειλὴν κατὰ τῶν βαρβά- B ρων ἐμφαίνων καὶ ὡς εἰ συμπλακήσεται τοῖς βαρβάροις, τὸ ξίφος αὐτοῦ μεθύσει ἀφ' αἵματος· οὕτως ἦν φιλοπόλεμος ὁ νεανίσκος. ἀλλὰ τότε οὐκ ἐπεχώρησεν ὁ αὐτοκράτωρ Διογένης αὐτῷ ξυνέπεσθαι, ἅτε πάθους καταλαβόντος τὴν μητέρα βαρυτάτου. ἐθρήνει γὰρ τὸ τηνικαῦτα θάνατον τοῦ πρωτοτόκου υἱοῦ Μανουήλ, ἀνδρὸς μεγάλα καὶ ἀξιάγαστα ἔργα ἐνδεδειγμένου τῇ τῶν Ῥωμαίων ἀρχῇ· καὶ ἵνα μὴ ἀπαραμύθητος εἴη ἐκείνη, τὸν μὲν τῶν υἱέων μηκέτι γινώσκουσα οὗ κατορύξειε, τὸν δὲ ἀποστέλλουσα ἐν πολέμοις καὶ C δεδοικυῖα, μή τι ἀπαίσιον συναντήσῃ τῷ νεανίσκῳ καὶ οὐδ' οἷ γῆς πεσεῖται ἐπιγνώσεται, διὰ ταῦτα ὑποστρέψαι πρὸς τὴν μητέρα τὸ μειράκιον Ἀλέξιον κατηνάγκασε. καὶ τότε μὲν ἀπελείφθη καὶ ἄκων τῶν συστρατευομένων, ἀλλ' ὅ γε ἐφεξῆς καιρὸς πέλαγος ὑπανέῳξεν αὐτῷ τῶν ἀνδραγαθημάτων. ἐπεὶ γάρ τοι τοῦ βασιλέως Μιχαὴλ τοῦ Δούκα μετὰ τὴν τοῦ

1. γὰρ om. A. 2. τις add. G, θαυμαστόν τε γὰρ ἐγένετο A. 3. τεσσαρεσκαίδεκα ἐτῶν G, ἔτος τεσσαρεσκαιδέκατον γὰρ ἄγων A. 6. ὁρμήματος A, μηνίματος P, μήματος G. 8. αὐτοῦ om. G. 9. ἐπεχώρησεν G, ἐξεχώρησεν PA. 15. πολέμῳ G. 16. συναντήσῃ A, συναντίσοι P, συναντήσοι G. 20. τῶν add. A, αὐτῷ ἀνδραγαθησύνης G.

Diogene Romano imperante coepit. mire enim inter aequales excellebat et ad pericula promtissimus erat. namque decimum quartum eo tempore annum agens, imperatorem Diogenem, expeditionem in Persas gravissimam suscipientem, comitari cupiebat, vel hoc ipso desiderio terribilem barbaris animum prodens significansque, se, ubi pugnae copia foret, gladium sanguine eorum madefacturum esse. adeo flagrabat pugnandi cupiditate adolescens. verum tum ei non permisit imperator Diogenes, ut se comitaretur; quippe matrem Alexii dolor afflixerat gravissimus. lugebat enim ea tum casum filii natu maximi Manuelis, qui rebus praeclare gestis de imperio Romano optime meruerat. itaque ne omni solatio mater destitueretur, si filiorum alterum ubi sepeliret adhuc incerta, alterum in proelia dimittere vererique deberet, ne quid ei accideret et, ubi locorum periisset, ne resciseret quidem: eam igitur ob causam Diogenes Alexium puerum ad matrem redire coegit. ac tum quidem is, licet invitus, commilitones valere iussit; tempus autem insequens amplissimum ei campum

Διογένους βασιλέως καθαίρεσιν, ὅσος ἦν εἰς ἀνδρείαν, παρέδειξε τὰ κατὰ τὸν Οὐρσέλιον πράγματα. ἦν μὲν γὰρ οὗτος D Κελτὸς ἀνέκαθεν τῇ στρατιᾷ Ῥωμαίων κατειλεγμένος, εἰς δὲ μέγα τύχης ἐξογκωθεὶς καὶ δύναμιν συναθροίσας ἀμφ' αὐτὸν καὶ στρατιὰν ἀξιόλογον, τῶν μὲν ἐκεῖθεν ὄντων ὅθεν καὶ αὐτὸς ὥρμητο, τῶν δὲ καὶ ἐξ ἄλλου γένους παντοδαποῦ, βαρὺς ἦν αὐτόθεν τύραννος· πολλὰς δὲ ταλαντεύσεις λαβούσης τῆς τῶν Ῥωμαίων ἡγεμονίας καὶ τῶν Τούρκων καθυπερτερησάντων τῆς τύχης Ῥωμαίων, τῶν δὲ εἰς τὸ κατόπιν ὑπαχθέντων, ὥσπερ ψάμμου ποδῶν ὑποσπασθείσης, τηνι- P. 4 καῦτα καὶ οὗτος τῇ βασιλείᾳ Ῥωμαίων ἐπέθετο. καὶ ἄλλως μὲν ὢν τυραννικώτατος τὴν ψυχήν, τότε δὲ καὶ μᾶλλον ἐξαφθεὶς πρὸς καθαρὰν τυραννίδα διὰ τὸ κατηφὲς τῶν τῆς βασιλείας πραγμάτων, τὰ τῆς ἑῴας πάντα σχεδὸν ἐληΐσατο. πολλῶν δὲ πιστευθέντων τὸν μετ' αὐτοῦ πόλεμον ἐπ' ἀνδρείᾳ διαβεβοημένων καὶ πεῖραν εἰσενεγκαμένων πλείστην πολέμου καὶ μάχης, οὗτος ὑπερπαίων ἐφαίνετο καὶ τὴν ἐκείνων πολυπειρίαν, πῇ μὲν αὐτὸς προσβάλλων καὶ τρέπων καὶ καθάπερ πρηστὴρ ἐμπίπτων τοῖς ἀντικαθισταμένοις αὐτῷ, πῇ δὲ καὶ συμμαχίαν λαμβάνων ἀπὸ τῶν Τούρκων. ἀνυπόστατος ἦν ταῖς ὁρμαῖς, ὥστε καὶ τῶν πάνυ μεγιστάνων τινὰς κατα- B σχεῖν καὶ τὰς ἐκείνων κλονῆσαι φάλαγγας. ὅτε δὴ καὶ ὑπὸ

8. τῶν ante Τούρκων om. A. 10. ὥσπερ: ὑπὲρ P. 11. τῶν Ῥωμαίων G. 17. αὐτὸς P.

aperuit rerum bene gerendarum. nam Michaele Duca post remotum Diogenem imperante, quanta esset fortitudine, rebus in Urselium editis probavit. is, Gallus genere, in Romanorum exercitu olim militaverat, sed fortuna admodum elatus, copiis haud exiguis partim ex eadem gente, unde ipse oriundus erat, partim ex alia quavis natione collectis, gravem iam exercebat dominationem. ac Romanorum imperium vehementer vacillans, cum Turcae superiores essent et ipsi, tanquam arena sub pedibus fallente, retrorsum laberentur, etiam ab isto homine haud leviter lacessebatur; nam cum alioqui dominandi cupidissimus esset, tum propter imminentem imperii Romani ruinam ad capessendam tyrannidem magis etiam incensus, orientales provincias omnes fere infestabat. quique adversus eum missi erant viri bellica laude insignes reique militaris peritissimi, eos omnes longe superabat, cum nunc suis ipsius copiis fretus, turbinis instar eos invaderet inque fugam coniiceret, nunc Turcarum auxilio usus: sustinerique adeo eius vis non poterat, ut ex ipsis proceribus nonnulli caperentur, copiis eorum terga vertentibus. quo tempore pater quoque meus Alexius auspiciis fratris, qui universis tam Orientis quam

ταδέλφῳ ἐτάττετο ὁ ἐμὸς πατὴρ Ἀλέξιος καὶ ἄντικρυς ὑπε-
στρατήγει τούτῳ, τὰ στρατεύματα πάντα ἑῴας καὶ ἑσπερίου
λήξεως ἐγκεχειρισμένῳ. ἐπεὶ δὲ ἐν ἀμηχάνοις ἦν τὰ πράγματα
τηνικαῦτα Ῥωμαίοις, τοῦ βαρβάρου τούτου δίκην κεραυνοῦ τὰ
πάντα ἐπερχομένου, εἰς ἀξιόμαχον ἀντικατάστασιν ἐπινοεῖται
ὁ ἀξιάγαστος οὗτος Ἀλέξιος, στρατηγὸς αὐτοκράτωρ ὑπὸ τοῦ V. 8
βασιλέως Μιχαὴλ ἀναδεδειγμένος. ὃς δὴ καὶ πᾶσαν ἀνακι-
νήσας φρόνησίν τε καὶ πολυπειρίαν στρατηγικήν τε καὶ στρα-
τιωτικήν, καὶ ταῦτα οὐκ ἐν πολλῷ χρόνῳ ταύτην συλλεξάμε-
νος, (ἀλλὰ γὰρ διὰ τὸ πάνυ φιλόπονον τοῦ ἀνδρὸς καὶ τὸ παν-
ταχόθεν ἐγρηγορὸς εἰς ἄκρον ἐληλυθέναι στρατηγικῆς ἐμπει- C
ρίας τοῖς τῶν Ῥωμαίων λογάσιν ἔδοξεν, οἷος Αἰμίλιος ἐκεῖ-
νος ὁ Ῥωμαῖος, ὁποῖος ὁ Σκηπίων, οἷος Ἀννίβας ὁ Καρχη-
δόνιος· νεώτατος γὰρ ἦν καὶ ἄρτι πρώτως ὑπηνήτης, ὅ
φασι,) τόν τε Οὐρσέλιον ἐκεῖνον εἷλε τὸν πολὺν κατὰ τῶν
Ῥωμαίων ῥέοντα καὶ τὰ πράγματα τῆς ἕω κατέστησεν, οὐ
πολλῶν δεηθεὶς ἡμερῶν. ἦν γὰρ καὶ ὀξὺς φωρᾶσαι τὸ ξυμ-
φέρον καὶ ὀξύτερος καταπράξασθαι· τίνα δὲ τὸν τρόπον
εἷλεν ἐκεῖνον, δηλοῖ μὲν καὶ ὁ Καῖσαρ ἐν τῇ δευτέρᾳ τῆς
κατ' αὐτὸν ἱστορίας βίβλῳ πλατύτερα, δηλώσομεν δὲ καὶ
ἡμεῖς, ἐφ' ὅσον εἰς τὴν καθ' ἡμᾶς ἱστορίαν συνήνεγκεν.

2. Ἄρτι γὰρ τοῦ βαρβάρου Τουτὰχ ἐκ τῶν βαθυτέρων D

1. ἐπεστρατήγει A. 7. καὶ om. A. 10. τὸ ante πανταχόθεν add. A. 12. Αἰμύλιος A. 20. πλατύτερον GA.

Occidentis exercitibus praeerat, militabat ac plane legati munere fungebatur. iam vero cum res Romana in tali discrimine esset, barbaro isto omnia fulminis pernicitate incursante, ad eum fortiter propulsandum eligitur praeclarus ille Alexius summusque exercitus dux ab imperatore Michaele declaratur. adhibita igitur omni animi sollertia et rei bellicae experientia, quam et militando et imperando, licet non ita longo tempore, nactus erat summam, (etenim mira animi alacritate et industria effecerat, ut perfectam imperatoris facultatem primoribus Romanorum consecutus videretur, quemadmodum Romanus ille Aemilius vel Scipio vel Hannibal Carthaginiensis, licet admodum adolescens et vix barbatulus esset,) Urselium istum, Romanorum fines magna vi incursantem, paucorum dierum spatio cepit Orientemque pacavit. erat enim ad ea, quae opus erant, perspicienda promptus, promptior ad eadem perficienda. sed qua Alexius ratione eum ceperit, tum Caesar secundo historiae suae libro narravit fusius, tum nos quoque, quatenus ad nostram id historiam pertinere videtur, narrabimus.

2. Moverat enim Tutachus barbarus ex interioribus Orientis

τῆς ἀνατολῆς μερῶν κατεληλυθότος μετὰ βαρυτάτου στρατεύματος, ἐφ' ᾧ τὰ τῶν Ῥωμαίων ληΐζεσθαι, ὁ Οὐρσέλιος πολλάκις ὑπὸ τοῦ στρατοπεδάρχου στενοχωρούμενος καὶ ἄλλα ἐπ' ἄλλοις φρούρια ἀφαιρούμενος, καίτοι στρατιὰν πολλὴν ἐπαγόμενος καὶ πάντας λαμπρῶς καὶ γενναίως καθωπλισμένους, εὐμηχανίᾳ παρὰ πολὺ ἡττᾶτο τοὐμοῦ πατρὸς Ἀλεξίου. τέως δ' οὖν ἐπ' ἐκεῖνο καταφυγεῖν ἔδοξεν. τελευταῖον τοῖς πᾶσιν ἐξαπορούμενος ξυμμίγνυσι τῷ Τουτὰχ καὶ φίλον ποιεῖται
P. 5 καὶ εἰς συμμαχίαν αὐτὸν καταλιπαρεῖ. ἀλλ' ὁ στρατοπεδάρχης Ἀλέξιος ἀντιστρατηγεῖται πρὸς ταῦτα καὶ ὀξύτερον οἰκειοῦται τὸν βάρβαρον, καὶ ἐπισπᾶται πρὸς ἑαυτὸν καὶ λόγοις καὶ δώροις καὶ πᾶσι τρόποις καὶ μηχανήμασιν. ἦν γὰρ εἴπερ τις ἄλλος ἐφευρετὴς καὶ πόρους ἐν τοῖς ἀπορωτάτοις ξυμμηχανώμενος. ὁ γοῦν δυνατώτατος αὐτῷ τῶν τρόπων τοιοῦτός τις ἦν, ὡς ἐν τύπῳ εἰπεῖν, δεξιώσασθαι τὸν Τουτάχ· καί φησι "φίλοι μὲν ἄμφω ἀλλήλοις ὅ τε σὸς σουλτάνος καὶ ἐμὸς βασιλεύς. ὁ δὲ βάρβαρος οὗτος Οὐρσέλιος καὶ πρὸς ἄμφω ἀν-
B ταίρει τὰς χεῖρας, καὶ ἐχθρὸς καὶ ἀμφοτέροις καθίσταται φοβερώτατος, ἐκείνου μὲν κατατρέχων καὶ ἀεί τι τῆς μερίδος Ῥωμαίων κατὰ μικρὸν ὑποσπώμενος, ἀποστερίσκων δὲ τῆς Περσίδος ἅπερ ἂν καὶ ἐξῆν κἀκείνῃ περιγενέσθαι. τέχνῃ δὲ τὸ ἅπαν μετέρχεται, νῦν μὲν ἐμὲ παρασκιάζων διὰ τῆς σῆς

7. lege ἐκεῖνον. 20. τῆς Περσίδος A, τῇ Περσίδι PG. 21. καὶ om. A. lege ἀποστ. δὲ καὶ τῆς Π. ἅ. ἂν ἐξῆν. περιγενέσθαι: an παρελέσθαι? 22. ἐπέρχεται P. παρασκιάζων: an ἀποσκευάζων? vid. annot.

partibus cum exercitu validissimo, Romanorum fines populandi causa. interim Urselius saepe ab Alexio in angustias redactus est et, aliis atque aliis privatus castellis, quamvis magna et idonea militum copia instructus, consiliis patris mei Alexii longe inferior apparuit. itaque dudum confugere ad Tutachum meditatur; tandem rebus destitutus omnibus, adit barbarum eiusque amicitia comparata, ut foedus secum iniret, enixe rogat. cui consilio Alexius imperator occurrens, animum Tutachi praeoccupat inque partes suas verbis, donis, modis denique et artibus omnibus eum trahit. erat enim, si quis alius, consilii plenus ac facile se ex angustiis vel difficillimis expedire poterat. quae autem ad Tutachi gratiam conciliandam ratio plurimum valuit, ea eiuscemodi fere fuit. "amicitiam, inquit, inter se colunt tuus sultanus et imperator meus. barbarus vero hic Urselius vim utrique intentat et animo adversus ambos infestissimo est. nam et illius regiones vastat Romanumque imperium paulatim carpit, et Persidi detrahit quaecunque etiam hic rapere licet. callide autem totam rem aggreditur. siquidem nunc me amoliri studet adiutore te, mox, ubi occasio

δυνάμεως, αὖθις δὲ τοῦ καιροῦ τούτῳ συμπνεύσαντος, ἀφέμενος ἐμοῦ ὡς ἤδη ἐν ἀκινδύνῳ καθεστηκώς, πάλιν ἐξ ὑποστροφῆς κατὰ σοῦ ἀρεῖται τὰς χεῖρας. ἀλλ' εἴ τι ἐμοὶ πείθῃ, ἐπειδὰν καὶ αὖθις ἐλεύσεται πρὸς ὑμᾶς, χρημάτων πολλῶν κρατῆσαι τὸν Οὐρσέλιον καὶ πρὸς ἡμᾶς ἐξαποστεῖλαι δεσμώτην. τρία C γάρ ἐντεῦθεν" φησι "κερδανεῖς, ἓν μὲν χρημάτων πλῆθος ὅσον καὶ οἷον οὐδείς πω πρότερον, ἕτερον δὲ τὴν εὔνοιαν τοῦ αὐτοκράτορος συνεπισπάσῃ, ἀφ' οὗπερ εἰς ἄκρον εὐδαιμονίας φθάσεις ἐληλυθώς, τρίτον δὲ ὅτι καὶ ὁ σουλτάνος τὰ μεγάλα ἡσθήσεται, ἐχθροῦ τηλικούτου ἐκποδὼν γεγονότος καὶ τὰς χεῖρας V. 9 ἀσκοῦντος καθ' ἑκατέρων κατά τε Ῥωμαίων καὶ Τούρκων." ταῦτα διαπρεσβευσάμενος πρὸς τὸν ἄνωθεν εἰρημένον Τουτὰχ ὁ ἐμὸς πατὴρ καὶ τῆς Ῥωμαϊκῆς στρατιᾶς ἀρχηγὸς κατ' ἐκεῖνο καιροῦ, καὶ ἅμα καὶ ὁμήρους πέμψας τῶν ἐνδοξοτάτων τινὰς ἐπὶ συγκειμένῳ χρόνῳ καὶ χρημάτων ποσότητι, πείθει τοὺς ἀμφὶ τὸν Τουτὰχ βαρβάρους κατασχεῖν τὸν Οὐρσέλιον. D καὶ τούτου ταχὺ γεγονότος, ἀποστέλλεται εἰς Ἀμάσειαν τῷ στρατοπεδάρχῃ. ἀλλ' ἐντεῦθεν ἐχρονοτρίβει τὰ χρήματα· αὐτὸς μὲν γὰρ οὐκ εἶχεν ὁπόθεν ἀποπληρώσειε, τὰ δ' ἐκ βασιλέως ἠμέλητο· καὶ οὐχ ὅτι βραδεῖ ποδὶ κατὰ τὴν τραγῳδίαν ἔστιχεν, ἀλλ' οὐδαμοῦ κατεφαίνετο. οἱ μὲν γὰρ ἀμφὶ τὸν Τουτὰχ ἐνέκειντο, τὸν τῶν χρημάτων ἀπαιτοῦντες ὄγκον ἢ τὸν ἐωνημένον ἐξόπισθεν λαμβάνειν καὶ παλινδρομεῖν ἐᾶν

9. καὶ om. P. 14. καὶ alterum om. A. 17. πέμπεται A.
20. οὐχ ὅτι A, οὐκ ἐπὶ PG. 21. μὲν γὰρ : δὲ A.

obvenerit, me omisso, utpote ab hac parte iam securus, rursus in te se convertet bellumque tibi inferet. quare si me audis, cum iterum Urselius ad vos venerit, eum capies et magna mercede nobis vinctum trades. inde tria tibi commoda evenient; primum pecunias tibi parabis, quantas nemo lucratus est unquam; deinde gratiam apud imperatorem inibis, a quo in summam felicitatem mox proveheris; postremo sultanus ipse magnopere laetabitur, sublato tam potenti hoste quique dudum arma exercet contra utrosque, Romanos atque Turcos." haec cum per legatos Tutacho pater meus exercitusque Romani dux significasset, obsidibus ex primorum civitatis numero missis, qui de pecunia suo tempore solvenda caverent, persuadet Tutacho barbaro Urselium capere. quo celeriter facto, mittitur is Amaseam ad imperatorem. sed iam pecunia desiderabatur, cum nec ipse unde solveret haberet, et imperator rem negligeret. neque etiam tardo, ut in tragoedia est, incedebat pede, sed plane nusquam apparuit pecunia. interim instabat Tutachus, ut aut pretium solveretur aut Urselius restitueretur et unde adductus fuisset, rediret. at ille

τοῦτον ὅθεν κατείληπτο· ὁ δὲ οὐκ εἶχεν ὅθεν ἀποδοίη τὴν P. 6 τοῦ ἐωνημένου τιμήν. τοῖς ὅλοις οὖν δι' ὅλης νυκτὸς ἐξαπορούμενος, ἐρανίσασθαι παρὰ τῶν οἰκητόρων Ἀμασείας ἐλογίσατο τὴν τιμήν. καὶ αὐγαζούσης ἡμέρας, κἂν ἀργαλέον ἐδόκει, ἀλλ' ὅμως συνεκαλεῖτο ἅπαντάς τε καὶ μᾶλλον τοὺς τὰ πρῶτα φέροντας καὶ χρημάτων εὐποροῦντας. πρὸς οὓς μᾶλλον θεασάμενος ἔφη. "ἴστε πάντες, ὅπως ὁ βάρβαρος οὑτοσὶ τὰς τοῦ Ἀρμενιακοῦ διέθετο πόλεις ἁπάσας, ὅσας τε κωμοπόλεις ἐπόρθησε, καὶ ὁπόσους κακῶς διέθετο συμφοραῖς ἀφορήτοις ὑποβαλών, ὁπόσα τε χρήματα ἀφ' ὑμῶν ἐκομίσατο. B ἀλλὰ καιρὸς ἤδη πάρεστι τῶν ἐξ αὐτοῦ ὑμᾶς ἀπαλλάττειν κακώσεων, εἰ βούλεσθε. δεῖ τοιγαροῦν μὴ προέσθαι τοῦτον. ὁρᾶτε γὰρ ὡς δεσμώτης ἡμῖν ὁ βάρβαρος νεύσει πάντως θεοῦ καὶ ἡμετέρᾳ σπουδῇ· ὁ δὲ τοῦτον ζωγρήσας Τουτὰχ ἐξ ἡμῶν αἰτεῖ τὴν τιμήν. ἡμεῖς δ' ἀποροῦμεν παντάπασιν, ἐπ' ἀλλοδαπῆς τε ὄντες καὶ συχνὸν ἤδη χρόνον μετὰ τῶν βαρβάρων μαχόμενοι καὶ τὰ προσόντα δεδαπανηκότες. εἰ μὴ γοῦν πόρρω ὁ βασιλεὺς ἦν καὶ καιρὸν ἀναμονῆς ἐδίδου ὁ βάρβαρος, ἔσπευσα ἂν ἐκεῖθεν κομισθῆναι τὰ τῆς τιμῆς. ἐπεὶ δ', ὡς ἴστε καὶ αὐτοί, οὐδὲν τούτων ἔξεστι πράττειν, δέον ὑμᾶς συνεισενεγκεῖν τὴν τιμήν, καὶ λήψεσθε πάντα δι' ἡμῶν ἐκ βασι-

5. post ἅπαντας add. τε G 6. χρήματα G. 7. θεασάμενος: ἐνατενίσας A. 9. συμφοραῖς: ποιναῖς A, ut Niceph. Bryenn. p. 88, 7, quem ad verbum expressit coniux. 13. ὑμῖν A. an νυνὶ? Bryennius p. 88, 11 ὁρᾶτε νῦν δεσμώτην. 15. δ' om. P.

cum emtionis mercedem numerare nullo modo posset, tota nocte deliberando consumta, tandem ab Amasenis pecuniam exigere constituit ac primo mane, licet difficilis res videretur, populum convocavit, maxime eos, qui auctoritate et opibus plurimum pollebant. atque ad hos potissimum conversus, "nostis" inquit "omnes, quomodo hicce barbarus habuerit cunctas Armeniaci civitates, quot oppida vastaverit, quot cives malis non ferendis affecerit, quantam pecuniae vim a vobis extorserit. sed tempus iam adest, quo, si volueritis, liberare vos ab eius iniuriis possitis. nimirum hunc non dimitti oportet, quem divino plane consilio et nostra diligentia vinctum cernitis. verum qui illum cepit Tutachus mercedem a nobis postulat; nos autem, quoniam et peregre sumus et diuturno cum barbaris bello facultates nostras exhausimus, solvendo prorsus non sumus. quodsi a rege non ita procul abessem et barbarus pateretur differri, pecuniam inde celerrime afferendam curarem. nunc quoniam nihil, ut scitis ipsi, harum rerum fieri potest, vos pecuniam conferre oportet; imperator vobis per me, quaecunque praestiteritis, restituet." quae

λέως ὁπόσα παράσχητε.» εἶπε ταῦτα, καὶ ἐξεκρούσθη πα- C
ραυτίκα καὶ θόρυβον ἀνῆψε σφοδρότατον, τῶν Ἀμασειανῶν
εἰς ἀποστασίαν κεκινημένων. ἦσαν γὰρ οἳ τούτους εἰς θυμὸν
καὶ θόρυβον ἠρέθιζον ἄνδρες κακουργότατοί τινες καὶ ῥέκται
πραγμάτων, εἰδότες ὀτρύνειν δῆμον εἰς ταραχήν. θόρυβος
τοίνυν ἦρτο πολύς, τῶν μὲν βουλομένων σώζεσθαι τὸν Οὐρ-
σέλιον καὶ τὸ πλῆθος ἀντιλαβέσθαι τούτου ἐρεθιζόντων, τῶν
δὲ ἐκταραττομένων (τοιοῦτον γὰρ τὸ συρφετῶδες πλῆθος,)
καὶ τὸν Οὐρσέλιον ἁρπάσαι θελόντων καὶ τῶν δεσμῶν ἀπο- D
λύειν. δῆμον οὖν ὁ στρατοπεδάρχης τοσοῦτον ὁρῶν μαινό-
μενον, ὡς ἐν στενῷ κομιδῇ τὰ κατ' αὐτὸν ἐγνώκει, κατεπε-
πτώκει μὲν οὐδαμῶς, ἀλλ' ἐπιρρώσας ἑαυτὸν κατεσίγαζε τῇ
χειρὶ τὸν θόρυβον. ὀψὲ δὲ καὶ μόλις τούτους καταπαύσας
καὶ πρὸς τὸ πλῆθος τὸν λόγον μετενεγκὼν ἔφη. «θαυμάζειν V. 10
ἔπεισί μοι, ἄνδρες Ἀμασειανοί, ὅπως τὴν συσκευὴν τουτωνὶ
τῶν ἐξαπατώντων ὑμᾶς παντάπασιν ἠγνοήσατε, τὴν σφῶν
αὐτῶν σωτηρίαν τῷ ὑμετέρῳ αἵματι ἐξωνουμένων καὶ μεγί-
στην ὑμῖν τὴν βλάβην προξενούντων ἀεί. ποία γὰρ ὑμῖν τῆς
τοῦ Οὐρσελίου τυραννίδος ἡ ὠφέλεια, εἰ μὴ σφαγαὶ καὶ πη- P. 7
ρώσεις καὶ ἀκρωτηριασμοὶ μελῶν; οὗτοι δὲ οἱ τῶν τοιούτων
ὑμῖν πρόξενοι ἔνθεν μὲν τὰ οἰκεῖα ἀσινῆ διετήρουν τὸν βάρ-

1. ὅσα A. παράσχοιτε PG, alterum A cum Bryennio. 3. θυμὸν καὶ om. G. 11. καταπεπτώκει AG. 14. ἀνενεγκὼν PG, alterum A. 15. ὅπως : ὅτι P. ταύτην PG, κατασυσκευὴν τουτωνὶ A. 18. ποία A, ποῦ P, π . . . G. 19. εἰ om. P, εἰ μὴ A, ἐς μὴ G.

ubi dixit, illico explosus est vehementemque concivit tumultum, Amasenis defectionem molientibus. non deerant enim, qui populum ad seditionem cierent, homines quidam pessimi turbarumque machinatores, qui plebis concitandae erant periti. tumultus igitur ortus est ingens, dum alii servatum Urselium cupiunt populumque ad opem ei ferendam incitant, alii, quale est vilis plebeculae ingenium, tumultuantur, Urselium e custodia liberaturi. multitudinem igitur tantam ubi Alexius furentem vidit, rei difficultate perspecta, nequaquam tamen diffidere sibi coepit, verum animo confirmato, silentium manu indixit. quod cum tandem aegre impetrasset, ad multitudinem iam conversus, haec dixit. "mirari subit, viri Amaseni, quod consilia istorum hominum, qui vos decipere student, plane ignoretis, cum suam ipsorum salutem vestro quaerant sanguine gravissimamque semper calamitatem vobis parent. quis enim ex Urselii dominatione in vos fructus redundavit, nisi caedes, excaecationes truncationesque membrorum? isti vero, qui talium rerum vobis auctores sunt, partim rei familiari bene prospexerunt barbarum demerentes, partim in praemia ab imperatore

βαρον θεραπεύοντες, ἐκεῖθεν δὲ αὖθις τῶν ἐκ βασιλέως ἐνε-
φοροῦντο δωρημάτων, χαριζόμενοι τούτῳ, ὅτι μὴ ὑμῶν τε
καὶ τῆς πόλεως Ἀμασείας παρεχώρησαν τῷ βαρβάρῳ, καὶ
ταῦτα μηδένα λόγον ὑμῶν ποιησάμενοι πώποτε. διὰ τοῦτο
καὶ τὴν τυραννίδα συνίστασθαι βούλονται, ἵνα τῷ μὲν τυ-
ράννῳ χρηστὰς ὑποσαίνοντες ἐλπίδας, ἀσινῆ τὰ οἰκεῖα διατη-
B ρῶσιν, ἐκ βασιλέως δὲ αὖθις ἀπαιτῶσι τιμάς τε καὶ δωρεάς.
ἢν δέ τι καὶ νεωτερισθείη, αὐτοὶ μὲν πάλιν ἑαυτοὺς τοῦ
δράματος ἐξάγωσιν, τὸν δὲ βασιλέως θυμὸν καθ' ὑμῶν ἐξά-
ψωσιν. εἴ τι οὖν ἐμοὶ πείθεσθε, τούτους μὲν ὑμᾶς πρὸς θό-
ρυβον ἐρεθίζοντας τὸ παρὸν ἐρρῶσθαι ἐάσατε· ἕκαστος δὲ
ὑμῶν οἴκαδε ἀπελθὼν τὰ λεχθέντα σκοπείτω, καὶ εἴσεσθε
ὁποῖος ὑμῖν τὸ ξυμφέρον βουλεύεται."

3. Τούτων ἀκούσαντες τῶν ῥημάτων, ὥσπερ ὀστράκου
μεταπεσόντος τὴν γνώμην μεταβαλόντες οἴκαδε ἀνεχώρουν. ὁ
δὲ στρατοπεδάρχης γινώσκων τὸν δῆμον ἐν ῥοπῇ τὰς γνώμας
C μεταβάλλειν εἰωθότα, καὶ μᾶλλον εἰ ὑπὸ χαιρεκάκων ὀτρύνε-
ται, δείσας μὴ διὰ τῆς νυκτὸς κατ' αὐτοῦ μελετήσαντες
ἐπέλθωσι καὶ τὸν Οὐρσέλιον ἐξαγαγόντες μὲν τῆς φρουρᾶς,
λύσαντες δὲ τῶν δεσμῶν ἀφῶσιν, ἐπεὶ μὴ ἀποχρώσας εἶχε
δυνάμεις πρὸς τοσούτους ἀντικαταστῆναι, μηχανᾶται τὸ ἐν-

1. βασιλέων hic et infra P. 4. ταῦτα μηδὲν οἱ πολλοὶ ὑμῶν P, ταῦτα μ . . . . . οἱ πολλοὶ ὑμῶν G, ταῦτα . . . . . δένα λόγον ὑμῶν A, correxi. 5. καὶ τὴν: an καὶ νῦν τὴν? Bryennius p. 89, 20 καὶ αὖθις. βούλονται ἵνα τῷ A, βουλόμενοι τῷ PG. 11. ἐρεθίζονται P, fortasse οἳ ὑμᾶς — ἐρεθίζονται. ἔρρειν A cum Bryennio. 16. ὄχλον A. 17. ὀτρύνοιτο A.

missa rursus se ingurgitavere, huius gratia factum iactantes, quod vosque et Amaseam urbem barbaro non tradidissent, vestri ne ulla quidem unquam ratione habita. quapropter etiam tyrannidem restitutam volunt, ut et barbaro commoda spe subblandientes, rem familiarem intactam servent, et ab imperatore rursus honores et praemia expetant. et si qua seditio orta fuerit, semet ipsos e periculo subducent, imperatoris autem in vos iram vertent. itaque istis, qui ad tumultum vos incitant, si quid mihi creditis, valere iussis, domum quisque suam abite et quae dixi perpendite. ita facile intelligetis, utri melius vobis suadeant.

3. Quibus auditis, velut conversa testula, sententiam mutant domumque abeunt. imperator autem, qui plebis in ipso discrimine inconstantiam nosset, praesertim si a malitiosis hominibus incitaretur, verebatur, ne insequente nocte iterum infesto se animo aggrederentur et Urselium e custodia eductum vinculisque liberatum dimitterent. quoniam autem tantae multitudini reprimendae copiae, quibus

τεῦθεν Παλαμήδειόν τι μηχάνημα. ἐς μὲν τὸ φανερὸν ἀποτυφλοῖ τὸν Οὐρσέλιον· καὶ ἥπλωτο μὲν τῇ γῇ, ὁ δὲ δήμιος ἐπῆγε τὸν σίδηρον, ὁ δὲ ἐπωδύρετό τε καὶ ἔστενε καθάπερ λέων βρυχόμενος· σχῆμα δὲ πάντα ἦσαν τῆς τῶν ὀμμάτων ἀποστερήσεως, παρήγγελτο δὲ καὶ ὁ τῷ δόξαι τυφλούμενος D βοᾶν τε καὶ κεκραγέναι, καὶ ὁ μέχρι τοῦ δοκεῖν τοὺς ὀφθαλμοὺς ἐξορύττων δριμύ τε ἐνορᾷν πρὸς τὸν ἐκκείμενον καὶ μανιώδη τὰ πάντα δρᾷν, μᾶλλον δὲ σχηματίζεσθαι τὴν ἀποτύφλωσιν. καὶ ὁ μὲν ἀπετυφλοῦτο μὴ ἀποτυφλούμενος, ὁ δὲ δῆμος ἐκρότει καὶ πανταχόθι τὴν τοῦ Οὐρσελίου τύφλωσιν διεβόμβει. ταῦτα ὥσπερ ἐν σκηνῇ δραματουργηθέντα πέπεικε τὸν ὄχλον ὅλον, ὅσος ἐγχώριος καὶ ὅσος ἔξωθεν, εἰς ἔρανον κατὰ τὰς μελίσσας συλλέγεσθαι. τοῦτο γὰρ ἅπαν τὸ σκέμμα τῆς Ἀλεξίου φρονήσεως, ἵνα οἱ πρὸς τὸ δοῦναι χρήματα δυσχερῶς ἔχοντες καὶ ἀφελέσθαι τὸν Οὐρσέλιον ἐπιβουλεύοντες P. 8 ἐκ τῶν χειρῶν Ἀλεξίου τοὐμοῦ πατρός, ἀποκαραδοκήσωσί τε, ὡς ἐντεῦθεν αὐτοῖς τῆς ἐπιβουλῆς ἀνωφελοῦς καθεστηκυίας, καὶ ταχὺ πρὸς τὸ βούλημα τοῦ στρατοπεδάρχου τράπωνται, τῆς πρώην ἀστοχοῦντες βουλῆς, αὐτόν τε φίλον ποιούμενοι καὶ ὀργὴν βασιλέως ἐκκλίνοντες. τοῦτον τοίνυν οὕτω κατασχὼν τὸν Οὐρσέλιον ὁ ἀξιάγαστος στρατηγός, εἶχεν ὡς ἐν ζωγρείῳ τὸν λέοντα, ἔτι ἐπικαλύμματα τοῖς ὀφθαλμοῖς φέ-

5. τὸ δόξαν A. 7. ἐγκείμενον A. 8. ἀποτυφλωσίαν G. 10. πανταχόθεν G. 12. ὅλον om. A. 14. πρὸ τοῦ P. 22. ζωγρείῳ A, ζωγρίῳ PG. ἔτι om. P.

instructus erat, non sufficerent, Palamedeum quendam excogitavit dolum. simulat excaecare Urselium; humi resupinato carnifex ferrum admovet; lamentatur ille atque eiulat, ut leonem rugire crederes. omnia excaecandi speciem prae se ferebant; iussus enim erat Urselius, qui excaecari fingebatur, clamores tollere, et qui oculos eruere videbatur, torvo prostratum vultu adspicere ac saeva illa omnia perficere, vel potius ita agere, ac si revera excaecaret. sic excaecatus est ille non excaecatus; vulgi autem rumoribus ubique increbruit, Urselium excaecatum esse. haec velut in scena acta omnem multitudinem eo adducebant, ut et indigenae et peregrini, apium more, symbolas darent. hoc enim erat Alexii consilium, ut qui pecuniam detrectaverant Urseliumque emittere de manibus Alexii patris mei moliti erant, cum id conamen iam inane futurum esset, conquiescerent et illico sibi dicto audientes essent, prioris consilii spe frustrati; qua quidem re et Alexium sibi conciliarent, et regis iracundiam evitarent. tali modo cum Urselium in vinculis admirabilis imperator retinuisset, custodivit eum tanquam in cavea leonem; at-

ροντα, τὰ σύμβολα τῆς δῆθεν ἀποτυφλώσεως. οὐ μὴν ἤρκεῖτο
V. 11 οἷς εἴργασται, οὐδὲ ὡς μέγα κῦδος ἀράμενος πρὸς τἆλλα τῶν
B πραγμάτων ἀναπεπτώκει, ἀλλὰ πόλεις τε ἄλλας πολλὰς καὶ
φρούρια κατεκτήσατο καὶ ὑπὸ τὴν τῆς βασιλείας ἐξουσίαν
πεποίηκεν, ὅσα ἐπὶ τῶν Οὐρσελίου καιρῶν πονηρῶς προπέπραχεν. ἐντεῦθεν οὖν τὰς ἡνίας στρέψας, εὐθὺ τῆς βασιλίδος πόλεως ἤλαυνε. γενόμενος δὲ ἐν τῇ παππῴᾳ πόλει καὶ μικρὸν ἀναπαύων τῶν πολλῶν καμάτων ἑαυτόν τε καὶ τὴν σύμπασαν στρατιάν, πρᾶγμα ἐντεῦθεν ὦπτο πεποιηκώς, ὅπερ Ἡρακλῆς ἐκεῖνος ἐπὶ τῇ τοῦ Ἀδμήτου Ἀλκήστιδι. ὡς γὰρ εἶδεν ὁ Δοκειανὸς ἐκεῖνος, ὁ τοῦ προβεβασιλευκότος Ἰσαακίου Κομνηνοῦ ἀδελφιδοῦς καὶ τούτου ἐξάδελφος, (ἀνὴρ δὲ οὗτος τῶν ἐπιδόξων καὶ γένει καὶ ἀξιώματι,) τὸν Οὐρσέλιον
C τὰ τῆς τυφλώσεως σύμβολα φέροντα καὶ ὑπό του χειραγωγούμενον, βύθιόν τι στενάξας καὶ ἐπιδακρύσας τῷ Οὐρσελίῳ, ὠμότητα κατηγορήκει τοῦ στρατηγοῦ καὶ μέμψιν αὐτῷ ἐπήγαγε, τούτου καταβοώμενος ὡς τοιοῦτον ἄνδρα γεννάδαν τε καὶ ἄντικρυς ἥρωα τοὺς ὀφθαλμοὺς ἀφελομένου, ὃν ἐχρῆν ἀτιμώρητον διασώσασθαι. ἀλλ' ἐκεῖνος τότε μὲν "τὰς αἰτίας τῆς ἀποτυφλώσεως εἰσαῦθις ἐπακούσειας," ἐπειπὼν "φίλτατέ μοι," μετὰ βραχὺ δ' εἰς οἰκίσκον ἀγαγὼν αὐτόν τε καὶ τὸν Οὐρσέλιον, ἀνακαλύπτει τὸ πρόσωπον καὶ δείκνυσιν Οὐρσε-

2. μέγα add. A. 3. ἐπεπτώκει A. τε om. P. 9. ἐκεῖθε G. πεποιηκέναι G. 16. κατηγόρει A. ἐπήγαγε A, ἐπῆγε PG. 17. γεννάδα καὶ A. 21. δ' add. A.

que oculi etiam obtecti erant fasciis, quae exeaecationis scilicet indicio essent. neque tamen quae gesserat satis ille putabat, nec tanquam abunde parta gloria, in ceteris rebus supinus erat; immo alias urbes multas arcesque recipiebat, et omnes regiones, quae Urselii temporibus defecerant, imperio restituebat. tum demum reversus, in urbem regiam contendit; cumque in oppidum pervenisset, unde avus eius oriundus erat, ibique se atque exercitum universum a multis laboribus paulisper recrearet, miraculum edidit, quale Hercules ille in Admeti coniuge Alcestide. nam cum Doceanus, Isaacii Comneni, qui antea imperator fuerat, ex sorore nepos, Alexii patruelis, vir et genere et dignitate in primis clarus, Urselium conspiceret caecationis signa oculis gestantem et manu a quodam ductum, graviter suspirans et illacrimans eius casui, crudelitatis Alexium arguit, atque invectus in eum exprobrat, quod homini tam generoso ac plane heroi oculos effoderit, quem servasse incolumem oportuisset. cui tunc quidem ille "huius," inquit "carissime, supplicii causas propediem ex me audies," mox autem in aediculam deduxit eum cum Urselio, ubi

λέου τοὺς ὀφθαλμοὺς πυρωπὸν ἀπαστράπτοντας. ἐξεπλάγη ταῦτα ὡς ἐθεάσατο, καὶ ἐθαύμασεν ὁ Δοκειανὸς καὶ οὐκ D εἶχεν ὅ τι καὶ χρήσαιτο τῷ πλήθει τοῦ θαύματος. καὶ θαμὰ ταῖς ὄψεσι τὰς χεῖρας ἐπέβαλλε, μή που καὶ ὄναρ ἐστὶ τὸ θεώμενον ἤ τις μαγικὴ τερατεία ἢ ἄλλο τι τοιοῦτον ἄρτι πρώτως καινοτομούμενον. ὡς δὲ τὴν ἐπὶ τῷ ἀνδρὶ φιλανθρωπίαν τοῦ ἐξαδέλφου κατεμάνθανε καὶ μετὰ τῆς φιλανθρωπίας τὴν τέχνην, περιχαρὴς γεγονὼς ἐνηγκαλίζετό τε αὐτὸν καὶ κατεφίλει πολλάκις τὸ πρόσωπον, εἰς ἡδονὴν τὸ θαῦμα μεταβαλών. ταὐτὸ δὲ τούτῳ πεπόνθασι καὶ οἱ περὶ τὸν βασιλέα Μιχαὴλ καὶ βασιλεὺς αὐτὸς καὶ πάντες.

4. Ἐντεῦθεν πάλιν ἐπὶ τὴν ἑσπέραν πέμπεται παρὰ P. 9 Νικηφόρου τοῦ αὐτοκράτορος ἤδη τὰ Ῥωμαίων σκῆπτρα κατεσχηκότος κατὰ Νικηφόρου τοῦ Βρυεννίου, τὴν δύσιν ὅλην κλονοῦντος καὶ τὸ διάδημα ἑαυτῷ περιθεμένου καὶ βασιλέα Ῥωμαίων ἀνακηρύττοντος. ἄρτι γὰρ τοῦ αὐτοκράτορος Μιχαὴλ τοῦ Δούκα τοῦ θρόνου καθαιρεθέντος καὶ ἀντὶ ταινίας τε καὶ χλαμύδος τὸν ποδήρη καὶ τὴν ἐπωμίδα τὴν ἀρχιερατικὴν ἐνδεδυμένου, ὁ Βοτανειάτης ἐπὶ τοῦ βασιλείου θρόνου καθίσας καὶ τὴν βασιλίδα Μαρίαν, ὡς προϊὼν ὁ λόγος σαφέστερον παραστήσειε, μνηστευσάμενος, τὰ τῆς βασιλείας B διίθυνε πράγματα. ἀλλ' ὁ Νικηφόρος Βρυέννιος τὴν δουκ-

4. ἐπέβαλε PG, alterum A. 5. θεώμενον G, θεωρούμενον P, φαινόμενον A. 6. πρῶτον G. 10. ταὐτὸν A. 13. Ῥωμαῖα P. 14. Βρυενίου P ubique. 18. χλαμύδος A, στέμματος PG. 21. παραστήσει P.

fasciis amotis, velut igne micantes Urselii oculos ei monstravit. obstupuit, ubi hoc vidit, Doceanus atque admiratione correptus est, nec habuit, quid de tanto miraculo sentiret; simul frequenter oculos manibus contrectat, si forte somnium esset quod cerneret, aut magicae praestigiae aut alia quaedam id genus fraus nova. sed postquam humanitatem et sapientiam Alexii perspexit, summopere laetatus, eum complexus osculatusque saepius est, admiratione in gaudium versa. idem accidit illis, qui circa imperatorem Michaelem erant, et imperatori ipsi et ceteris omnibus.

4. Inde rursus in Occidentem Alexius mittitur a Nicephoro imperatore, qui principatum iam nactus fuerat, adversus Nicephorum Bryennium, qui occiduas provincias perturbabat omnes et, diademate sumto, regem se Romanorum proclamarat. modo enim, ubi imperator Michael Ducas imperio pulsus pro diademate chlamydeque talarem et epomidem episcopalem induit, Botaniates solio occupato regio et imperatrice Maria, ut accuratius postea narrabimus, in matrimonium ducta, imperii administrationem susceperat. sed Nicephorus

κὴν περιεζωσμένος ἀρχὴν Δυρραχίου ἐπὶ τοῦ βασιλέως Μι-
χαὴλ, καὶ πρὸ τοῦ βασιλεῦσαι τὸν Νικηφόρον βασιλειᾷν τε
ἤρξατο καὶ ἀποστασίαν κατὰ τοῦ Μιχαὴλ ἐμελέτησε. τὸ μὲν
ὅθεν καὶ ὅπως, οὐκ ἀναγκαῖόν ἐστιν ἡμῖν διηγεῖσθαι· φθά-
νει γὰρ ἡ τοῦ Καίσαρος ξυγγραφὴ τὸ αἴτιον τῆς ἀποστασίας
ἐξιστορῆσαι· τὸ δ' ὅτι ἐκεῖθεν ὥσπερ ἐξ ὁρμητηρίου τινὸς
τῆς πόλεως Δυρραχίου πάντα τὰ τῆς ἑσπέρας κατέδραμεν
καὶ ὑφ' ἑαυτὸν ἐποιήσατο, καὶ ὅπως οὗτος ἑάλω, τοῦτο τῶν
C ἀναγκαιοτάτων ἐστὶν ἐν βραχεῖ διηγήσασθαι. τὸ γὰρ ἀκρι-
V. 12 βὲς τῆς ἱστορίας τὸν βουλόμενον μαθεῖν ἐς τὸν Καίσαρα πα-
ραπέμπομεν. κράτιστος γὰρ ὁ ἀνὴρ τὰ πολέμια καὶ ἅμα καὶ
γένος ὢν τῶν ἐπισημοτάτων καὶ ἀναδρομῇ σώματος καὶ κάλ-
λει προσώπου κοσμούμενος, καὶ ἐμβριθείᾳ φρονήματος καὶ
βραχιόνων δυνάμει τῶν κατ' αὐτὸν διαφέρων ἀνδρῶν, ἐπά-
ξιον ἦν βασιλείας τὸ χρῆμα, καὶ τοσοῦτο ἦν εἰς πειθὼ
δυνατὸς καὶ πάντας ἐφέλκειν καὶ ἐκ πρώτης ὄψεως καὶ
ὁμιλίας δυνάμενος, ὥστε πάντες πανδημεὶ καὶ στρατιῶ-
D ται καὶ ἰδιῶται τῶν πρωτείων αὐτῷ ξυνεχώρουν καὶ βασι-
λεύειν ἠξίουν ἁπάσης ἑῴας καὶ ἑσπερίας λήξεως. καὶ γὰρ
ἐπιόντα τοῦτον αἱ πόλεις ἅπασαι ὑπτίαις χερσὶν ὑπεδέχοντο,
καὶ ἄλλη πρὸς ἄλλην μετὰ κρότου παρέπεμπεν. ταῦτα ἐτά-
ραττε μὲν τὸν Βοτανειάτην, ἐξεκύκα δὲ καὶ τὸ περὶ αὐτὸν

2. βασιλείαν P. 8. ἐποίησε PG, alterum A. 12. γένους AG. 14. βραχίονος G. 14. scripsit fortasse ἐπάξιος ἦν βασιλείας αὐτόχρημα. vid. annotat. 15. τοσοῦτο G, τοσοῦτος PA.

Bryennius, ad ducatum Dyrrhachii imperante Michaele provectus, cum Nicephorus nondum regno potitus esset, imperium affectare coeperat et a Michaele deficere meditatus erat. cuius incepti quae causa fuerit quaeque ratio, quoniam in Caesaris historia ea res iam perscripta est, nihil attinet exponere. verum ut Dyrrhachio tanquam ex arce omnes Occidentis regiones invaserit sibique subiecerit, utque ipse captus sit, enarrare breviter vel maxime est necessarium. nam qui accuratius ea nosse cupit, eum ad Caesarem remittimus. fortissimus enim cum is esset et nobilissimo simul genere ortus, ac proceritate corporis facieique pulchritudine insignis, et gravitate consilii non minus quam lacertorum robore aequalibus antecellens, dignissimus sane imperio erat. tantum etiam eloquentia valebat omnesque vel primo aspectu et alloquio ita sibi conciliare poterat, ut omnes omnino et milites et privati summam rerum ei concederent, atque occidentalis orientalisque limitis imperio dignum eum haberent. nam quascunque adibat urbes omnes et venientem supinis manibus excipiebant, et abeuntem alia alio cum plausu ac pompa prosequebantur.

στράτευμα καὶ εἰς ἀμηχανίαν τὴν βασιλείαν ὅλην ἐνέβαλλε.
πέμπειν οὖν διεγνώκεισαν τὸν ἐμὸν πατέρα τὸν Κομνηνὸν
Ἀλέξιον κατὰ τοῦ Βρυεννίου, δομέστικον τῶν σχολῶν ἄρτι
προχειρισθέντα, μετὰ τῶν ἐνουσῶν δυνάμεων. εἰς γὰρ τὸ
μέρος τοῦτο ἡ βασιλεία Ῥωμαίων εἰς τοὔσχατον ἐληλύθει.
τά τε γὰρ ἑῷα τῶν στρατευμάτων ἄλλο ἀλλαχοῦ διεσκέδα-
στο, τῶν Τούρκων ὑφαπλωθέντων καὶ πάντα σχεδὸν περι- P. 10
σχόντων, ὅσα Εὐξείνου πόντου ἐστὶ μεταξὺ καὶ Ἑλλησπόντου
καὶ Αἰγαίου τε καὶ Συριακοῦ πελάγους κόλπων τε τῶν ἄλ-
λων καὶ μάλιστα ὁπόσοι Παμφυλίαν τε καὶ Κίλικας παρα-
μείβοντες ἐς τὸ πέλαγος ἐκπίπτουσι τὸ Αἰγύπτιον. τὰ μὲν
οὖν ἑῷα στρατεύματα οὕτως ἔσχον· τὰ δὲ τῆς ἑσπέρας ἐς
τὸν Βρυέννιον συρρεύσαντα εἰς στενὸν κομιδῇ καὶ ὀλίγον
στράτευμα τὴν βασιλείαν ἀφῆκε Ῥωμαίων. ἀθάνατοί τε γάρ
τινες αὐτῇ κατελείφθησαν χθὲς καὶ πρῴην ξίφους ἡμμένοι
καὶ δόρατος, καί τινες ἐκ τοῦ Χώματος στρατιῶται ὀλίγοι, B
καὶ Κελτική τις στρατιὰ εἰς ὀλίγους τινὰς περιισταμένη.
τούτους δὴ τῷ ἐμῷ πατρὶ Ἀλεξίῳ διδόασι, καὶ ἅμα συμμά-
χους ἀπὸ τῶν Τούρκων προσκαλεσάμενοι, ἐξιέναι οἱ περὶ
τὸν βασιλέα προσέταττον καὶ ξυμμῖξαι τῷ Βρυεννίῳ, οὐ μᾶλ-
λον εἰς τὴν ἐφεπομένην στρατιὰν θαρροῦντες ἢ εἰς τὸ φρό-

9. πελάγους σύρτες καὶ τῶν ἄλλων G, Αἰγαίου καὶ Συριακοῦ πελάγους καὶ τῶν ἄλλων κόλπων ὁπόσοι A. 11. ἐκπέμπουσι PG, ἐκπίπτουσι A.

haec terrorem Botaniati incutiebant, conturbabant etiam exercitum, quo instructus erat, et universum imperium in discrimen adducebant. visum est igitur Alexium Comnenum patrem meum, dignitate magni domestici scholarum nuper auctum, adversus Bryennium mittere cum tanta quanta licuit militum manu. nam rem militarem quod attinet, Romanorum imperium ad extremum devenerat; orientales siquidem exercitus alii alio loco dispositi erant, ut Turcis resisterent, qui fines paulatim protulerant et omnes fere regiones tenebant, quae mari Euxino Hellespontoque et Aegaei Syriacique maris cinguntur sinubus cum aliis, tum praesertim iis, qui Pamphyliam Ciliciamque tangentes in mare Aegyptium delabuntur. orientales igitur exercitus ita se habebant; occidentales autem legiones ad Bryennium confluxerant, ut exilis admodum parvusque exercitus imperatori remanserit. nam et immortales nonnulli reliqui erant, qui nuper admodum gladios hastasque tractare coeperant, et pauci quidam qui e Chomate erant milites, et Gallicae copiae ad exiguum numerum redactae. has igitur copias patri meo Alexio imperator tradidit, simulque auxiliis a Turcis expetitis, ingredi expeditionem et confligere cum Bryennio eum iubet, non tam exercitu qui eum sequebatur fretus, quam con-

νημα τοῦ ἀνδρὸς καὶ τὴν ἐν πολέμοις καὶ μάχαις δεινότητα.
ὁ δὲ τὴν ξυμμαχίαν μὴ περιμείνας, ὀξέως ἐπερχόμενον τὸν
ἐχθρὸν ἀκούων, κἀντεῦθεν καλῶς καὶ ἑαυτὸν καὶ τοὺς ξυνε-
πομένους φραξάμενος, ἔξεισι τῆς βασιλίδος τῶν πόλεων, καὶ
κατὰ τὴν Θρᾴκην γεγονὼς περὶ τὸν Ἁλμυρὸν ποταμὸν στρα-
C τοπεδεύει ἄνευ τάφρων καὶ χάρακος. μανθάνων γὰρ τὸν
Βρυέννιον ἐν τοῖς Κηδόκτου πεδίοις αὐλιζόμενον ἐβούλετο
ἑκάτερα τὰ στρατεύματα αὐτοῦ τε καὶ τῶν ἐναντίων ἀξιόλο-
γον ἀπέχειν διάστημα. οὐ γὰρ εἶχεν ἀντιμέτωπος ἐπιστῆναι
τῷ Βρυεννίῳ, ἵνα μὴ κατάφωρα γένοιτο τὰ τῆς δυνάμεως καὶ
μὴ δοίη, ὁπόσος τίς ἐστι τὴν στρατιάν, αἴσθησιν τῷ ἐχθρῷ.
μετ' ὀλίγων γὰρ πρὸς πολλοὺς καὶ μετ' ἀπειροπολέμων πρὸς
ἐμπειροπολέμους ἔμελλε ξυμβαλεῖν, καὶ τοῦ θαρρεῖν ἀφέμενος
καὶ ἀναφανδὸν ἐμπίπτειν, κλωπιτεύειν τὴν νίκην ἐβούλετο.

5. Ἐπεὶ δὲ ἄνδρας καὶ ἀμφοτέρους γενναίους εἰς πό-
λεμον ὁ λόγος κατεστήσατο, τόν τε Βρυέννιον καὶ τὸν ἐμὸν
D πατέρα τὸν Κομνηνὸν Ἀλέξιον, (οὐδὲν γὰρ ἕτερος τοῦ ἑτέ-
ρου πρὸς ἀνδρείαν ἀπελιμπάνετο, οὐδὲ τὰ τῆς ἐμπειρίας
V. 13 ἕτερος ἑτέρου παρ' ἔλαττον εἶχεν,) ἄξιόν ἐστι καταστησαμέ-
νους τούτους εἰς φάλαγγας καὶ ἀντιπαρατάξεις, ἐκεῖθεν ἀπο-
σκοπῆσαι τοῦ πολέμου τὴν τύχην. τὼ μὲν γὰρ ἄνδρε τούτω
καὶ ἄμφω ἤστην καλὼ καὶ γενναίω καὶ τά γε εἰς χεῖρας καὶ

12. μετ' alterum add. Hoeschel. 14. κλωπιτεύειν A, κλωπετεύειν PG. 15. εἰς πόλεμον om. P. 18. τά : τι G.

silio et bellica virtute hominis. qui cum celeriter adventare hostem audisset, illico se suosque instruxit et auxiliarium adventu non exspectato, ex urbium regina in Thraciam proficiscitur ibique circa Halmyrum fluvium castra sine fossa et vallo posuit. quoniam enim Bryennium in Cedocti campis consedisse certior factus erat, utrumque et suum et hostium exercitum satis magno distare intervallo voluit. nam ex adverso copias collocare non licuit, ne earum conditio hosti patefieret et quantus sibi exercitus esset, cognosceretur. erat enim cum paucis contra plurimos, cum tironibus contra exercitatissimos decertaturus. itaque audendi et aperto invadendi tempus Alexius non esse ratus, furari victoriam volebat.

5. Iam vero cum narratio virûm utrumque generosum, Bryennium et patrem meum Comnenum Alexium, (neque enim virtute nec rei bellicae experientia alter alteri quidquam concedebat,) ad certamen composuerit, operae pretium est, acie utrimque instructa, qualis proelii fortuna fuerit, cognoscere. erant enim ambo duces speciosi ac nobiles, et si fortitudinem experientiamque spectas, pares velut aequato examine; quare fortuna utram in partem inclinaverit, viden-

πεῖραν ἴσοι ὥσπερ ἐπὶ τρυτάνης ἱστάμενοι· ὁρᾷν δὲ ἡμᾶς χρεὼν, ὅπου τὰ τῆς τύχης ἐπέβρισεν. ὁ μὲν γὰρ Βρυέννιος μετὰ τοῦ θαρρεῖν ταῖς δυνάμεσι καὶ τὴν πεῖραν προὐβάλλετο καὶ τὴν εὐταξίαν τῆς παρατάξεως· ὁ δ' Ἀλέξιος ἐκ τοῦ ἑτέ- P. 11
ρου ὀλίγας μὲν ἐλπίδας καὶ πάνυ ἀφελεῖς εἶχεν ὅσον ἐπὶ τῷ στρατεύματι, ἀντιπρουβάλλετο δὲ τὴν ἀπὸ τῆς τέχνης ἰσχὺν καὶ τὰς στρατηγικὰς μηχανάς. ἤδη γὰρ ἀλλήλοιν αἰσθόμενοι καὶ ὅτι πολέμων ἤδη καιρός, ὁ μὲν Βρυέννιος, ἐπειδὴ τὰς ἐφόδους αὐτοῦ προϋποτέμνεσθαι τὸν Κομνηνὸν Ἀλέξιον μεμαθήκει καὶ περὶ Καλαυρὴν στρατοπεδεύειν, οὕτω ξυνταξάμενος ἀντεπήρχετο. εἴς τε γὰρ δεξιὸν κέρας καὶ εὐώνυμον τάξας τὸ στράτευμα, τοῦ μὲν δεξιοῦ κατάρχειν τὸν αὐτάδελφον Ἰωάννην ἐπέταττε· πεντακισχίλιοι δ' ἦσαν οἱ τοῦτο τὸ μέρος συμπληροῦντες, Ἰταλοί τε καὶ τῆς τοῦ Μανιάκου ἐκείνου ἀποσπάδες, καὶ μὴν καὶ ἐκ Θετταλίας ἄνδρες B
ἱππεῖς καὶ μοῖρά τις τῶν ἀπὸ τῆς ἑταιρείας οὐκ ἀγεννής. θάτερον δὲ τὸ εὐώνυμον κέρας ὁ Ταρχανειώτης εἶχε Κατακαλών, Μακεδόνας τε καὶ Θρᾷκας ἐξωπλισμένους εἰς τρισχιλίους τοὺς ξύμπαντας συναριθμουμένους. αὐτὸς δ' ὁ Βρυέννιος τὸ μέσον κατεῖχε τῆς φάλαγγος, ἔκ τε Μακεδόνων καὶ Θρᾳκῶν συντεταγμένον καὶ τοῦ ἀρχοντικοῦ σύμπαντος ὅσον ἐπίλεκτον. πάντες δὲ ἐφ' ἵπποις Θετταλοῖς ἐποχούμενοι καὶ τοῖς σιδηροῖς θώραξι καὶ τοῖς περὶ τὴν κεφαλὴν κράνεσιν ἐξαστρά-

5. ἀφαυρὰς A, ἀφε . . . . G. 8. an πολεμεῖν? 10. μεμαθήκει A. 14. Μανιάκη A. 16. ἑταιρείας A, ἑταιρίας PG. 22. ἵππου Θετταλῆς AG.

dum nobis est. Bryennius igitur, praeterquam quod copiis fideret, et belli usu protegebatur et acie bene instructa; Alexius contra, qui in copiis parvam exiguamque plane spem collocabat, praesidium a solertia ac belli arte habebat. cum enim alter alterum adventasse sensisset et decertandi tempus iam adesse, Bryennius, qui Alexium, intercluso itinere, ad Calauram castra posuisse percepit, in ipsum movit, acie ita instructa. copiis in dextrum ac sinistrum cornu divisis, dextro cornu Iohannem fratrem praeposuit, idque quinque millibus constabat Italorum et qui e Maniaci illius copiis supererant. his additi erant equites Thessali et haud exigua pars eorum, qui sodales appellantur. sinistro cornu Tarchaniotes Catacalo praefuit; ibi Macedones atque Thraces stabant numero admodum tria millia armatorum. Bryennius ipse mediam aciem tenebat, e Macedonibus Thracibusque et quotquot ex universa nobilitate selecti erant, constantem. omnes autem equis Thessalis utebantur, et ferreis loricis galeisque late fulgebant; cumque equi arrigerent aures et clipei con-

πτοντες, τῶν τε ἵππων διεγειρομένων ἐς ὀρθὸν οὖς καὶ τῶν ἀσπίδων πρὸς ἀλλήλας παταγουσῶν, πολλή τις αὐγὴ αὐτῶν τε καὶ τῶν κορύθων ἐκεῖθεν ἐξέπιπτε μετὰ δείματος. ὁ δὲ
C εἰς μέσους κυκλούμενος ὁ Βρυέννιος καθάπερ τις Ἄρης ἢ Γίγας ὑπερωμίας εἰς πῆχυν ἕνα τῶν ἄλλων πάντων ὑψούμενος, καὶ αὐτόχρημα θάμβος ἦν καὶ φόβος τοῖς θεωμένοις. ἔξωθεν δὲ τοῦ τάγματος ὅλου, ὡσανεὶ δυοῖν σταδίων διάστημα, Σκύθαι τινὲς ἦσαν σύμμαχοι βαρβαρικοῖς κεκοσμημένοι τοῖς ὅπλοις. παρήγγελτο δέ, ἐπειδὰν οἱ πολέμιοι προφανεῖεν καὶ ἡ σάλπιγξ πολέμιον ἀλαλάξειεν, εὐθὺς κατὰ νώτων ἐμπίπτειν καὶ βάλλειν τοὺς Σκύθας τοῖς πολεμίοις καὶ θλίβειν αὐτοὺς τοῖς πυκνοῖς καὶ συνεχέσι τοξεύμασι, τοὺς δὲ λοιποὺς πυκνὰ συνασπισαμένους ἐμπίπτειν κατὰ τὸ καρτερώτατον. οὕτω μὲν οὗτος τοὺς ἀμφ'
D αὐτὸν διετάξατο· ὁ δέ γε ἐμὸς πατὴρ ὁ Κομνηνὸς Ἀλέξιος τοῦ τόπου τὴν θέσιν κατασκεψάμενος, τὸ μὲν τοῦ στρατεύματος κατέστησεν ἔν τισι κοιλάσι, τὸ δ' ἀντιμέτωπον ἔστησε τῆς στρατιᾶς Βρυεννίου. ἄμφω δὲ παραταξάμενος καὶ τὸ ὑποκαθήμενον καὶ τὸ προφανές, καὶ πτερώσας λόγοις ἄνδρα ἕκαστον καὶ εἰς ἀνδρείαν ἐπάρας, τῷ μὲν ἐπέσκηπτε τῷ προλοχίζοντι τάγματι, ἐπειδὰν κατὰ νώτου γένοιντο τῶν πολεμίων, ἐξ αἰφνιδίου προσπίπτειν καὶ μετὰ ῥύμης ὅτι πολλῆς

2. πρὸς : εἰς A. αὐγὴ τῶν τε κορύθων καὶ αὐτῶν ἐξέπιπτε A. 7. τάγματος G, σχήματος P, ἀνωνύμου κέρατος A. 15. ὁ πατὴρ P. 17. κατέκρυψε ταῖς κοιλάσι A. 18. ἄμφω καθοπλίσας καὶ τὸ ὑποκαθ. A, unde καὶ ascivi. 21. γένωνται A. 22. ῥύμης A, ὁρμῆς PG.

cuterentur, et hominum et galearum splendor oculos praestringebat iniiciebatque terrorem. ipse in mediis versans Bryennius, veluti Mars aut Gigas quidam, paene cubitum supra reliquam turbam omnem eminebat, ut et admirationem plane et terrorem intuentibus moveret. extra totam aciem, intervallo fere duorum stadiorum, Scythae nonnulli auxiliares positi erant, barbaris instructi armis; quos, simulatque hostes apparerent et classica canerent, a tergo aggredi seque in hostium copias immittere et crebra assiduaque iaculatione eas atterere iussit, dum ceteri denso agmine quam vehementissime arma inferrent. sic ille exercitum instruxit; pater meus Comnenus Alexius, explorata loci opportunitate, partem exercitus in faucibus collocavit, partem adversa fronte Bryennio opposuit. instructis utrisque, quique subsidebant quique in aperto stabant, cum unumquemque oratione erexisset atque ad virtutem adhortatus esset, praecepit iis, quos in insidiis collocarat, ut cum primum in tergo hostium essent, subito impetum in eos facerent et quam vehementissime

καὶ σφοδρᾶς ἐπαράττειν κατὰ τοῦ δεξιοῦ κέρατος. τοὺς δ'
ἀθανάτους λεγομένους καί τινας ἀπὸ τῶν Κελτῶν ἑαυτῷ πα- P. 12
ρακατέσχε καὶ τούτων προὐτέτακτο· τῶν δὲ Χωματηνῶν καὶ
Τούρκων ἔξαρχον τὸν Καταχαλὼν κατέστησε καὶ πρὸς τὸ
Σκυθικὸν ἅπαν ἔχειν τὸν νοῦν καὶ τὰς διεκδρομὰς αὐτῶν
ἀπελάττειν παρεκελεύσατο. ταῦτα μὲν οὕτως εἶχε· καὶ ἐπεὶ
κατὰ τοὺς κοιλώδεις τόπους τὸ τοῦ Βρυεννίου γέγονε στρά-
τευμα, εὐθὺς σύνθημα δεδωκότος τοὐμοῦ πατρὸς Ἀλεξίου, V. 14
μετὰ βοῆς καὶ ἀλαλαγμοῦ ἐμπηδῆσαν τὸ περὶ τὴν ἐνέδραν
στράτευμα τῷ τε αἰφνιδίῳ κατέπληξαν τοὺς πολεμίους, ἕκα-
στος τῶν παρατυχόντων πλήττων τε καὶ φονεύων, καὶ εἰς
φυγὴν κατηνάγκασαν. ἀλλ' ὁ Βρυέννιος Ἰωάννης καὶ τοῦ
ἡγεμόνος αὐτάδελφος μνησθεὶς ἐνταῦθα θούριδος ἀλκῆς καὶ B
θυμοῦ, τῷ ψαλλίῳ στρέψας τὸν ἵππον καὶ τὸν ἐπιόντα στρα-
τιώτην ἀθάνατον πληγῇ μιᾷ καταβαλών, ἔστησέ τε κλονου-
μένην τὴν φάλαγγα καὶ οὕτω συντάξας ἀπῶσε τοὺς πολεμίους.
οὕτως οἱ ἀθάνατοι προτροπάδην μετά τινος ἀκοσμίας ἔφευ-
γον, ὑπὸ τῶν κατόπιν ἀεὶ στρατιωτῶν ἀποκτιννύμενοι. ὁ δέ
γε ἐμὸς πατὴρ εἰς μέσους ἑαυτὸν ἐμβαλὼν τῶν πολεμίων
καὶ γενναίως ἀγωνιζόμενος, ἐκλόνει μὲν καὶ οὗτος τὸ μέρος,
ἐφ' ᾧπερ ἂν παραγίνοιτο, πλήττων ἕκαστον τὸν πρὸς αὐτὸν
ἰόντα καὶ εὐθὺς καταβάλλων, ἐλπίζων δὲ ξυνέπεσθαι καί τι-

3. Χωματικῶν P. 6. ἀπελάττειν PG, φυλάττειν A. vid. annotat. 11. τὸν παρατυχόντα A. 14. ψελλίῳ A. τρέψας P. 18. στρατ. ἀεὶ ἀποκτεινόμενοι A. 19. τοὺς πολεμίους A. 21. πλήττων: τιτρώσκων τε τὸν εἰς χεῖρας ἰόντα A.

in cornu dextrum inveherentur. immortales qui dicuntur et quosdam e Gallis circa se retinuit, iisque ipse praefuit. Chomatenis ac Turcis Catacalonem praefecit, eumque ad Scythas animum advertere et incursiones eorum propulsare iussit. his ita dispositis, ubi ad fauces exercitus Bryennii progressus est, repente signo ab Alexio patre meo dato, ingenti clamore irruunt qui in insidiis positi erant, imprudentes hostes turbant, caesisque qui cuique obvii erant, in fugam vertunt. tunc vero Bryennius Iohannes ducis frater, virtutis ac fortitudinis memor, verso equo, instantem sibi a tergo militem ex immortalium numero plaga una occidit, fugam suorum sistit, praelioque restituto hostes repellit. quo factum est, ut immortales in effusam et inconditam fugam se coniicerent, hostibus semper terga caedentibus. at pater meus in medios illatus hostes et strenue pugnans, perturbabat et ipse eam aciei partem, in quam incurreret; omnes enim, qui contra veniebant, caedit atque illico prosternit, cumque nonnullos de suis subsequi sibique adesse putaret, certa-

νας ἀμύνειν αὐτῷ στρατιώτας, ἀκατασχέτως εἴχετο τοῦ ἀγῶ-
C νος. αἰσθόμενος δὲ διαρραγεῖσαν τὴν ἑαυτοῦ φάλαγγα καὶ ἤδη πολλαχοῦ σκεδασθεῖσαν, τοὺς εὐψυχοτέρους (ἓξ δὲ ἦσαν οἱ σύμπαντες) συλλεξάμενος, ἐβουλεύσατο σπασαμένους τὰ ξίφη, ἐπειδὰν ἐγγίσαιεν τῷ Βρυεννίῳ, κατ' αὐτοῦ χωρεῖν ἀναισχύντως, κἂν δέοι κἀκείνους αὐτῷ συναποθανεῖν. ἀλλ' ἀπεῖρξε τοῦ τοιούτου βουλεύματος Θεόδοτός τις στρατιώτης ἀνὴρ τοὐμῷ πατρὶ παιδόθεν ὑπηρετήσας, ὡς ἄντικρυς παραβόλου τοῦ ἐγχειρήματος ὄντος. τὴν ἐναντίαν οὖν τραπόμενος ὁ Ἀλέξιος ὀλίγον μὲν ὑπεξάγειν ἑαυτὸν τῆς τοῦ Βρυεννίου στρατιᾶς ἐβούλετο, γνωρίμους δέ τινας τῶν διασκεδασθέντων ἐπισυλλέξας καὶ συστησάμενος, αὖθις τῷ ἔργῳ ἐνέκειτο. μή-
D πω δὲ τοὐμοῦ πατρὸς ἐκεῖθεν ἑαυτὸν ὑπεξαγαγόντος, οἱ Σκύθαι τοὺς περὶ τὸν Καταχαλὼν Χωματηνοὺς ἐκλόνουν βοῇ πολλῇ καὶ ἀλαλαγμῷ χρώμενοι, καὶ ἐπειδὴ καὶ τούτους ἀπώσαντο καὶ εἰς φυγὴν εὐκόλως ἐτρέψαντο, πρὸς λαφυραγωγίαν ἀπέβλεψαν καὶ φυγήν, καὶ τὰς ἑαυτῶν ἀνεζήτουν διατριβάς. τοιοῦτον γὰρ τὸ ἔθνος τὸ Σκυθικόν· μήπω καθαρῶς τρεψάμενοι τὸν ἀντίπαλον καὶ τὸ κράτος ἀναδησάμενοι, διαφθείρουσι τὴν νίκην τῇ λαφυραγωγίᾳ. τὴν γὰρ οὐραγίαν τοῦ Βρυεννικοῦ στρατεύματος καταλαβὸν ἅπαν τὸ θητικὸν ταῖς τάξεσιν αὐτῶν ξυνεμίγνυτο φόβῳ τῶν Σκυθῶν, τοῦ μή τι

1. τοῦ ἀγῶνος: τῆς ὁρμῆς A. 5. ἐγγίσοι A. κατ' αὐτὸν G. 6. ἑαυτῷ A. 8. τοὐμοῦ πατὴρ A. lege τῷμῷ. ἐξυπηρετήσας A. 9. τραπόμενος A, τρεπόμενος PG. 17. καὶ φυγὴν om. A. 21. Βρυενίου P. καταλαβὼν P.

mine non destitit. sed ubi fractam suorum aciem et iam multifariam fuga dispersam vidit, fortissimos quosque (erant autem omnino sex,) celeriter colligit, strictisque gladiis, si forte Bryennius prope accederet, invehi in eum sine mora statuit, etiamsi omnes simul occiderent. sed ab hoc eum consilio, utpote prorsus temerario, revocavit Theodotus quidam miles, qui a pueris minister patris mei fuerat. itaque reversus Alexius subducere se paulisper ex Bryennii acie voluit; sed nobilioribus quibusdam eorum, qui dispersi fuerant, collectis et in ordinem redactis, operi iterum institit. nondum autem pater meus inde se subduxerat, cum Scythae Chomatenos, qui sub Catacalone erant, multo clamore aggrediuntur et his quoque pulsis facilique negotio fugatis, ad praedandum se vertunt et domum aufugiunt. talis enim est Scytharum gens, ut priusquam adversariorum vim penitus fregerunt superioresque evaserunt, praedando victoriam irritam reddant. nam qui in novissimo Bryennii agmine erant lixae calonesque, ne quid a Scythis paterentur, ordinibus ipsis se immi-

καθεῖν ἕνεκα παρὰ τούτων· ἀεὶ δέ τι συρρέον ἐπὶ τούτους, P. 13 ὅσον ἐξέφυγε τὰς χεῖρας τὰς Σκυθικάς, σύγχυσιν οὐ μικρὰν ταῖς τάξεσιν ἐνεποίησε, τῶν σημαιῶν ἀναμιχθεισῶν ἀλλήλαις. ἐν τούτοις δὲ ἐναπειλημμένος ὢν οὑμὸς πατὴρ Ἀλέξιος, ὡς καὶ πρόσθεν ἐλέγομεν, περιχορεύων ἐντὸς τοῦ στρατεύματος τοῦ Βρυεννικοῦ, ὁρᾷ τῶν ἱπποκόμων ἕνα τοῦ Βρυεννίου ἵππον τινὰ τῶν βασιλικῶν ἐπισυρόμενον, τῇ τε ἁλουργῷ ἐφεστρίδι κεκοσμημένον καὶ κατάχρυσα τὰ φάλαρα ἔχοντα, καὶ δὴ καὶ τοὺς κατέχοντας τὰς ἐξ ἔθους τοῖς βασιλεῦσι παρεπομένας ῥομφαίας ἐγγύθεν αὐτῷ παραθέοντας. τοῦτο οὖν θεασάμενος, καλύπτει μὲν τὸ πρόσωπον τῷ θωρακιδίῳ, ὃ τῆς κόρυθος κύκλῳ ἐξήρτητο, σφοδρῶς δὲ κατ' αὐτῶν ἐξορμήσας σὺν τοῖς B ἓξ στρατιώταις, οὓς ἄνωθεν ὁ λόγος ἐδήλωσεν, καταβάλλει μὲν καὶ τὸν ἱπποκόμον, αἱρεῖ δὲ καὶ τὸν βασιλικὸν ἵππον, συναφαιρεῖται δὲ καὶ τὰς ῥομφαίας, καὶ λάθρα ὑπέξεισι τοῦ στρατεύματος. ἐν τῷ ἀκινδύνῳ δὲ καταστάς, τόν τε χρυσοφάλαρον ἐκεῖνον ἵππον ἐξέπεμψεν καὶ τὰς παρ' ἑκάτερα τοῦ βασιλικοῦ σώματος στρεφομένας ῥομφαίας καὶ κήρυκά τινα μεγαλοφωνότατον, παρακελευσάμενος ἁπανταχοῦ τοῦ στρα- V. 15 τεύματος διαθέοντα βοᾶν ὡς ὁ Βρυέννιος ἐπεπτώκει. τοῦτο γενόμενον πολλοὺς τῶν σκεδασθέντων τοῦ στρατεύματος τοῦ μεγάλου δομεστίκου τῶν σχολῶν καὶ ἐμοῦ πατρὸς ἁπανταχό- C θεν ξυνέλεγε καὶ παλιμπορεύτους ἐποίει, τοὺς δὲ καὶ ἔπειθεν

4. τούτῳ A. ὁ ἐμὸς A. 5. ἐν τῷ τοῦ G. 9. παραπεμπομένας A. 11. θωρακησίῳ A.

scebant. quos cum semper sequerentur quicumque e barbarorum manibus effugerant, factum est, ut non exigua ordinum perturbatio oriretur et signa inter se confunderentur. interea pater meus Alexius, qui, ut supra diximus, interclusus versabatur in ipso Bryennii exercitu, videt quendam ex equisonibus regium Bryennii equum ducere, purpureo stragulo ornatum et phaleris aureis; quin etiam iuxta currebant, qui romphaeas, ad imperatorum latera portari solitas, gestabant. quibus conspectis, Alexius loricula, in fronte galeae pendente, faciem operuit, summaque vi cum sex quos dixi militibus invasit et deiecto equisone, non solum equo regio, sed etiam romphaeis potitus, clam se acie subduxit. cum in tuto constitisset, phaleris aureis instructum equum et romphaeas, quae ab utroque latere imperatoris gestari solebant, misit qui per exercitum ubique ostentarent; simul praeconem, maxima voce praeditum, Bryennium cecidisse renuntiare iussit. quo facto, multi ex magni domestici scholarum patris mei exercitu, qui fuga dispersi erant, undique conveniebant in proelium-

ἐγκαρτερεῖν. οἱ δὲ ἑστήκεσαν ἀτρεμοῦντες, ἵνα ἕκαστος ἔτυχε, καὶ εἰς τοὐπίσω τὰς ὄψεις στρέψαντες, ἐξεπλήττοντο ἐφ' οἷς παρ' ἐλπίδα ἑώρων. καὶ ἦν ἰδεῖν ἐπ' αὐτοῖς καινόν τι γενόμενον, τῶν ἵππων ἐν οἷς ἐπωχοῦντο τὰς κεφαλὰς ἐπὶ τὸ πρόσω ὁρώσας, τὰ δ' αὐτῶν πρόσωπα εἰς τοὐπίσω ἐστραμμένα, καὶ μήτε ἐπὶ τὰ πρόσω χωροῦντας, μήτε εἰς τοὐπίσω στρέψαι τοὺς χαλινοὺς ἐθέλοντας, ἀλλ' ἐκθάμβους ὄντας καὶ ἐξαπορουμένους οἷον ἐπὶ τοῖς ξυμπεσοῦσιν. οἵ τε γὰρ Σκύθαι D νόστου μνησάμενοι καὶ οἴκαδε ἀπιόντες, οὐκ ἔμελλον ἔτι ἐπιδιώκειν, ἀλλὰ πόρρω τῶν στρατευμάτων ἀμφοῖν γεγονότες μετὰ τῆς λείας αὐτοῦ που περιεπλάνηντο. τό τε διακηρυκευόμενον, ὡς ἄρα ὁ Βρυέννιος ἑάλω καὶ κατενήνεκτο, ἐθαρσοποίει τοὺς τέως δειλοὺς καὶ φυγάδας, καὶ τὸ κηρυττόμενον αὐτόθεν εἶχε τὸ πιθανόν, ἐνδεικνυμένου· πανταχόθι μετὰ τῶν βασιλικῶν παρασήμων τοῦ ἵππου καὶ τῶν ῥομφαιῶν μονονουχὶ διαγγελλουσῶν, ὡς ὁ φυλαττόμενος ταύταις Βρυέννιος χειρὸς πολεμίας γέγονεν ἔργον.

6. Εἶτα ἡ τύχη ξυνέβαλε καί τι τοιοῦτον. ἀπόμοιρά τις ἐκ τῆς συμμαχίας τῶν Τούρκων καταλαμβάνει τὸν δομέστικον τῶν σχολῶν Ἀλέξιον, καὶ ὡς καθειστήκει τὰ τοῦ πολέμου P. 14 μαθόντες καὶ τοὺς πολεμίους ὅπου καὶ εἶεν ἐπιζητήσαντες, ἐπὶ λόφου τινὸς συνεληλυθότες τῷ Κομνηνῷ Ἀλεξίῳ καὶ ἐμῷ πατρί, ἐκείνου δεικνύντος τῇ χειρὶ τὴν στρατιάν,

16. ταύτας P.

que redibant, alii ut sustinerent confirmabantur. qui autem constitere, quo quisque loco forte erat, oculis retro versis, obstupefiebant iis, quae praeter exspectationem videbant. ac novum quoddam praebebant spectaculum. dum enim equorum, quibus insidebant, capita recta spectant, ipsi retorquebant oculos, ac neque porro vehebantur, neque equos convertebant, perculsi ob id quod acciderat. nimirum Scythae, de reditu cogitantes domumque iam abeuntes, non amplius persecuturi erant, sed procul ab utroque exercitu, praeda onusti, palabantur. atque nuntius de capto caesoque Bryennio ignavis hucusque et fugientibus animos reddebat, praesertim cum nuntiatis fidem adderent ostentatus ubique imperatorio ornatu equus et romphaeae tantum non clamantes, Bryennium, cui custodiendo illae erant, hostili manu interemtum esse.

6. Cum in hoc loco res essent, peropportune ad Alexium domesticum scholarum advenit cohors auxiliarium Turcorum. qui cum proelium restitutum audivissent et hostes ubi essent sciscitarentur, Alexius Comnenus pater meus iis de colle, quem una ascenderant,

ἐθεῶντο τούτους ὥσπερ ἀπό τινος σκοπιᾶς. εἶχε δὲ ὧδε τὰ κατ' αὐτούς. συγκεχυμένοι τε γὰρ ἦσαν μήπω συντάξαντες ἑαυτούς, καὶ ὡς τὴν νίκην ἤδη ἀράμενοι καταφρονητικῶς εἶχον καὶ ἔξω κινδύνων ἑαυτοὺς ᾤοντο· μάλιστα δὲ ἀναπεπτώκεισαν, τῶν τῷ ἐμῷ πατρὶ ξυνεπομένων Φράγγων προσκεχωρηκότων τῷ Βρυεννίῳ διὰ τὴν προγεγενημένην τροπήν. καὶ γὰρ τῶν ἵππων ἀποβεβηκότων τῶν Φράγγων καὶ δεξιὰς B διδόντων αὐτῷ, καθάπερ δὴ πάτριόν ἐστι διδόναι τὰς πίστεις, ἄλλος ἀλλαχόθεν πρὸς τούτους ξυνέρρεον, θεασόμενοι τὸ γινόμενον. διεσάλπιζε γὰρ ἡ φήμη τὸ στράτευμα, ὡς ἄρα καὶ οἱ Φράγγοι τούτοις προσέθεντο, τὸν ἀρχιστράτηγον καταλελοιπότες Ἀλέξιον. οὕτω δῆτα συγκεχυμένως ἔχοντας τούτους οἱ ἀμφὶ τὸν ἐμὸν πατέρα καὶ τοὺς νεήλυδας Τούρκους θεασάμενοι, εἰς τρεῖς μοίρας ἑαυτοὺς διενείμαντο, καὶ τὰς μὲν δύο ἐλλοχεῖν αὐτοῦ που διέταττον, τὴν δὲ τρίτην μερίδα χωρεῖν ἐπὶ τοὺς πολεμίους ἐκέλευον. καὶ τὸ ξύμπαν τῆς τοιαύτης διαταγῆς ἐς τὸν ἐμὸν πατέρα Ἀλέξιον ἀνεφέρετο. οἱ C μέντοι Τοῦρκοι οὐ κατὰ φάλαγγα συντεταγμένως ἐπῄεσαν ἅμα πάντες, ἀλλὰ μεμερισμένως κατά τινας ὁμίλους, ἀπ' ἀλλήλων διεστηκότες ἑκασταχοῦ· εἶτα προσβάλλειν ἑκάστην ἴλην, τοὺς ἵππους ἐπὶ τούτους ἐλαύνοντας, καὶ πυκνοῖς ἀποχρῆσθαι τοξεύμασιν. συνείπετο δὲ τούτοις καὶ ὁ τὴν ὅλην στρατηγίαν ἀναδησάμενος ἐμὸς πατὴρ Ἀλέξιος, συλλέξας ἀπὸ

19. μεμερισμένως καὶ ἀπ' ἀλλήλων κατά τινας ὁμίλους διεστηκότες AG. 21. ἐλαύνοντες A. 23. ἀναδεξάμενος A.

velut e specula hostium exercitum monstravit. et hi quidem ita se habebant. temere erant permixti, ordinibus nondum restitutis, et tanquam victoria iam potiti, in summa securitate degebant seque extra periculum arbitrabantur. maxime vero supinos eos Francorum defectio reddidit, qui, nostris initio, ut diximus, in fugam versis, a patre meo ad Bryennium desciverant. cumque equis desilirent et, qui patrius ipsis fidem dandi mos est, dextram offerrent, alii aliunde ibi confluxere, spectaturi, quid ageretur. percrebuit enim toto exercitu fama, etiam Francos, relicto duce suo Alexio, ad Bryennianos transiisse. cum igitur et pater meus et qui modo advenerant Turci ita confusos hostes cernerent, trifariam copiis suis distributis, duas partes in insidiis alicubi subsistere, tertiam in hostes impetum facere placuit; idque consilium a patre meo Alexio profectum erat. sed Turci non acie omnes simul adoriebantur, sed separatim singulis turmis, spatio inter se distantes. quarum turmarum quaeque iussa est incitatis equis in hostes irruere telaque plurima coniicere. sequebatur Alexius pater meus, qui universi exerci-

τῶν σκεδασθέντων ὅσους ὁ καιρὸς ὑπηγόρευε στρατιώτας. V. 16 ἐνταῦθά τις τῶν ἀμφὶ τὸν Ἀλέξιον ἀθανάτων, θρασύσπλαγχνός τις ὢν καὶ τολμητίας, προεξελάσας τὸν ἵππον καὶ τῶν D ἄλλων προεκδραμὼν, ἄντικρυς κατὰ τοῦ Βρυεννίου ὅλους χαλάσας ῥυτῆρας ἐφέρετο. καὶ αὐτὸς μὲν τὸ δόρυ μάλα σφοδρῶς ἐρείδει κατὰ τῶν στέρνων ἐκείνου, ὁ δὲ γοργῶς τοῦ κουλεοῦ τὸ ξίφος ἑλκύσας, μήπω φθάσαντος τοῦ δόρατος κραταιότερον ἐρεισθῆναι, τοῦτό τε ἀπέκοψεν αὐτίκα καὶ τὸν τρώσαντα κατὰ τῆς κλειδὸς πλήξας, ὅλῳ βραχίονι κατενεγκὼν τὴν πληγὴν, ἅμα τὴν χεῖρα πᾶσαν ἐξέτεμεν αὐτῷ θώρακι. οἱ μὲν οὖν Τοῦρκοι ἄλλος ἐπ' ἄλλῳ καταλαμβάνοντες, τοῖς συνεχέσι βέλεσι τὸ στράτευμα κατεσκίαζον. οἱ δέ γε περὶ τὸν Βρυέννιον ἐπλήγησαν μὲν τῷ αἰφνιδίῳ, ὅμως συλλέξαν- P. 15 τες ἑαυτοὺς καὶ εἰς τάξεις καταστησάμενοι, τὸ τοῦ πολέμου βάρος ἐδέξαντο, ἄλλος ἄλλον παρακαλοῦντες ἀνδρίζεσθαι. οἱ μέντοι Τοῦρκοι καὶ ὁ ἐμὸς πατὴρ βραχύ τι πρὸς τοὺς πολεμίους ἀντικαταστάντες, ἑξῆς φεύγειν ἐσχηματίζοντο, κατ' ὀλίγον ἐφέλκοντες εἰς τὰς ἐνέδρας τοὺς πολεμίους καὶ τεχνικῶς ὑποσύροντες. ἐπεὶ δὲ κατὰ τὴν πρώτην γεγόνασιν ἐνέδραν, ἐξ ὑποστροφῆς κατὰ μέτωπον τούτοις εἱστήκεσαν. καὶ συνθήματός τινος γεγονότος, εὐθὺς καθάπερ σφηκιαί τινες ἄλλος ἀλλαχόθεν διεξιππάζοντο τῶν ἐλλοχιζόντων, καὶ ἀλαλαγμῷ πολλῷ καὶ βοῇ καὶ τοῖς ἐπαλλήλοις τοξεύμασι τά τε

5. χαλώσας P. 7. κουλεοῦ G, κολεοῦ PA. 9. κατενεγκεῖν P.
17. ἐξ. φεύγειν : ἐκφεύγειν P.

tus dux erat, collectis circa se ex dispersorum numero, quotquot tempus suggesserat. ibi unus eorum, qui circa Alexium immortales erant, summae audaciae homo, concitato equo ultra ordines progressus, ipsum Bryennium, habenis immissis, recta petiit hastaque quam vehementissime in pectore percussit. verum torvo is vultu, priusquam hasta thoraci infigeretur altius, gladio e vagina educto, et hanc statim fregit, et hominis humero percusso, cum summa vi ictum infligeret, brachium totum abscidit cum ipsa lorica. ac Turci alius alii succedentes, sagittarum quasi nube agmen Bryennii paene inumbrant; contra quos Bryennii milites, licet repentino impetu perterriti, tamen mox ordinibus restitutis, cum alius alium ad virtutem adhortaretur, proelium sustinent. Turci autem et pater meus, ubi aliquamdiu hostibus restiterunt, alius post alium fugere simulant ac paulatim ad insidiarum locum necopinantes eos callide ducunt. cumque eo perventum esset, ubi primae collocatae erant insidiae, versa acie, a fronte hosti insistunt, et qui subsederant, signo dato, statim tanquam vesparum examen irruunt et multo clamore atque perpetua iaculatione et aures

ὦτα κατάκροτα τῶν ἀμφὶ τὸν Βρυέννιον ἐποιήσαντο, καὶ τὰ ὄμματα ξυνεζόφωσαν τῇ πυκνότητι τῶν βελῶν ἁπανταχόθεν B διεκπιπτόντων. ἐνταῦθα δὲ μὴ ἀντιστῆναί δυνάμενον τὸ τοῦ Βρυεννίου στράτευμα, (ἤδη γὰρ πᾶς κατετέτρωτο καὶ ἵππος καὶ ἄνθρωπος,) πρὸς τροπὴν ἀπέκλινε τὴν σημαίαν καὶ τὸν νῶτον παίειν παρέσχε τοῖς ἐναντίοις. ἀλλ' ὅ γε Βρυέννιος, καίτοι πολλὰ βαρυνόμενος ὑπὸ τοῦ πολέμου καὶ σὺν βίᾳ ὠθούμενος, ἐδείκνυ τὸ ἀνδρεῖον καὶ εὔψυχον, ἀεὶ μὲν ἐπιστροφάδην τύπτων τὸν ἐπιόντα, ἀεὶ δὲ τὰ τῆς φυγῆς καλῶς καὶ ἀνδρείως διοικονομούμενος. συνήραντο δὲ τούτῳ καὶ ὁ ἀδελφὸς ἐξ ἑκατέρου μέρους καὶ ὁ υἱός, καὶ κατ' ἐκεῖνο καιροῦ θαῦμα τοῖς πολεμίοις ἐδείχθησαν ἡρωϊκῶς ἀνταγωνισά- C μενοι. ἤδη δὲ τοῦ ἵππου καμόντος καὶ μὴ δυναμένου φεύγειν ἢ καὶ διώκειν, (ἐγγὺς γὰρ ἦν τοῦ ἀποπεπνευκέναι διὰ τοὺς ἐπαλλήλους δρόμους,) ἀνασειράσας τοῦτον ὁ Βρυέννιος, καθάπερ τις ἀθλητὴς γενναῖος, εἱστήκει πρὸς τὰς λαβὰς καὶ πρὸς ἑαυτὸν δύο τῶν Τούρκων γενναίους ἐξεκαλέσατο. ὧν ὁ μὲν εἷς παίει τῷ δόρατι, ἀλλ' οὐκ ἔφθη δοῦναι βαρεῖαν πληγήν, καὶ λαμβάνει ἀπὸ τῆς δεξιᾶς τἀνδρὸς βαρυτέραν. φθάνει γὰρ ἀποκόψας τούτου τὴν χεῖρα ὁ Βρυέννιος τῷ ξίφει, ἣ μετὰ τοῦ δόρατος πρὸς τοὔδαφος ἐξεκυλίσθη. ἅτερος δὲ τούτων τοῦ ἰδίου ἵππου καταπηδήσας, καθάπερ τις πάρδαλις ἥλατο ἐπὶ τοῦ ἵππου τοῦ Βρυεννίου, ἐναρμόσας D

2. ὄμματα A, σώματα PG. 8. ἔμψυχον P. 11. τοῦ add. A ante μέρους. 14. καὶ om. A. 23. ἥλλατο codices, corr. Diesterweg.

Bryennii militum obtundunt, et oculos telorum involvunt tenebris. itaque cum omnes et equi et homines vulneribus iam essent operti, resistere diutius Bryennii copiae non poterant, versisque signis terga dabant. at Bryennius, licet admodum fatigatus pugna cedere coactus, quam fortis et strenuus esset, ostendit. non enim destitit, quoquoversus instantes caedere et fugam suorum egregie ac praesenti animo ornare. in quo adiutores utrimque habuit et fratrem et filium, quorum eximia virtus hostibus eo die miraculo erat. sed cum equus Byrennii deficeret et neque fugere posset, nec vero etiam persequi, (non multum enim ab exspirando aberat ob assiduam currendi molestiam) retraxit hunc ille loro ac, velut gladiator generosus, ad certamen paratus constitit duosque Turcorum ferociores ultro provocavit. quorum cum alter hasta eum peteret, priusquam perferret ictum, gravius ipse percussus est. abscidit enim Bryennius eius manum gladio, quae una cum hasta in humum decidit. alter, relicto suo equo, velut pardalis in Bryennii equum transiliit lumbisque insedit. cum-

ἑαυτὸν ἐπὶ τῆς ὀσφύος. καὶ ὁ μὲν εἴχετο τούτου ἀπρὶξ καὶ
ἐπιβαίνειν ἐπειρᾶτο τοῦ νώτου, ὁ δὲ καθάπερ θηρίον ἐπι-
στρέψας ἑαυτόν, ἐκκεντεῖν διὰ τοῦ ξίφους ἐβούλετο. οὐ μέν-
τοι κατὰ νοῦν ἐχώρει αὐτῷ τὰ πράγματα, ἀεί τι τοῦ κατὰ
νῶτον Τούρκου λυγιζομένου καὶ τὰς τρώσεις ἐκφεύγοντος.
ἐπεὶ δὲ καὶ ἡ δεξιὰ αὐτῷ ἀπειρήκει κενεμβατοῦσα καὶ ἀπεῖ-
πεν ὁ ἀθλητής, ἐνταῦθα πρὸς ἅπασαν χεῖρα πολεμίων ἐνδέ-
δωκεν ἑαυτόν. οἳ καὶ συλλαβόμενοι τοῦτον καὶ ὥσπερ μέγα
κῦδος ἀράμενοι, κομίζουσιν Ἀλεξίῳ τῷ Κομνηνῷ, οὐ πάνυ
μέντοι πορρωτέρω καθεστηκότι τῆς τοῦ Βρυεννίου ἁλώσεως,
ἐκτάττοντι δὲ τάς τε τῶν βαρβάρων καὶ τὰς ἑαυτοῦ φάλαγ-
V. 17 γας καὶ πρὸς τὸν πόλεμον ἐρεθίζοντι. καὶ πρότερον μὲν διά
P. 16 τινων κηρύκων τὴν ἅλωσιν τοῦ ἀνδρὸς διεπέμψαντο, ἔπειτα
δὲ καὶ αὐτὸν παριστῶσι τῷ στρατηγῷ, θέαμα ὄντως φοβερὸν
καὶ πολεμοῦντα καὶ ἁλισκόμενον. οὕτω μὲν οὖν τὸν Βρυέν-
νιον εἰς χεῖρας ἔχων ὁ Κομνηνὸς Ἀλέξιος, δορύκτητον τῷ
βασιλεῖ ἐκπέμπει Βοτανειάτῃ, μηδὲν μέντοι λυμηνάμενος τὰ
ὄμματα ὅλως ὁ ἀνήρ. οὐ γὰρ ἦν τοιοῦτος ὁ Κομνηνός, ὥστε
μετὰ τὴν ἅλωσιν ἐπεξέρχεσθαι τοῖς ἐπ' αὐτὸν καταστᾶσιν,
ἀλλ' εἰς τιμωρίαν αὐτάρκη ἐνόμιζε τὴν τοῦ πολεμίου ἅλωσιν·
τὰ δ' ἐντεῦθεν φιλανθρωπίαι τε καὶ φιλοφροσύναι καὶ φι-
B λοτιμία πολλή. ὅπερ κἀν τῷ Βρυεννίῳ ἐνεδείξατο. καὶ γὰρ
ἱκανὸν αὐτῷ μετὰ τὴν ἅλωσιν συμπορευθεὶς διάστημα, ἐπὰν

4. τι A, τοι P, om. G. 5. νώτου G. λογιζομένου P. 18. ὅλως om G, μηδέν τι λυμηνάμενος ἑαυτῷ τοῦ σώματος ὁ ἀνήρ A. an τῷ ἀνδρί?

que firmiter ibi adhaeresceret et tergum inscendere niteretur, Bryennius ut belua sese convertens, perfodere eum gladio voluit; neque tamen ex sententia res cessit, cum Turca pone tergum semper ictus, inclinato corpore, evitaret. denique lassata dextra iactandis in vanum ictibus, cum Bryennius desperaret, in mediam se hostium turbam iniecit; qui comprehensum hominem, velut magnam gloriam adepti, ad Alexium Comnenum ducebant, qui haud procul aberat et suos Turcorumque ordines instruebat atque ad pugnam incitabat. iamque praemissis nuntiis illi de capto Bryennio certiorem eum fecerant; mox ipsum adducebant, qui terribilis sane adspectu et pugnans et vinctus erat. tali modo captum Bryennium Alexius ad imperatorem duxit Botaniatem, nihil omnino afflictis oculis eius. non enim is erat pater meus, qui captis hostibus insultaret, sed ad poenam satis captivitatem ducebat; quin immo post victoriam magna in eos erat humanitate et benignitate et munificentia. idque etiam in Bryennio ostendit. nam absoluto iam cum eo satis longo itinere, ubi ad locum .....

τὸν . . . . . οὕτω καλούμενον τόπον κατέλαβεν, ἀνακτήσασθαι τῆς λύπης χρησταῖς ἐλπίσι τὸν ἄνδρα βουληθείς, πρὸς αὐτὸν ἔφη "ἀποβάντες τῶν ἵππων καθεζώμεθα μικρὸν ἑαυτοὺς διαναπαύσοντες." ὁ δὲ τὸν περὶ ψυχῆς δεδιὼς κίνδυνον, μεμηνόσιν ἐῴκει καὶ οὔτε ῥᾳστώνης ἐν χρείᾳ ἦν· πῶς γὰρ ὁ καὶ αὐτὴν ἀπολεγόμενος τὴν ζωήν; ἀλλ' ὅμως τῷ τοῦ στρατηγοῦ εὐθὺς ὑπετάγη βουλήματι. τοιοῦτον γὰρ τὸ δοῦλον πρὸς ἅπαν τὸ ἐπιταττόμενον ῥᾳδίως ὑπεῖκον, καὶ μᾶλλον εἰ C δορυάλωτον ἄγοιτο. ἀποβάντες τοίνυν οἱ δημαγωγοὶ τῶν ἵππων, ὁ μὲν ἔνθεν ὡς ἐπὶ στιβάδος ἐπὶ πόας εὐθὺς ἀνέκειτο χλοερᾶς, ἐκεῖθι δ' ὁ Βρυέννιος, ῥίζης ὕπερθεν ὑψικλόνου δρυὸς τὴν κεφαλὴν ἀνέχων. κᾀκεῖνος μὲν ἐκάθευδε, τὸν δ' οὐκ ἔχε νήδυμος ὕπνος, τοῦτο δὴ τὸ τῆς γλυκείας ποιήσεως. ἀλλὰ τὸν ὀφθαλμὸν ἀνατείνας καὶ τὸ ἀπῃωρημένον τοῖς πτόρθοις ξίφος θεασάμενος, ἐπεὶ μηδένα μηδαμοῦ τότε παρόντα ἑώρα, ἀνακτησάμενος τῆς ἀθυμίας ἑαυτόν, κρείττονος γίνεται λογισμοῦ καὶ ἀποκτεῖναι τὸν ἐμὸν πατέρα βουλεύεται. καὶ τάχα ἂν εἰς ἔργον ἀπέβη τὸ βούλευμα, εἰ μή τις ἄνωθεν D θεία τοῦτον διεκώλυσε δύναμις, τὸ ἄγριον τοῦ θυμοῦ ἐξημερώσασα καὶ ἱλαρὸν τῷ στρατηγῷ ἐνατενίζειν παρασκευάσασα. ταῦτα ἐγὼ ἐκείνου διηγουμένου πολλάκις ἤκουον. ἔνεστι δὲ τῷ βουλομένῳ ἐντεῦθεν κατανοεῖν, ὅπως τὸν Κομνηνὸν ἐς μείζονα ἀξίαν παρεφυλάττετο ὁ θεὸς καθάπερ τι

3. καθεδούμεθα A. 5. οὔτε: οὔτι γε? 11. ἐκεῖθεν A. ὑψικλόνου: lege ὑψικόμου. 13. εἶχε AG. 16. ἀναστησάμενος A. 17. βούλεται A. 18. βούλημα G.

dictum venit, hominis moerore levandi adque spem erigendi causa, "age" inquit "descendamus ex equis, ut paulisper ab itinere conquiescamus." verum ille vitae suae timens, furenti similis erat nec quietem admodum requirebat. quid mirum? omnem salutis spem abiecerat. tamen imperatori statim dicto audiens fuit. nam tale est ingenium servorum, ut in quavis re dominis facile obediant, praesertim si qui bello capti sunt. itaque ubi desilierunt duces ex equis, Alexius statim in viridi herba, velut toro, recubuit, Bryennius autem, capite in alta quercus radice imposito, dum ille obdormit, non dulci, ut in suavissimo poemate est, inclinat lumina somno; sed ubi resupinus, sublatis oculis, pendentem e ramis gladium Alexii conspexit neque ullum circa arbitrum vidit, moerore in audaciam mutato, patris mei interficiendi consilium capit. et perfecisset sane, nisi divina quaedam obstitisset vis, quae eius saevitiam mitigavit atque ut comiter imperatorem adspiceret, effecit. haec ego ex ipso saepe audire memini. unde perspicere cuivis licet, Comnenum a deo

χρῆμα τίμιον, τὰ Ῥωμαίων σκῆπτρα δι' αὐτοῦ ἐπανακαλέσασθαι θέλων. εἰ δέ τι μετὰ ταῦτα συμβέβηκε τῷ Βρυεννίῳ τῶν ἀβουλήτων, αἰτία τῶν ἀμφὶ τὸν βασιλέα τινῶν, ὁ ἐμὸς πατὴρ ἀναίτιος.

7. Τὰ μὲν οὖν κατὰ τὸν Βρυέννιον οὕτω διήνυστο. ὁ P. 17 δὲ μέγας δομέστικος Ἀλέξιος καὶ ἐμὸς πατὴρ οὐκ ἔμελλεν ἀτρεμήσειν, ἀλλ' ἐξ ἀγώνων εἰς ἀγῶνας μεταχωρεῖν. ὁ γὰρ Βορῖλος τῶν ἀμφὶ τὸν Βοτανειάτην οἰκειότατος βάρβαρος ἐξελθὼν τῆς πόλεως καὶ ὑπαντήσας τῷ μεγάλῳ δομεστίκῳ καὶ ἐμῷ πατρί, τὸν Βρυέννιον ἐκ τῶν χειρῶν αὐτοῦ παραλαβὼν ἔδρασεν ὅ τι δὴ καὶ ἔδρασεν· ἐπισκήπτει δὲ παρὰ τοῦ βασιλέως τῷ ἐμῷ πατρὶ χωρεῖν ὡς ἐπὶ τὸν Βασιλάκιον, ἤδη καὶ τοῦτον βασιλείας περιθέμενον διάδημα καὶ τὴν ἑσπέραν μετά γε τὸν Βρυέννιον ἀκατασχέτως κυμαίνοντα. ὁ γάρ τοι Βασιλάκιος οὗτος ἀνὴρ μὲν ἦν τῶν πάνυ θαυμαζομένων ἐπ' B ἀνδρείᾳ τε καὶ θυμῷ καὶ τόλμῃ καὶ ῥώμῃ· ἄλλως δὲ ἄνθρωπος τυραννικὴν ψυχὴν ἔχων, ἐφεῖλκεν εἰς ἑαυτὸν τὰς V. 18 ὑπερηφάνους τιμάς, καὶ ἀναρρήσεις τὰς μὲν ἐπενοεῖτο, τὰς δὲ προσέταττε. τοῦ γὰρ Βρυεννίου καθαιρεθέντος, οὗτος καθάπερ ἐκείνου διάδοχος γεγονὼς τὴν πᾶσαν εἰς ἑαυτὸν ἀνεδέξατο τῆς τυραννίδος ὑπόθεσιν. καὶ ἀπὸ τῆς Ἐπιδάμνου ἀρξάμενος, (μητρόπολις δὲ αὕτη προκαθημένη τοῦ Ἰλλυρι-

1. τῶν add. A ante Ῥωμαίων. 4. αἰτίᾳ P. 8. βορίλος A. 10. ἔδρασεν ὅ,τι G, ἔδραμεν ὅ,τι A, ἔδραμεν πρὸς ὅ,τι P. 12. ὡς om. A. 15. μὲν post ἦν add. P.

velut carum caput ad maiora servatum esse; nempe eius opera rem Romanam restituere volebat. ceterum si quid postea Bryennius passus est mali, id culpa quorundam factum est, qui circa imperatorem erant, pater meus culpa caret.

7. Hunc exitum expeditio adversus Bryennium habuit; magno autem domestico Alexio patri meo nulla remissio laborum dabatur, sed nova semper pericula subeunda erant. etenim Borilus barbarus, Botaniatae admodum familiaris, Cpoli egressus et magno domestico patri meo obviam factus, postquam Bryennium ex manibus eius accepit et infandum facinus perpetravit, imperatoris nomine patrem meum iubet contra Basilacium proficisci, qui et ipse diadema sumserat et occidentem, ut paullo ante Bryennius, vehementissime miscebat. erat autem hic Basilacius vir ea tempestate inter omnes praecellens virtute, animo, audacia atque robore; cumque praeterea dominandi cupidus esset, summa ad se munera rapiebat et honores alios ambibat, alios poscebat. devicto enim Bryennio, ille quasi eiusdem successor rerum potitus, ab Epidamno, quod est Illyrici caput, usque ad Thes-

κοῦ,) μέχρι τῆς τῶν Θετταλῶν πόλεως ἧκε πάντα καταστρεψάμενος, αὐτὸς ἑαυτὸν καὶ χειροτονήσας εἰς βασιλέα καὶ εὐφημήσας καὶ τὸν πλάνητα τούτου στρατὸν ὅποι καὶ βούλοιτο μεταφέρων. ἦν γὰρ καὶ ἄλλως μὲν θαυμαζόμενος ὁ ἀνὴρ C ἐπί τε μεγέθει σώματος καὶ κράτει βραχιόνων καὶ προσώπου σεμνότητι, οἷς μᾶλλον ἁλίσκεται τὸ ἀγροικικὸν τοῦτο καὶ στρατιωτικὸν ἔθνος. οὐ γὰρ διορᾷ εἰς ψυχήν, οὐδ' ἐνατενίζει πρὸς ἀρετήν, ἀλλὰ μέχρι τῶν τοῦ σώματος ἀρετῶν ἵσταται, τόλμαν καὶ ῥώμην καὶ δρόμον καὶ μέγεθος θαυμάζον καὶ ταῦτα κρῖνον ἄξια ἁλουργίδος καὶ διαδήματος. ὁ δὲ καὶ ταῦτα ἔχων οὐκ ἀγεννῆ, καὶ τὴν ψυχὴν εἶχεν ἀνδρείαν καὶ ἀκατάπληκτον· καὶ ὅλως οὗτος ὁ Βασιλάκιος τυραννικόν τι καὶ ἔπνει καὶ ἔβλεπε. φθέγμα τε γὰρ αὐτῷ βροντῶδες καὶ οἷον καταπλῆξαι στρατιὰν ὅλην, καὶ ἐμβόημα ἱκανὸν συστεῖλαι ψυχῆς θράσος. καὶ ἄμαχος ἐν λόγοις ἐπίσης ἐπιχειρῶν ἐπᾶ- D ραί τε καὶ συστεῖλαι τὸν στρατιώτην εἰς πόλεμον καὶ φυγήν. μετὰ τοιούτων πλεονεκτημάτων στρατευόμενος ὁ ἀνὴρ καὶ περὶ αὐτὸν συλλεξάμενος ἄμαχον στρατιάν, τὴν Θετταλῶν πόλιν καταλαμβάνει, καθάπερ ἔφημεν. ὁ δέ γε ἐμὸς πατὴρ ὁ Κομνηνὸς Ἀλέξιος ὡς πρὸς Τυφῶνα μέγαν ἢ ἑκατοντάχειρα Γίγαντα ἀντιπαραταξάμενος καὶ πᾶσαν ἑαυτῷ ἀνεγείρας στρατηγικὴν μηχανὴν καὶ φρόνημα γενναῖον ὡς πρὸς ἀντί-

1. ἦλθε A. 21. ἀναγείρας A. 22. στρατιωτικὴν A.

salorum urbem omnia in potestatem redigit, a semet ipso imperator et creatus et acclamatus. milites Bryennii sine duce oberrantes eum, quocunque vellet, sequebantur, cum etiam ceteroquin ob corporis magnitudinem et lacertorum robur et oris dignitatem in maxima admiratione esset. his enim rebus agrestes et bellicosi homines magis capiuntur: nam ad animum non penetrant, neque virtutis rationem habent, sed in corporis praestantia subsistentes, audaciam, robur, celeritatem, magnitudinem admirantur easque dotes purpura ac diademate dignas iudicant. at ille non solum his virtutibus excellebat, verum etiam forti et intrepido animo erat praeditus. omnino regiam plane speciem Basilacius prae se ferebat; vox eius erat ingens quaeque totum exercitum percelleret; clamore sublato audacissimum quemque perterrefaciebat, et ut in fugam ipsa voce vertere poterat, ita ubi ad pugnandum accendere vellet, invictus in dicendo erat. his ornatus virtutibus et egregiis copiis instructus, Thessalorum urbem occupat, ut diximus. sed pater meus Comnenus Alexius velut cum Typhone magno vel centimano Gigante pugnaturus, omnem expromsit militarem industriam ac fortitudinem seque ita ad certamen paravit, ut adversarii virtus exigere videretur. nondum igitur prioris

P. 18 παλον ἀξιόμαχον παρεσκεύαστο. καὶ μήπω τὸν ἐκ τῶν προτέρων ἄθλων κονιορτὸν ἀποτιναξάμενος, μηδὲ τὸν λύθρον τοῦ ξίφους καὶ τῶν χειρῶν ἀποπλυνάμενος, ὥσπερ λέων ἐχώρει βλοσυρὸς πρὸς τὸν χαυλιόδοντα τοῦτον σῦν Βασιλάκιον τὸν θυμὸν αὐτοῦ ἀνεγείρας. καὶ καταλαμβάνει δῆτα τὸν ποταμὸν Βαρδάρον· οὕτω γὰρ ἐγχωρίως αὐτὸν ὀνομάζουσιν· ῥεῖ μὲν γὰρ ἄνωθεν ἀπὸ τῶν ἐγγύθεν τῆς Μυσίας ὀρῶν, παραμείβων δὲ πολλοὺς μεταξὺ τόπους καὶ διορίζων πρός τε τὴν ἕω καὶ τὴν ἑσπέραν τά τε Βερροίᾳ καὶ Θεσσαλονίκῃ προσήκοντα, ἐκδίδωσιν εἰς τὴν καθ' ἡμᾶς καὶ νοτίαν B θάλασσαν. πάσχουσι δὲ οἱ μέγιστοι τῶν ποταμῶν τοιοῦτόν τι. ἐπειδὰν διὰ τῆς προσχώσεως ἀνάστημά τι ἀξιόλογον ἐπιφορήσωσι γῆς, τότε δὴ ἐπὶ τὰ κατάρροπα ῥέουσιν, ὥσπερ δὴ μεταμείβοντες τὰς πρώτας κοίτας αὐτῶν, καὶ τὴν μὲν παλαιὰν καταλείπουσι πάροδον διάκενον ὑγροῦ καὶ χηρεύουσαν ὕδατος, ἣν δὲ νῦν διοδεύουσιν, ἐμπιπλῶσι ῥευμάτων πολλῶν. τούτων οὖν τῶν δυεῖν παρόδων, τῆς τε παλαιᾶς χαράδρας καὶ τῆς ἄρτι γενομένης πορείας, τὸ μεταξὺ θεασάμενος ὁ στρατηγικώτατος οὗτος Ἀλέξιος καὶ ἐμὸς πατήρ, καὶ τὸν μὲν ὁλκὸν τοῦ ποταμοῦ ὡς ἀσφάλειαν θέμενος ἐκ θατέρου, τῇ δὲ C παλαιᾷ διόδῳ ἤδη φάραγγι γεγονυίᾳ ἐκ τῆς τοῦ ῥεύματος ἐπιρροίας καθάπερ αὐτοφυεῖ ἀποχρησάμενος διώρυχι, ἐστρατοπέδευσεν, οὐ πλεῖον τῶν δυεῖν ἢ τριῶν σταδίων ἀλλήλων ἀποδιεστηκότων. καὶ εὐθὺς ἐν παραγγελίᾳ πάντες ἦσαν,

2. τὸ A. 6. Βαρδάριον A. 9. τὰ ante Θεσσ. add. PG, om. A. 17. δυοῖν hic et infra P.

certaminis excusso pulvere, neque etiam cruore ab ense et manibus abluto, ut leo torvus in frendentem istum aprum, animi firmatus, procedit. iamque ad fluvium, quem Bardarum incolae vocant, pervenit; oritur is e Mysiae vicinis montibus, multasque regiones praeterfluens, et quae Berrhoeam et Thessalonicam adiacent, in duas partes occidentalem et orientalem divisis, influit in mare nostrum australe. facere autem solent fluvii maiores, ut cum alluvione terram satis multam invexerint, in loca declivia fluant et, veteribus relictis alveis aquaque destitutis, novas sibi vias aperiant et aqua impleant. quod igitur inter utrumque novum veteremque alveum erat intervallum ubi Alexius pater meus, qua erat sagacitate, conspicatus est, fluvii tractum ab altera parte pro munitione habens et veteri ab altera parte alveo, quem iam in faucium altitudinem fluminis vis excavaverat, tanquam fossa nativa usus, castra posuit. distabat autem uterque alveus non plus tribus stadiis. ac statim iussit omnes inter-

ἡμέρας μὲν ἀναπαύσασθαι καὶ παραμυθῆσαι ὕπνῳ τὸ σῶμα
καὶ τοῖς ἵπποις τροφὴν δοῦναι τὴν ἀρκοῦσαν· μέλλουσι γὰρ
τῆς ἑσπέρας καταλαβούσης ἀγρυπνῆσαί τε καὶ ἐλπίζειν ἀδό-
κητόν τι παρὰ τῶν πολεμίων ἐπισυμβῆναι. ταῦτα δέ, οἶμαι,
διῳκονόμητο ὁ ἐμὸς πατὴρ κίνδυνον ὑφορώμενος κατὰ τὴν
ἑσπέραν ἐκείνην παρὰ τῶν πολεμίων. ἐπιθήσεσθαι γὰρ ἑαυτῷ D
τούτους ἤλπιζεν, εἴτ' ἐκ πολυπειρίας τοῦτο προμαντευόμε- V. 19
νος, εἴτε ἄλλως εἰκάσας. οὐ μὴν τὰ τῆς προφητείας αὐτῷ
εἰς μακρὰν ἐληλύθει, οὐδὲ προέγνω μέν, οὐ τὸ δέον δὲ διῳ-
κήσατο. ἀλλ' ἀπάρας τῆς τούτου σκηνῆς ἅμα τοῖς ἀμφ'
αὐτὸν στρατιώταις σὺν ὅπλοις καὶ ἵπποις καὶ πᾶσι τοῖς πρὸς
μάχην ἐπιτηδείοις, ἀπέστη μὲν τῆς σκηνῆς λαμπάδας τε κα-
ταλελοιπὼς ἐκεῖθι πανταχόθεν φαινούσας καί τινα τῶν ἀμφ'
αὐτὸν οἰκεῖον Ἰωαννίκιον πάλαι τὸν μοναχικὸν ἑλόμενον
βίον, τὴν σκηνὴν καταπιστεύσας καὶ ὅσα ἐπεφέρετο εἴς τε
τράπεζαν χρειώδη καὶ τὴν ἄλλην παρασκευήν. αὐτὸς δὲ
πορρωτάτω ἀπιὼν ἐκάθητο μετὰ τῆς ἐνόπλου στρατιᾶς τὸ
μέλλον καραδοκῶν, τοῦτο τεχναζόμενος, ἵν' ὁ Βασιλάκιος
ἀνημμένας πανταχόθεν πυρκαϊὰς ἰδὼν καὶ λαμπαδοχουμένην
τὴν τοὐμοῦ πατρὸς σκηνήν, οἰήσαιτο ἐκεῖθι τοῦτον εἶναι
διαναπαυόμενον, ὡς ἐντεῦθεν ἐκείνῳ τοῦτον ἁλώσιμον εἶναι P. 19
καὶ ὑποχείριον.

12. λαμπάδας καταλελοιπὼς τοῖς ἐκεῖθι PG, alterum A. 16. τ'ἄλλην P. 18. παραδοχῶν P. 19. lege λαμπαδουχουμένην.

diu quieti indulgere somnoque corpus reficere et iumentis pabulum dare; nam inumbrante vespera fore, ut vigilare debeant et improvisum hostium impetum exspectare. idque, arbitror, pater meus mandaverat, quod periculum sibi hoc vespere ab hostibus timebat. nam eos se aggressuros esse sperabat, sive rerum bellicarum usu, sive aliunde edoctus. neque praesagium eius intra longinquam spem haesit, nec praesagivit modo, quod autem facto opus erat neglexit. immo copias e castris cum armis et equis omnibusque, quae ad pugnam necessaria sunt, eduxit, ignibus in castris relictis late lucentibus et uno ex familiaribus monacho veteri Iohannicio, cui castra commisit et commeatum, quem secum portabat, reliquumque apparatum. ipse longissime a castris cum armato exercitu subsedit, exspectans, quid futurum esset; idque eo consilio fecit, ut Basilacius, cum accensos undique ignes et splendens patris mei tabernaculum conspexisset, requiescere hunc ibi securum arbitraretur ac facili negotio capi posse.

8. Οὐκ εἰς μάτην δέ, καθάπερ εἰρήκειμεν, ἡ μαντεία τοὐμοῦ πατρὸς Ἀλεξίου ἐγεγόνει. ἐπῆλθε γὰρ τῷ προσδοκωμένῳ στρατοπέδῳ ἀθρόον ὁ Βασιλάκιος σὺν ἱππεῦσί τε καὶ πεζοῖς, μυρίανδρον στρατιὰν ἐπαγόμενος. καὶ τὰς μὲν κλισίας ἐφευρὼν ἑκασταχοῦ ἀναλαμπούσας πυρί, ἐξαστράπτουσαν δὲ καὶ τὴν τοῦ στρατηγοῦ σκηνὴν θεασάμενος, ὡς εἶχε ῥύμης εἰς ταύτην εἰσεληλύθει, πολυτάραχόν τι καὶ θορυβῶδες βοῶν. ὡς δ' οὐκ ἦν οὐδαμοῦ ὁ προσδοκώμενος, οὐδέ τις ἀνέπτη στρατιώτης ἐκεῖθεν τὸ παράπαν ἢ στρατηγός, εἰ B μή πού τινες καταλελειμμένοι τῶν θητευόντων εὐκαταφρόνητοι, ἔτι μᾶλλον ἐβόα καὶ ἐκεκράγει "ποῦ ποτέ ἐστιν ὁ τραυλός;" οὑτωσὶ καὶ τοῖς ῥήμασιν εἰς τὸν μέγαν δομέστικον ἀποσκώπτων. ἦν γὰρ τἆλλα μὲν οὗτος ὁ ἐμὸς πατὴρ Ἀλέξιος εὔστομος καὶ οὐδεὶς οὕτω ῥήτωρ ἦν αὐτοφυὴς ἔν τε ἐνθυμήμασι καὶ ἐπιχειρήμασι, μόνον δὲ κατὰ τὸν φθόγγον τοῦ ῥῶ ὑπωλίσθαινέ τε μετρίως καὶ ἀσυμφανῶς διώκλα ἡ γλῶττα, καίτοι κατὰ τἆλλα στοιχεῖα τὸν ῥοῦν ἀκάθεκτον ἔχουσα. ἀλλ' ὁ μὲν οὕτως ὀνειδίζων ἐβόα, καὶ διηρευνᾶτο καὶ ἀνέτρεπε πάντα καὶ κιβώτια καὶ σκίμποδας καὶ σκεύη καὶ αὐτὴν C δὴ τὴν τοὐμοῦ πατρὸς κλίνην, μή πως ὁ στρατηγὸς ἔν τινι τούτων κέκρυπτο. καὶ θαμὰ πρός τε τὸν μοναχὸν οὕτω καλούμενον Ἰωαννίκιον ἐνέβλεπε· καὶ γὰρ διὰ σπουδῆς ἐπε-

1. δὲ add. A. 2. ἐγεγόνει add. A. 5. ἐφεῦρε AG. πανταχοῦ A. 7. πολυτάρακτόν τε καὶ G. 8. οὐδαμῇ A. 12. καὶ om. A. 15. τοῦ ῥῶ ὡς G, τοῦ ὡς P, recte A. 16. διέκλα coni. Hoeschel. 21. τε om. A.

8. Nec fefellit patrem meum, ut diximus, praesagium. Basilacius enim hostes, quorum adventum exspectaverat, cum omnibus equitibus et peditibus (decem millium numerum implebant) repente adortus, cum tentoria undique lucentia invenisset et resplendens etiam imperatoris tabernaculum videret, quanto impetu potuit eo irruit, ingenti clamore sublato. nusquam vero apparente Alexio, quem ibi deprehensurum speraverat, neque milite omnino ullo nec duce prodeunte, nisi siqui calones viles relicti erant, etiam vehementius, ubi tandem esset balbus iste, clamabat, vel ipsis dictis magnum domesticum cavillans. utebatur enim pater meus ceteroquin linguae volubilitate neque quisquam natura ad disserendum et argumentandum magis comparatus erat; in canina tantum littera leviter haesitabat et aliquantum balbutiebat, quanquam in reliquis optime fluebat oratio. hinc igitur illudendi occasione Basilacius sumta, clamitabat pervestigabatque omnia et subvertebat arcas, mensas, vasa, ipsum denique patris mei lectum, ne forte imperator alicubi lateret.

ποίητο ἡ μήτηρ ἐν ἁπάσαις ταῖς αὐτοῦ ἐκστρατείαις ὁμόσκηνον ἔχειν τῶν τιμιωτέρων τινὰ μοναχόν, καὶ ὁ εὔνους οὗτος υἱὸς ὑπεῖκε τῷ μητρικῷ θελήματι οὐ τὰ ἐν βρέφει μόνον, ἀλλὰ καὶ ἐς μείρακας παραγγείλας καὶ μέχρις ἂν γυναικὶ συνηρμόσθη· καὶ τὰ τῆς σκηνῆς ἅπαντα ὁ Βασιλάκιος διηρευνᾶτο καί, τοῦτο δὴ τὸ τοῦ Ἀριστοφάνους, ἐρεβοδιφῶν οὐκ ἀνίει, πυνθανόμενος ἅμα καὶ τὸν Ἰωαννίκιον περὶ τοῦ δομεστίκου. D
τοῦ δὲ πρὸ ὥρας ἐξιέναι ξὺν παντὶ τῷ στρατεύματι διισχυριζομένου, γνοὺς ὅτι πολὺν τὸν πλάνον ὑπέμεινε, καὶ τοῖς ἅπασιν ἀπειπάμενος, ἄλλας ἐκ ἄλλων φωνὰς μεταμείβων ἐβόα "ἄνδρες συστρατιῶται, ἠπατήμεθα· ὁ πόλεμος ἔξωθεν." οὔπω τέλος ἔσχεν ὁ λόγος αὐτῷ, καὶ ἐξιοῦσι τοῦ στρατοπέδου ἐφίσταται τούτοις ὁ ἐμὸς πατὴρ ὁ Κομνηνὸς Ἀλέξιος, προπηδήσας τῆς V. 20
στρατιᾶς σὺν ὀλίγοις τισὶ μετὰ σφοδρότητος. καί τινα εἰς P. 20
τάξιν συνιστῶντα τὰς φάλαγγας θεασάμενος, (καὶ γὰρ οἱ πλείους τῶν στρατιωτῶν τῶν ἀμφὶ τὸν Βασιλάκιον εἰς τὴν λείαν ἑαυτοὺς ἐπιδεδωκότες καὶ τὰ λάφυρα — τοῦτο γὰρ καὶ πάλαι τοὐμῷ πατρὶ ἐμεμηχάνητο — οὔπω ἔφθησαν συνελθεῖν καὶ εἰς παράταξιν καταστῆναι, καὶ ἐπέστη αὐτοῖς ἀθρόον κακὸν ὁ μέγας δομέστικος,) ἰδὼν δὲ τὸν καθιστῶντα τὰς φάλαγγας καὶ νομίσας εἴτε ἀπὸ τοῦ μεγέθους εἴτε ἀπὸ τῆς τῶν ὅπλων λαμπρότητος (καὶ γὰρ ἀντέστιλβε τούτῳ τὰ ὅπλα πρὸς τὴν

12. αὐτοῦ G. 18. lege τὠμῷ.

quod dum facit, identidem monachum Iohannicium adspiciebat. etenim studiose id egerat mater Alexii, ut quoties in bellum is proficisceretur, contubernalem haberet ex venerabilioribus unum monachis; cui maternae voluntati pius filius non solum cum puer esset, verum etiam iuvenum numero adscriptus atque adeo donec uxorem duxit, obsecutus est. totum igitur tabernaculum Basilacius perscrutabatur et, ut Aristophanes dicit, ἐρεβοδιφῶν non desinebat, interrogans simul Iohannicium de magno domestico. is cum Alexium ante horam cum universo exercitu egressum castris asseveraret, quanto in errore esset, sensit, sibique prorsus desperans ac multum vociferatus, "commilitones" exclamat "decepti sumus; bellum extra est." necdum loqui desierat, cum copias e castris exeuntes pater meus Comnenus Alexius adoritur, agmen cum paucis suorum praecurrens maxima cum vehementia. ibi unum quendam aciem instruentem cum animadverteret, (plerosque enim Basilacii milites — id enim pater meus praestruxerat — praedae ac rapinarum studio palantes, antequam in ordinem redierant, oppressit repentina pernicie magnus domesticus,) eum igitur cum aciem instruentem videret et vel ex proceritate corporis vel ex armorum splendore (nam ea astrorum lumine fulgebant) ipsum Ba-

ἀστραίαν βολὴν,) ἐκεῖνον εἶναι τοῦτον τὸν Βασιλάκιον, συν-
B αντήσας αὐτῷ γοργῶς παίει κατὰ τῆς χειρός· ἡ δ' εὐθὺς
μετὰ τοῦ ξίφους εἰς γῆν ἔρριπτο, ὅπερ μεγάλως τὴν φάλαγγα
συνετάραξεν. οὐ μὴν ὁ Βασιλάκιος ἦν, ἀλλά τις τῶν περὶ
τὸν Βασιλάκιον γενναιότατος, οὐδὲν τοῦ Βασιλακίου ὅσον γε
τὰ εἰς ἀνδρείαν λειπόμενος. βαρὺς οὖν τοῦ λοιποῦ κατ' αὐτῶν
κυλινδούμενος καὶ τοξεύμασι βάλλων καὶ δόρατι τιτρώσκων
καὶ ἀλαλαγμοῖς ἐμβοῶν καὶ νυκτὶ συγχέων καὶ πάντα καὶ
τόπον καὶ χρόνον καὶ ὄργανον εἰς νίκην λαμβάνων καὶ τού-
τοις προσφυῶς ἀποχρώμενος ἀκλονήτῳ φρονήματι καὶ ἀσυγ-
C χύτῳ τῇ διανοίᾳ καὶ ἄλλον ἄλλοσε φεύγοντα προλαμβάνων,
πάντα διέκρινε καὶ τὸν ἐχθρὸν καὶ τὸν φίλον. ἀλλά καί τις
ἀνὴρ Καππαδόκης Γούλης τὸ ἐπώνυμον, εὔνους θεράπων
τοὐμοῦ πατρός, τὴν χεῖρα γενναῖος, τὸν θυμὸν ἐς πολέμους
ἀκάθεκτος, τὸν Βασιλάκιον θεασάμενος καὶ ἀκριβῶς ἐγνω-
κώς, παίει κατὰ τῆς κόρυθος. ἀλλὰ τὸ τοῦ Μενέλεω πρὸς
τὸν Ἀλέξανδρον πέπονθε. τὸ γὰρ ξίφος αὐτοῦ τριχθά τε
καὶ τετραχθὰ διατρυφθὲν ἐξέπεσε τῆς χειρός, τῆς λαβῆς κα-
ταλειφθείσης ἐν τῇ χειρί. ὃν ὁ στρατηγὸς θεασάμενος εὐθὺς
διελοιδορεῖτο, ὅτι μὴ κατάσχοι τὸ ξίφος καὶ ἄνανδρον ἀπε-
D κάλει τοῦτον. ἀλλ' ὁ στρατιώτης τὴν καταλειφθεῖσαν τοῦ
ξίφους λαβὴν παραδεικνύς, πρᾳότερον ἐποίει τὸν μέγαν δο-

4. τῶν add. A. 12. φίλιον G. 13. Γουὴλς P. 14. ἐν πολέμοις P. 18. διατρυφθὲν G, διατριφθὲν PA. 20. κατάσχῃ A. 22. ὅπλον add. A post παραδεικνύς.

silacium esse suspicaretur, atroci impetu irruit manumque percutit; quae statim una cum gladio in terram decidit. magnopere hostes ea re perturbati sunt. quanquam Basilacius non erat, sed eius comitum unus nobilissimus nec ipso Basilacio virtutis laude inferior. iamque vi Alexius invehitur, sagittis petit, ferit hasta, clamoribus terret, noctis miscet tenebris, denique ex omni et loco et tempore et re opportunitatem victoriae capit eaque commode utitur intrepido ac praesenti animo atque in summa trepidatione, cum alius alio fugeret, omnes tamen et hostes et suos discernebat. erat etiam Cappadox quidam Gules nomine, fidus patris mei famulus, manu promptus et animo in proeliis audacissimo: qui conspicatus Basilacium ac probe agnoscens, galeam percussit; sed idem quod Menelao contra Paridem pugnanti accidit, ensis in terna quaternaque fragmina ruptus manu excidit, capulo solo relicto. quem ubi vidit imperator, reprehendit statim, quod gladius deesset, ignaviaeque insimulat; sed miles capulum, quem adhuc tenebat, ostendens, magnum domesticum placavit.

μέστικον. καί τις δ' ἄλλος Μακεδών, Πέτρος τὴν κλῆσιν Τορνίκιος τὴν ἐπωνυμίαν, μέσον τῶν πολεμίων ἐμπεσών, πολλοὺς τούτων ἀνῄρει. ἡ γὰρ φάλαγξ εἵπετο ἀγνοοῦσα τὰ δρώμενα· ἐν σκότει γὰρ τῆς μάχης καθισταμένης, οὐχ οἷοί τε ἦσαν ἅπαντες τὰ γινόμενα ὁρᾷν. ὁ δὲ Κομνηνὸς ἐπὶ τὸ μήπω διασπασθὲν τῆς φάλαγγος ἵετο παίων τοὺς ἀντικαθισταμένους, καὶ ἀνθυποστρέφων αὖθις εἰς τοὺς ἰδίους, σπεύδων καὶ τὸ ἔτι συνιστάμενον τῆς τοῦ Βασιλακίου παραλῦσαι p. 21 φάλαγγος καὶ διαπεμπόμενος εἰς τοὺς ὄπισθεν καὶ παρακελευόμενος μὴ μέλλειν, ἀλλ' ἕπεσθαί οἱ καὶ καταλαμβάνειν ταχύτερον. ἐν τοσούτῳ δὲ ἀνήρ τις Κελτὸς τῶν ἀμφὶ τὸν δομέστικον, ἵν' ἐν βραχεῖ τὰ πάντα διηγήσωμαι, γενναῖος στρατιώτης καὶ Ἄρεως ὅλος ἔμπλεως, τὸν ἐμὸν πατέρα ἰδὼν μεσόθεν τῶν πολεμίων ἄρτι ἐξιόντα ἐσπασμένον τὸ ξίφος θερμὸν ἀπὸ τοῦ αἵματος ἀναπέμπον ἀτμόν, καὶ τῶν πολεμίων νομίσας ἕνα, ἀθρόον αὐτῷ ἐμπεσὼν παίει τῷ δόρατι περὶ τὸ στέρνον, καὶ τάχα ἂν ἔξεδρον τὸν στρατηγὸν ἐπεποιήκει, εἰ μὴ αὐτὸς ἅμα τε πρὸς τὸ ἑδραιότερον ἑαυτὸν ἐφηδράσατο καὶ ὀνομαστὶ τοῦτον ἐκάλεσεν, ἀποκόψειν ἀπειλησάμενος B διὰ τοῦ ξίφους παραχρῆμα τὴν κεφαλήν. ὁ δὲ ἐπειδή πως V. 21 τὸν ἀγνοοῦντα προὐβάλλετο καὶ τὴν νύκτα καὶ τὸ συγκεχῦσθαι περὶ τὴν μάχην, μετὰ τῶν ζώντων ἠρίθμητο.

3. γὰρ: δὲ? vid. Bryenn. p. 153, 3. 5. ἅπαντα rectius Bryennius. 10. ἀλλ' add. G. 12. διηγήσομαι P. 16. ἕνα: εἶναι A. 18. ἐφιδρύσατο A. 22. περὶ om. A.

et alius quidam Macedo Petrus nomine, cognomento Tornicius, medios in hostes illatus, multos ex iis trucidavit. interea phalanx sequebatur ignara eorum, quae fiebant; quia enim noctu pugnabatur, non poterant omnes, quae fiebant, cernere. at Comnenus in aciei partem nondum inclinatam irruit caesisque obviis, cum qui e Basilacii exercitu adhuc locum obtinebant, deiicere festinaret, proelio rursus excessit suosque post tergum, ne cessarent, sed sequerentur et celerius accederent, missis nuntiis, hortabatur. tum Gallus quidam e domestici copiis, ut breviter cuncta perstringam, miles strenuus Martemque spirans, qui patrem meum ex mediis hostibus, stricto et de recenti caede fumante gladio, ad suos regredientem conspiceret, ratus hostium unum esse, vehementi impetu, hasta ferit circa pectus; nec multum abfuit, quin imperatorem equo deiiceret, nisi is et firmius insedisset, et nominatim hominem compellasset, illico caput ei abscissurum se esse minitans. ille cum ignorantiam quandam excusaret seque nocte ac pugna perturbatum asseveraret, incolumis evasit.

9. Τὰ μὲν νυκτὸς ἔργα τοῦ δομεστίκου τῶν σχολῶν σὺν ὀλίγοις τοιαῦτα· ἡμέρας δὲ ἄρτι διαγελώσης καὶ τοῦ ἡλίου τοῦ ὁρίζοντος ὑπερκύψαντος, οἱ τοῦ Βασιλακίου φαλαγγάρχαι ἔσπευδον ὅλῃ γνώμῃ ἐπισυλλέγειν τοὺς περὶ τὴν λείαν ἐσπουδακότας καὶ ἀπολειφθέντας τῆς μάχης. ὁ δὲ μέγας δομέστικος τὸ ἴδιον καταστήσας στράτευμα κατὰ τοῦ C Βασιλακίου αὖθις ἵετο. πόρρωθεν δέ τινας αὐτῶν οἱ τοῦ δομεστίκου θεασάμενοι καὶ κατ' αὐτῶν σφοδρῶς ἐξορμήσαντες ἐτρέψαντο καί τινας αὐτῷ ζωγρίαν ἐπανεληλυθότες προσῆγον. ὁ δὲ τοῦ Βασιλακίου ἀδελφὸς Μανουὴλ ἐπὶ λόφου τινὸς ἀνελθὼν ἐπερρώννυε τὸ στράτευμα μέγα φωνῶν ὧδε "τοῦ Βασιλακίου ἡ σήμερόν ἐστιν ἡμέρα καὶ νίκη." εἷς δέ τις Βασίλειος τὴν κλῆσιν Κουρτίκιος τὴν ἐπωνυμίαν, γνωστὸς καὶ συνήθης τοῦ Βρυεννίου ἐκείνου Νικηφόρου, περὶ οὗ ὁ λόγος ἐμνήσθη, καὶ τὰ εἰς πολέμους ἀκάθεκτος, προθέων τῆς τοῦ Κομνηνοῦ παρατάξεως ἄνεισι πρὸς τὸν λόφον. ὁ δὲ D Βασιλάκιος Μανουὴλ τοῦ κουλεοῦ τὸ ξίφος σπασάμενος, ὅλας ἡνίας χαλάσας σφοδρῶς κατ' αὐτοῦ ἵετο· ὁ δὲ Κουρτίκιος οὐ διὰ ξίφους, ἀλλὰ τὴν ἀπῃωρημένην τῇ ἐφεστρίδι ῥάβδον ἐφελκύσας, παίει τοῦτον κατὰ τοῦ κράνους καὶ παραχρῆμα καταβάλλει τοῦ ἵππου καὶ δεσμώτην τοῦτον ἐπισυρόμενος καθάπερ τι λάφυρον τὠμῷ πατρὶ προσῆγεν. ἐν τοσούτῳ δὲ καὶ τὸν Κομνηνὸν μετὰ τῶν ἰδίων ἀναφανέντα ταγμάτων τὸ ἐκ-

9. αὐτῶν G. 11. ἐπεφώννυε P. μεγαφωνῶς P. 17. κολεοῦ A. 22. τῷ ἐμῷ A.

9. Atque haec quidem per noctem domesticus scholarum cum paucis suorum gessit. postero autem die, ut primum lux orta est, Basilacii centuriones toto animo contendebant milites, qui, pugna omissa, praedabantur, in ordinem cogere; magnus autem domesticus et ipse acie denuo instructa, Basilacium adoritur; cumque procul hostium nonnullos Alexii milites conspexissent, summa vi irruentes, in fugam eos coniiciunt, nonnullos etiam capiunt, quos ad imperatorem adducunt. interim Basilacii frater Manuel, colle ascenso, animos suorum erigit magna voce exclamans "hic dies, haec victoria Basilacii est." sed Basilius quidam, Curticius cognomento, familiaris et comes Bryennii illius Nicephori, cuius mentionem fecimus, vir bello strenuus, ex acie Comneni in collem procurrit; contra quem cum Manuel, stricto gladio et habenis immissis,férociter rueret, Curticius non ense, sed baculo, quod e sella pendebat, capite percusso, eum statim ex equo deiicit captumque, velut spolium, ad patrem meum raptat. interim etiam Comnenus cum copiis suis accedit: quo conspecto, quod reliquum erat Basilacii agmen, postquam paulisper ste-

λειπόμενον τοῦ Βασιλακίου στράτευμα θεασάμενον, μικρὸν ἀντισχὸν εἰς φυγὴν ἐξώρμησε. καὶ ὁ μὲν Βασιλάκιος πρόσθεν ἔφευγεν, ὁ δὲ Κομνηνὸς Ἀλέξιος ἐδίωκε. καταλαβόντων δὲ εἰς Θεσσαλονίκην, εὐθὺς οἱ Θεσσαλονικεῖς τὸν Βασιλάκιον ἐδέξαντο, τῷ στρατηγῷ ἐπιζυγώσαντες παραχρῆμα τὰς πύλας. ἀλλ' οὐδ' ὧς ἀνῆκεν ὁ ἐμὸς πατήρ, οὐδ' ἀπεδύσατο θώρακα, οὐδὲ τὸ κράνος ἀπέθετο, οὐδὲ τὴν ἀσπίδα τῶν P. 22 ὤμων παρεῖτο, οὐδὲ τὸ ξίφος ἀπέρριψεν, ἀλλὰ στρατοπεδεύσας ἠπείλει τειχομαχίας τῇ πόλει καὶ πόρθησιν ἄντικρυς. καὶ ἐθέλων διασῶσαι τὸν ἄνδρα, διὰ τοῦ συνεφεπομένου αὐτῷ μοναχοῦ Ἰωαννικίου (ἀνὴρ δὲ οὗτος ἐπ' ἀρετῇ διαβόητος) τὰ περὶ εἰρήνης πρὸς τὸν Βασιλάκιον ἠρώτα, ὥστε τὰς πίστεις λαβόντα μηδὲν δεινὸν πείσεσθαι, ἐγχειρίζειν αὐτῷ ἑαυτόν τε ὁμοῦ καὶ τὴν πόλιν. καὶ ὁ μὲν Βασιλάκιος ἀπειθὴς ἦν, οἱ δὲ Θεσσαλονικεῖς δέει τοῦ μὴ ἁλῶναι τὴν πόλιν καὶ δεινόν τι παθεῖν, παρεχώρουν τῷ Κομνηνῷ τῆς εἰσόδου. ἀλλ' ὁ Βασιλάκιος αἰσθόμενος τοῦ γινομένου ἀπὸ τοῦ πλήθους, ἐπὶ τὴν ἀκρόπολιν μεταβαίνει καὶ ἀπὸ ταύτης εἰς ἐκείνην ἐφάλ- B λεται. καὶ οὐδ' ὧς ἐπιλανθάνεται πολέμου καὶ μάχης, καίτοι τοῦ δομεστίκου πίστεις αὐτῷ διδόντος μηδέν τι παθεῖν ἀνήκεστον. ἀλλ' ὡρᾶτό γε ὁ Βασιλάκιος καὶ ἐν τοῖς δεινοῖς καὶ ἐν οἷς ἐστενοχωρεῖτο λίαν ἀνήρ. οὐδὲ γὰρ ὑφεῖναί τι τοῦ ἀνδρώδους καὶ τοῦ γενναίου ἠβούλετο, ἕως ἐκεῖθεν αὐτὸν

5. τῷ στρατηγῷ: τὠμῷ πατρὶ A. 6. ὁ ἐμὸς πατήρ: οὗτος A. 7. τὸν θώρακα? 8. ἀνέρριψεν G. 23. αὐτὸν om. A.

tit, terga vertit. Basilacium Alexius Comnenus persequitur. cum Thessalonicam venissent, statim Thessalonicenses, Basilacio admisso, Alexio portas claudunt. sed ne sic quidem pater meus destitit, immo nec loricam exuit, nec galeam deposuit, nec clypeum ab humeris removit, nec ensem abiecit; sed castrametatus, urbem oppugnatum ac statim dirutum iri comminabatur. quoniam autem servare Basilacium malebat, per Iohannicium monachum, comitem suum, spectatae virtutis hominem, de pace cum eo egit, ea conditione, ut si seque et urbem dederet, nihil incommodi pateretur. abnuente Basilacio, Thessalonicenses veriti, ne, urbe capta, graviter ipsi affligerentur, Alexium intromiserunt. Basilacius ubi quod a multitudine factum erat cognovit, in arcem se recepit. ac ne sic quidem ab armis recessit, licet domesticus nihil eum indigni passurum esse, fide data, polliceretur. nam in adversis quoque rebus et cum premebatur, Basilacius strenuum se praestitit; neque quidquam de virtute et animi magnitudine remisit, donec arcis incolae et custodes eum vi inde pulsum, magno domestico tradidere. missis statim ad impera-

οἱ τῆς ἀκροπόλεως οἰκήτορες καὶ φύλακες ἐξελάσαντες ἅπαντες ἄκοντα καὶ βίᾳ τοῦτον τῷ μεγάλῳ δομεστίκῳ παρέδωκαν. εὐθὺς δὲ πρὸς τὸν βασιλέα τὴν τούτου ἅλωσιν διαμεμηνυκώς, αὐτὸς ἐπ' ὀλίγον τῇ Θεσσαλονίκῃ ἐγκαρτερήσας καὶ τὰ C ἐν αὐτῇ καταστησάμενος, λαμπρὸς στεφανίτης ἐπανῄει. οἱ δὲ πρὸς τοῦ βασιλέως πεμφθέντες μεταξὺ Φιλίππων καὶ Ἀμφιπόλεως τῷμῷ πατρὶ συναντήσαντες, τὰς περὶ αὐτοῦ ἐγγράφους προστάξεις βασιλικὰς αὐτῷ ἐγχειρίσαντες, παραλαβόντες τὸν Βασιλάκιον περί τι χωρίον Χλεμπίναν καλού- V. 22 μενον ἀπαγαγόντες, ἐγγὺς τῆς ἐν αὐτῷ πηγῆς τοὺς ὀφθαλμοὺς αὐτοῦ ἐξορύττουσιν· ἐξ οὗ καὶ μέχρι τῆς δεῦρο ἡ πηγὴ Βασιλακίου κέκληται. τοῦτο τρίτον ἆθλον πρό γε τῆς βασιλείας καθάπερ τινὶ Ἡρακλεῖ τῷ μεγάλῳ Ἀλεξίῳ γεγένητο. ἂν γάρ τις Ἐρυμάνθιον κάπρον τὸν Βασιλάκιον τοῦτον καλέ- D σειεν, Ἡρακλέα δέ τινα καθ' ἡμᾶς γενναιότατον τὸν ἐμὸν πατέρα Ἀλέξιον, οὐκ ἂν ἁμάρτοιτο τῆς ἀληθείας. ταῦτα μὲν ἔστω πλεονεκτήματα καὶ πρὸ τοῦ θρόνου κατορθώματα τῷ Κομνηνῷ Ἀλεξίῳ, ὧν ἁπάντων γέρας ἀπέλαβε παρὰ τοῦ αὐτοκράτορος τὴν τοῦ σεβαστοῦ ἀξίαν, σεβαστὸς ἀναρρηθεὶς ἐκ μέσης συγκλήτου.

10. Καθάπερ, οἶμαι, τὰ πονηρευόμενα τῶν σωμάτων πὴ μὲν ταῖς ἔξωθεν αἰτίαις κακοῦνται, ἔστι δ' ὅπου καὶ τὰ αἴτια τῶν νοσημάτων ἀφ' ἑαυτῶν ἀναβλύζουσι, καὶ αἰτιώ-

1. ἅπαντες om. A. 2. παρέδοσαν A. 14. καλέσῃ A. 16. ἁμάρτῃ τῆς A. lege ἁμάρτοι τὸ τῆς ἀληθείας. vid. annotationes.

torem, qui Basilacium captum nuntiarent, ipse Thessalonicae mansit, unde mox, rebus constitutis, triumphans Cpolim revertebatur. at qui obviam patri meo ab imperatore missi erant, cum Philippos inter et Amphipolim occurrissent, litterisque illius redditis, Basilacium accepissent, ad vicum quendam, Chlempinam dictum, abduxerunt eum ac prope fontem, qui ibi est, oculis privarunt; unde adhuc fons ille Basilacii appellatur. tertius hic fuit labor ante imperium a patre meo velut ab Hercule quodam exantlatus. siquis enim Erymanthium aprum Basilacium istum dixerit, patrem vero meum generosissimum Herculem quendam huius aetatis, a vero non aberret. et hactenus de iis, quae ante principatum Alexius Comnenus praeclare gessit; quorum omnium laborum hunc fructum tulit, ut augusti dignitate ab imperatore auctus, augustus in medio senatu renuntiaretur.

9. Ut corpora modo extrinsecus male afficiuntur, modo ipsae morborum caûsae existunt, ac saepe ab aëris intemperie victuque insalubri, nonnunquam etiam a corruptis humoribus febrium originem

μεθα πολλάκις μὲν τὰς τοῦ περιέχοντος ἀνωμαλίας καί τινας τροφῶν ποιότητας πυρετῶν γενέσεις, ἐνίοτε δὲ καὶ χυμῶν σηπεδόνας· οὕτω δῆτα καὶ ἡ τῶν Ῥωμαίων κακότης κατ' ἐκεῖνο καιροῦ νῦν μὲν ἀνεβλάστησε θανατώδεις κῆρας τοὺς προειρημένους ἄνδρας ἐκείνους, λέγω δὴ Οὐρσελίους καὶ Βασιλακίους καὶ ὅσοι τὸ τυραννικὸν συνεπλήρουν πλῆθος, νῦν P. 23
δὲ ἔξωθέν τινας καὶ ἐπεισάκτους τυράννους τὰ τῆς τύχης ταύτῃ ἐπεισηγάγετο ἀπρόσμαχόν τι κακὸν καὶ ἀνίατον νόσημα, καθά γε καὶ τὸν ἐπὶ τυραννικῇ γνώμῃ διαβόητον Ῥομπέρτον ἐκεῖνον τὸν ἀλαζόνα, ὃν Νορμανία μὲν ἤνεγκε, φαυλότης δὲ παντοδαπὴ καὶ ἐθρέψατο καὶ ἐμαίευσεν. ἡ δὲ Ῥωμαίων ἐχθρὸν τηλικοῦτον ἐφ' ἑαυτῆς εἵλκυσε, πρόφασιν δεδωκυῖα τῶν ἀπ' ἐκείνου πολέμων τοῖς πρὸς ἡμᾶς κῆδος ἑτε- B
ρόφυλόν τε καὶ βάρβαρον καὶ τὰ πρὸς ἡμᾶς ἀπροσάρμοστον, μᾶλλον δὲ ἀπροσεξία τοῦ τότε κρατοῦντος Μιχαὴλ τοῦ τὰς τοῦ γένους σειρὰς πρὸς τοὺς Δούκας ἀνάπτοντος. εἰ δὲ καὶ καθαπτοίμην τινὸς τῶν καθ' αἷμά μοι προσηκόντων, (καὶ γὰρ κἀμοὶ τὰ πρὸς μητρὸς ἐκεῖθεν καταρρεῖ,) νεμεσάτω μηδείς· τήν τε γὰρ ἀλήθειαν ἐξ ἁπάντων προειλόμην ξυγγράφειν καὶ ὅσον ἐπὶ τούτῳ τὰς ἐξ ἁπάντων μέμψεις ἀνεστειλάμην. ἐκεῖνος γὰρ ὁ εἰρημένος αὐτοκράτωρ ὁ Δούκας Μιχαὴλ τὴν τοῦ βαρβάρου τούτου θυγατέρα εἰς τὸν ἑαυτοῦ υἱὸν κατηγγυήσατο Κωνσταντῖνον, κἀντεῦθεν ἀνερράγη τὰ τῶν πολε- C

1. ἀνωμαλίας A, ὁμιλίας PG. 3. κακότης om. A. 5. δὲ G. 18. μητέρος P.

repetimus, ita Romana etiam res affecta tunc temporis nunc ipsa letifera sibi fata peperit, Urselios dico et Basilacios, de quibus supra exposui, et si qui alii tyrannidem affectabant, nunc externis et peregrinis tyrannis accitis, fortuna eam in mala praecipitavit, quae sanari nequeunt. in quorum numero Robertus ille fuit, immodica vir dominandi cupiditate ac iactantia, cui genitrix Normania, improbitas omnis generis obstetrix altrixque erat. hunc in se hostem res publica Romana proritavit, bellorum causam ex affinitate peregrina et barbara ac nobis quidem parum digna ipsi offerens: vel potius arcessivit eum imprudentia, qui tum rerum potitus erat, Michaelis e Ducarum gente oriundi. ceterum si quem eorum, qui sanguine mecum coniuncti sunt, (nam ego quoque maternum inde genus repeto,) reprehendendum existimo, id nemo aegre ferat; nam veritatem usque quaque tradere mihi proposui et quantum ad illum attinet, nihil amplius dixi, quam necesse erat. hic igitur imperator Michael Ducas filiam istius barbari filio suo despondit Constantino; unde bellum illud profectum est. de quo imperatoris filio Constantino eiusque nuptiis et omnino de

μίων. καὶ περὶ μὲν τοῦ υἱέος τοῦ βασιλέως τουτουὶ Κων-
σταντίνου καὶ τοῦ περὶ αὐτὸν γαμικοῦ συναλλάγματος καὶ
ὅλως τοῦ βαρβαρικοῦ κήδους, καὶ δὴ καὶ ὅπως εἶχε κάλλους
τε καὶ μεγέθους ὁ ἀνὴρ καὶ ὁποῖος ἦν τὴν φύσιν καὶ ποδα-
πός, κατὰ καιρὸν ἐροῦμεν, ἐπειδὰν ἀπολοφυροίμην καὶ τὰς
ἐμὰς συμφορὰς μικρὸν μετὰ τὴν τοῦ κήδους τούτου διήγη-
σιν καὶ τὴν ἧτταν τῆς βαρβαρικῆς ἁπάσης δυνάμεως καὶ τὴν
ἀπώλειαν τῶν Νορμανόθεν τυράννων, οὓς ἐξ ἀλογίας κατὰ
D τῆς τῶν Ῥωμαίων ἐθρέψατο. ἀλλὰ πρότερον δεῖ ἄνωθέν που
V. 23 τὸν λόγον ἀναγαγοῦσαν τὰ περὶ τοῦ Ῥομπέρτου τούτου διη-
γήσασθαι, ὅπως τε εἶχε γένους καὶ τύχης, καὶ εἰς οἷον κρά-
τος καὶ ὕψος ἡ φορὰ τῶν πραγμάτων τοῦτον ἀνήνεγκε, μᾶλ-
λον δέ, ἵν' εὐσεβέστερον φαίην, οὗ παρεχώρησε τοῦτον ἡ πρό-
νοια προελθεῖν, ἐνδοῦσα πρὸς τὰς ἐκείνου κακοτρόπους ὁρ-
μάς τε καὶ μηχανάς. ὁ δὲ Ῥομπέρτος οὗτος Νορμάνος τὸ
γένος, τὴν τύχην ἄσημος, τὴν γνώμην τυραννικός, τὴν ψυχὴν
πανουργότατος, τὴν χεῖρα γενναῖος, ἐπιθέσθαι μὲν δεινότατος
P. 24 πλούτῳ καὶ περιουσίᾳ μεγάλων ἀνδρῶν, καταπρᾶξαι δὲ ἀφυ-
κτότατος, ἐς τὸ ἀναντίρρητον τὰ τοῦ σκοποῦ περιάγων. τὰ
δὲ τοῦ σώματος τοσοῦτος εἰς μέγεθος, ὡς καὶ τῶν μεγίστων
ὑπερανέχειν, πυρσὸς τὸ χρῶμα, τὴν κόμην ξανθός, τοὺς
ὤμους εὐρύς, τοὺς ὀφθαλμοὺς ἀλλὰ πῦρ ἀπ' αὐτῶν μονον-
ουχὶ ἀπεσπινθηρίζετο, καὶ ὅπου μὲν ἔδει διοργανῶσαι τὴν

1. υἱέως P. 9. ἐτρέψατο? 13. οὕπερ ἐχώρησε P, alterum G. 22. fortasse leg. ὀφθαλμοὺς χαροπὸς καὶ πῦρ. vid. annotationes.

barbara hac affinitate, et qua pulchritudine atque proceritate corporis, qua indole quibusque moribus fuerit, suo loco exponam, ubi et meas miserias lamentabor, brevi post affinitatis huius narrationem et cladem universi barbarorum exercitus ac tyrannorum e Normania exitium, quos imprudenter in imperium Romanum ille verterat; nam antea paulo altius repetendum et de Roberto isto exponendum est, quo genere ortus quaque fortuna usus sit, et ad quod potentiae fastigium eum temporum extulerint casus, vel potius, ut religiosius loquar, quo usque provehi eum divina providentia siverit, improbis consiliis et conatibus eius indulgens. erat Robertus hic Normanus genere, fortuna obscura, dominandi cupidus, summa vafritie, manu fortis, opibus inhians virorum potentium inque parandis iis pervicacissimus neque ulla ratione a proposito revocandus. corporis magnitudine vel maximos superabat, colore erat rubro, coma flava, latis humeris, oculis caeruleis quique tantum non scintillarent, et ubi dilatari a natura corpus oportet, non carebat facilitate, ubi in angustum cogi, specie

φύσιν τὸ πλάτος, εὐμήχανον ἦν, ὅπου δὲ ἀποστενῶσαι τοῦτο, εἰς τὸ εὔρυθμον διωμάλιστο. οὕτως ἐξ ἄκρας κεφαλῆς ἐς πόδας ὁ ἀνὴρ κατερρύθμιστο, ὡς πολλῶν λεγόντων πολλάκις ἀκήκοα. τὸ δὲ φθέγμα, Ὅμηρος μὲν περὶ Ἀχιλλέως ἐποίη- B σεν, ὡς ἄρα φωνήσαντος ἐκείνου, φαντασίαν ἐσχήκεσαν οἱ ἀκούοντες πολλῶν θορυβούντων, τούτου δὲ τοῦ ἀνδρός, ὥς φασι, τὸ ἐμβόημα πολλὰς ἐτρέπετο μυριάδας. οὕτως ἔχων καὶ τύχης καὶ φύσεως καὶ ψυχῆς, ἀδούλωτος ἦν, ὡς εἰκός, μηδενὶ τῶν ἁπάντων ὑποταττόμενος. τοιαῦται γὰρ αἱ μεγάλαι φύσεις, ὥς φασι, κἂν τύχης ὦσιν ἀφαυροτέρας.

11. Τοιοῦτος δὲ ὢν ὁ ἀνὴρ καὶ ἄγεσθαι ὅλως μὴ ἀνεσχόμενος, ἀπὸ Νορμανίας ἀπάρας μετά τινων ἱππέων, πέντε δὲ ἦσαν ἱππεῖς καὶ πεζοὶ τριάκοντα οἱ πάντες, ἐξελθὼν τῆς πατρίδος περὶ τὰς ἀκρολοφίας καὶ τὰ ἄντρα καὶ τὰ ὄρη τῆς C Λογγιβαρδίας διέτριβε, χειρὸς λῃστρικῆς κατάρχων καὶ τοῖς ὁδίταις ἐπιτιθέμενος, ὅπου μὲν ἵππους, ὅπου δὲ καὶ πράγματα ἄλλ' ἄττα καὶ ὅπλα προσεπικτώμενος. καὶ τὰ προοίμια τοῦ βίου τούτῳ αἱμάτων ἦσαν ἐκχύσεις καὶ ἀνδροφονίαι πολλαί. χρονοτριβῶν δὲ ἐν τοῖς μέρεσι τῆς Λογγιβαρδίας, οὐκ ἔλαθε Γελίελμον τὸν Μασκαβέλην, ὃς κατ' ἐκεῖνο καιροῦ μέρους μεγίστου τῶν παρακειμένων τῇ Λογγιβαρδίᾳ ἡγεμὼν ἐτύγχανεν ὤν· ὅθεν τὰς εἰσόδους δαψιλεῖς ἀν' ἔτος ἐλάμβανεν, κἀντεῦθεν δυνάμεις ἱκανὰς ἐπαγόμενος ἐπιφανὴς D

10. ἀφανεστέρας G in margine. 12. τινων: τῶν P. 17. ἄλλά τινα A, ἀλλά τα PG, correxi. ἐπεκτήσατο A.

erat aequabili et concinna. adeo a summo vertice usque ad talos formosus erat, ut e multis saepe audire memini. vocem quod attinet, Achillis quidem, Homero auctore, tanta fuit, ut qui eum audirent, percipere sibi viderentur tumultuantis multitudinis strepitum; at huius, ut perhibent, clamor sexcenta milia in fugam vertit. sic et fortuna et natura et animo comparatus, servitutis, ut facile intelligitur, impatiens erat nec cuiusquam imperium ferebat; quales esse dicunt, in quibus animus excelsior est, licet humili fortuna utantur.

11. Talis cum esset et obedire plane non posset, Normania patria cum equitibus quinque et peditibus omnino triginta relicta, circa Longibardiae saltus et loca avia commorabatur, ubi latrociniis cum praedatoria manu in viatores exercendis equos, arma, alia sibi parabat. atque ita vitam a caedibus ac sanguine auspicabatur. cumque in Longibardiae finibus diutius versaretur, non latuit Guilelmum Mascabelem, qui per ea tempora finitimarum regionum maximam partem in ditione habebat; unde cum largos quotannis reditus caperet, satis magnum sibi exercitum alebat et dux erat nobilissimus. is ubi Robertum, qualis corpore

ἦν ἀρχηγός. μεμαθηκὼς δὲ περὶ τοῦ Ῥομπέρτου ὁποῖός ἐστι
κατ' ἄμφω, ψυχὴν καὶ σῶμά φημι, προσήκατό τε ἀβούλως
τὸν ἄνδρα καὶ μίαν τῶν θυγατέρων τούτῳ κατηγγυήσατο.
καὶ πληρώσας τὸ κῆδος, θαυμάσας αὐτὸν τῆς τε φύσεως καὶ
τῆς περὶ τὰ στρατιωτικὰ ἐμπειρίας, οὐμενοῦν τὰ κατὰ γνώ-
μην ηὐτύχησεν. καὶ γὰρ καὶ πόλιν καθαπερεί τι ἕδνον αὐτῷ
ἐδεδώκει καὶ ἄλλ' ἄττα προσεπεφιλοτιμήσατο. ὁ δὲ περὶ
αὐτὸν δύσνους γενόμενος καὶ ἐπανάστασιν κατ' αὐτοῦ μελε-
τήσας, τὰ μὲν πρῶτα τὸν εὔνουν ὑπεκρίνετο καὶ τὰς δυνά-
P. 25 μεις προσετίθει τριπλασιάσας μὲν τοὺς ἱππεῖς, εἰς δὲ διπλα-
σίους τοὺς πεζοὺς ποιησάμενος. καὶ τοὐντεῦθεν ὑπέρρει τα
τῆς εὐνοίας καὶ κατὰ μικρὸν παρεγυμνοῦτο ἡ κακοήθεια. καὶ
V. 24 οὐ διελίμπανε προφάσεις καθεκάστην σκανδάλων διδοὺς καὶ
λαμβάνων καὶ τρόπους συνεχεῖς μηχανώμενος, ἀφ' ὧν ἔρι-
δές τε καὶ μάχαι καὶ πόλεμοι εἰώθασι τίκτεσθαι. ἐπεὶ δὲ ὁ
ῥηθεὶς Γελίελμος ὁ Μασκαβέλης πλούτῳ καὶ δυνάμει κατὰ
πολὺ διέφερεν αὐτοῦ, ἀπογνοὺς ὁ Ῥομπέρτος τὴν κατὰ πρόσ-
ωπον πρὸς αὐτὸν μάχην, βουλὴν βουλεύεται πονηράν. καὶ
B προβάλλεται μὲν τὴν εὔνοιαν καὶ τὸ μεταμέλον πλάττεται, καὶ
ὑπορύττει δόλον αὐτῷ δεινὸν καὶ δυσφώρατον, τάς τε πόλεις
αὐτοῦ κατασχεῖν καὶ κύριος γενέσθαι τῶν προσόντων ἁπάντων
τῷ Μασκαβέλῃ. καὶ πρῶτα μὲν τὰ πρὸς εἰρήνην ἐπερωτᾷ
καὶ συνελθεῖν εἰς λόγους αὐτοπροσώπως διαπρεσβεύεται, ὁ

6. εὐτύχησεν G. καθάπερ τι A. 7. ἄλλ' ἄττα correxi, codices ut supra. προσεφιλοτιμήσατο A, προσεπιφιλοτ. PG, correxi. 9. τὸν: τὸ A. 10. τριπλασιάσαι P. 23. τὰ εἰς PG, τὰ om. A.

et animo esset, cognovit, arcessivit hominem imprudenter et filiarum unam ei despondit. quippe eum cum ob ingenium, tum ob rei bellicae experientiam summopere admirabatur. verum ea res longe aliter ac speraverat, evenit. cum enim genero praeter alia munera etiam urbem tanquam in dotem dedisset, is brevi post socero infensus seditionem molitur. ac primum quidem amorem pietatemque simulat copias augendi causa; mox ubi peditum numerum duplicavit, equites in triplum auxit, iam voluntas illa elabitur et improbitas eius apparuit. neque intermisit iniuriarum quotidie causas et dare et accipere, denique omnia tentare, quibus simultates, proelia bellaque oriri solent. sed quoniam Guilelmus Mascabeles opibus atque potentia longe eum superabat, Robertus aperto certamini diffisus, pravum consilium excogitavit. simulata enim pietate ac poenitentia, dolum ei pessimum nec facile detegendum struxit, quo eius et urbes caperet et fortunis omnibus potiretur, ac primum quidem de pace cum eo egit et colloquium per

δὲ τὴν πρὸς αὐτὸν εἰρήνην ἀσπάζεται φιλῶν τὴν θυγατέρα ἐξόχως, καὶ συντίθεται τὴν ὁμιλίαν ἐς νέωτα. ὁ δὲ Ῥομπέρτος καταγγέλλει τόπον αὐτῷ, ἐν ᾧ συνελθόντας διαλεχθῆναι προσήκει καὶ τὰς πρὸς ἀλλήλους συνθέσθαι σπονδάς. ἀκρολοφίαι δὲ ἦσαν δύο ἐξ ἴσου τῆς πεδιάδος ἐξυπανέχουσαι κατὰ διάμετρον τὴν θέσιν λαχοῦσαι, τὸ δὲ μεταξὺ τούτων ἑλῶδες ἦν καὶ κατάσκιον δένδροις παντοδαποῖς καὶ φυτοῖς. ἔνθα καὶ λόχον ἐστήσατο ὁ δεινὸς ἐκεῖνος Ῥομπέρτος τέσσαρας ἄν- C δρας ἐνόπλους γενναιοτάτους, παρεγγυησάμενος πανταχόσε παπταίνειν τὰ ὄμματα· ἐπειδὰν δὲ ἴδοιεν αὐτὸν μετὰ τοῦ Γελιέλμου συμπλεκόμενον, εὐθὺς πρὸς ἐκεῖνον ἀναδραμεῖν, μηδὲν τὸ παράπαν μελήσαντας. ταῦτ' οὖν προκατασκευάσας ὁ κακουργότατος ἐκεῖνος Ῥομπέρτος, τὴν μὲν τῶν ἀκρολοφιῶν εἰς τὴν μετὰ τοῦ Μασκαβέλη ὁμιλίαν χρησιμεύουσαν κατέλιπε, φθάσας ταύτην ὑποδεῖξαι αὐτῷ, θατέραν δὲ οἷον ἰδιοποιησάμενος, πεντεκαίδεκα ἱππέας καὶ πεζοὺς ὡσεὶ ἓξ καὶ πεντήκοντα μεθ' ἑαυτοῦ συλλαβόμενος, ἀνελθὼν ἐν αὐτῇ συνέταξε, τὴν βουλὴν πᾶσαν τοῖς ἀξιολογωτέροις τούτων ἐξορχησάμενος, καὶ ἑνὶ τούτων παραγγείλας τὰ αὐτοῦ ὅπλα βα- D στάζειν, ἀσπίδα καὶ κράνος καὶ ἀκινάκην, ὡς ῥᾳδίως διὰ τούτων ἐξοπλισθείη, καὶ τοῖς λοχῶσι τέσσαρσιν ἐπισκήψας, ἵν' ὁπηνίκα τῷ Μασκαβέλῃ συμπλακέντα τοῦτον θεάσοιντο,

2. καί που τίθεται G. 12. lege μελλήσαντας. 14. κατέλοιπε P. 17. μεθ' ἑαυτοῦ συλλαβόμενος add. G. ἀνελθεῖν P. 21. λοχῶσιν P.

legatos petiit. Mascabeles, qui ob eximium erga filiam amorem pacem cum genero restitutam cuperet, colloquii diem brevem dixit. locum designavit Robertus, quo congressi colloquerentur, et de pacis conditionibus agerent. colles erant duo pari fere in planitie altitudine editi, e regione sibi oppositi, inter quos vallis palustris et frequens arboribus omnis generis fruticibusque. ibi nefarius iste Robertus in insidiis collocavit quatuor viros fortissimos armis instructos; quibus mandavit, ut quoquo versus dispicerent, et simulac manus cum Mascabele conferentem se cernerent, rebus omnibus relictis, statim accurrerent. his ita dispositis, fraudulentissimus iste Robertus alterum collem, quem tanquam colloquio commodissimum Mascabeli designaverat, missum fecit; alterum sibi quodammodo vindicavit eoque cum equitibus quindecim, peditibus fere quinquaginta sex conscenso, milites ibi disposuit et cum primis eorum consilium communicavit. uni eorum mandaverat, ut sua ipsius arma, clypeum, galeam acinacemque secum ferret: quae facile, cum opus foret, indueret. quatuor illis in valle subsidentibus imperaverat, ut quam primum manus se cum Mascabele conferentem cernerent, celerrime auxilio sibi

θᾶττον ἀναδράμωσι πρὸς αὐτόν. καὶ ὁ Γελίελμος κατὰ τὴν συγκειμένην ἡμέραν ἤρχετο πρὸς τὴν ἀκρώρειαν εἰς τὸν τόπον, ὃν φθάσας αὐτῷ ὁ Ῥομπέρτος ὑπέδειξε, τὰς μετ' αὐτοῦ συνθήκας πληρώσων. ὃν ἰδὼν ἐγγύθεν ἐκεῖνος γενόμενον, αὐτῷ τε ἱππότης προσυπαντήκει, καὶ ἀσπασάμενος ἐδεξιοῦτο μάλα εὐθύμως. ἔστησαν οὖν ἄμφω εἰς τὸ πρανὲς μικρὸν τῆς ἀκρολοφίας ὑποκλίναντες, ὁμιλοῦντες ἅττα καὶ ἔμελλον P. 26 ποιεῖν. ὁ δὲ δεινὸς ἐκεῖνος Ῥομπέρτος λόγους ἐκ λόγων συνείρων ἔτριβε τὸν καιρόν, εἶτά φησι πρὸς τὸν Γελίελμον "ἵνα τί τοῖς ἵπποις ἐποχούμενοι κοπιῶμεν; ἀποβάντες καθεδούμεθα εἰς τοὔδαφος καὶ ἀφροντίστως περὶ ὧν χρὴ ὁμιλήσομεν." πείθεται ὁ Μασκαβέλης νήπιος ἀγνοήσας τὸν δόλον καὶ οὗ κακοῦ φέρεται, καὶ ἀποβαίνοντα τὸν Ῥομπέρτον τοῦ ἵππου θεασάμενος, πεζὸς καὶ αὐτὸς τηνικαῦτα εἱστήκει καὶ τῇ γῇ τὸν ἀγκῶνα διερεισάμενος αὖθις λόγων κατήρχετο. ὁ δὲ Ῥομπέρτος δουλείαν ὡμολόγει τοῦ λοιποῦ τῷ Μασκαβέλῃ καὶ πίστιν, εὐεργέτην αὐτὸν καὶ κύριον ὀνομάζων. θεασά- B μενοι δὲ τούτους οἱ τοῦ Μασκαβέλη τῶν ἵππων ἀποβάντας καὶ λόγων ἄλλων ὥσπερ καταρχομένους, καμόντες ἀπό τε τοῦ καύσωνος ἀπό τε τοῦ δεηθῆναι καὶ τροφῆς καὶ ποτοῦ, (ὥρα γὰρ θέρους ἦν, ὁπηνίκα τὰς ἀκτῖνας ὁ ἥλιος κατὰ κορυφὴν εἴωθε βάλλειν,) καὶ τῆς ἀλέας ἀφορήτου γινομένης, οἱ μὲν τῶν ἵππων ἀποβαίνοντες τοὺς χαλινοὺς περὶ τοὺς

οὓς

1. αὐτον G. 4. πληρώσας P. ἐκεῖνος ἐγγύθεν γενόμενος G. 5. lege προσυπηντήκει. 13. lege οἱ κακοῦ. 21. κατὰ κορυφὴν om. G.

accurrerent. Guilelmus constituta die in designatum sibi a Roberto locum processit, foederis sanciendi gratia; quem ubi alter adventantem conspexit, obviam vehitur et amantissime eum excipit. cumque in proclivitate collis paullum infra verticem constitissent et de rebus ordinandis colloquerentur, nefarius iste Robertus sermonibus tempus terere coepit, dein "quid" inquit "incommodo nostro equis insidemus? quin descendimus et humi accumbentes, quae opus sunt, secure transigimus?" concedit Mascabeles imprudens, nulla suspicione doli et periculi imminentis. atque ut desilientem equo Robertum videt, et ipse descendit, cubitoque caput innisus sermonem continuat. Robertus obsequium Mascabeli fidemque in posterum pollicetur, benefactorem eundem saepius et dominum appellans. quos equis descendisse et novum iam sermonem inceptare Mascabelis comites conspicati, cum et ipsi aestu et fame ac siti laborarent, (nam aestatis tempus erat, quo radios in verticem sol iacere solet,) calore intolerando, equis alii desiliunt frenisque ad arbores ligatis, humi

πτόρθους τῶν δένδρων ἀναδεσμοῦντες, εἰς τοὔδαφος κατεκλίνοντο, ταῖς ἀπὸ τῶν ἵππων καὶ τῶν δένδρων σκιαῖς ἀναψυχόμενοι, V. 25 οἱ δὲ οἴκαδε ἐχώρουν. ἀλλ' οὗτοι μὲν οὕτως. ὁ δὲ τὰ πάντα δεινὸς Ῥομπέρτος οὕτω ταῦτα προκαταστήσας, ἀθρόον ἐπιφύεται τῷ Μασκαβέλῃ, καὶ τὸ ἥμερον ἀφεὶς βλέμμα πρὸς τὸ ὀργιλώτερον μεταβάλλεται, καὶ φόνιον αὐτῷ ἐπιβάλλει τὴν χεῖρα. καὶ συμπλακεὶς ἀντισυνεπλέκετό τε καὶ C εἷλκε καὶ εἵλκετο, καὶ ἐκυλίοντο ἄμφω κατὰ τοῦ πρανοῦς. τούτους δὲ οἱ λοχῶντες τέτταρες ἐκεῖνοι ἄνδρες θεασάμενοι, ἀναδύντες τοῦ ἕλους ἐπέδραμον ἤδη τῷ Γελιέλμῳ, καὶ ξυνδήσαντες ἁπανταχόθεν ἀνέτρεχον ὡς πρὸς τοὺς εἰς τὴν ἑτέραν ἀκρώρειαν ἱσταμένους ἱππεῖς τοῦ Ῥομπέρτου, ἤδη καὶ αὐτῶν ὑποκαλπαζόντων κατὰ τοῦ πρανοῦς πρὸς αὐτούς· ὄπισθεν δὲ ἐδίωκον οἱ τοῦ Γελιέλμου. ὁ δέ γε Ῥομπέρτος ἐπιβὰς τοῦ ἵππου, κράνος τε καὶ δόρυ λαβὼν καὶ γοργῶς ἐναγκαλισάμενος καὶ ἀσπίδι περιφράξας ἑαυτόν, ἐπιστραφεὶς D πλήττει ἕνα τῶν τοῦ Γελιέλμου διὰ δόρατος, ὁ δ' ἅμα τῇ πληγῇ καὶ τὴν ψυχὴν συναφῄρητο. ἐν τοσούτῳ τὴν φορὰν τῶν ἀμφὶ τὸν πενθερὸν ἱππέων ἀναχαιτίσας καὶ τὴν ἀπὸ τούτων βοήθειαν ἀνακόψας, (οἱ δέ γε λοιποὶ τοὺς ὑπὲρ κεφαλῆς αὐτῶν καταβαίνοντας ἱππότας τοῦ Ῥομπέρτου ὡς καὶ ἀπὸ τοῦ τόπου βοηθουμένους θεασάμενοι, παραχρῆμα τὰ νῶτα διδόασιν,) οὕτω γοῦν τὴν φορὰν τῶν τοῦ Μασκαβέλη

2. τῶν alterum om. G. 9. τέσσαρες P, alterum GA. 13. ὑποκολπαζόντων P. 16. περιφραξάμενος A. 22. βοηθουμένου G.

recumbunt et ex equorum arborumque umbra frigus captant, alii domum repetunt. ita illi; at veterator ille Robertus, rebus hoc modo praeparatis, subito vim Mascabeli adhibet et, blando mutato vultu, atrociter eum adspicit mortiferamque manum infert. ille cum vim vi propulsaret, lucta coorta, uterque proclivi colle devolvebatur. quo cognito, qui latebant in insidiis viri quatuor, e palude emersi advolant, Guilelmoque vinculis constricto, recurrunt ad equites alterum collem insidentes, qui iam et ipsi per collis proclivitatem tolutim adequitabant. a tergo insequebantur Guilelmi equites. at Robertus, equo conscenso, induta galea, sumta hasta et vibrata ferociter, instructusque clypeo, conversus unum ex Guilelmi comitibus hasta percutit, qui protinus animam reliquit. refrigerato interim impetu soceri equitum eorumque auxilio discusso, (ceteri enim, ubi approperantes desuper Roberti equites conspexere, ipsa loci opportunitate adiutos, celeriter terga dederunt,) tali igitur modo Mascabelis equitum impetu discusso, captivus vinctusque hic in arcem ducitur, quam

ἱππέων ἀνακόψαντος τοῦ Ῥομπέρτου, ἄγεται τηνικαῦτα ὁ Μασκαβέλης δέσμιος καὶ αἰχμάλωτος εἰς ὅπερ δέδωκεν αὐτῷ εἰς προῖκα φρούριον, ὅτε τὴν θυγατέρα τούτῳ κατηγγυήσατο. καὶ εἶχεν ἄρα τότε τὸν οἰκεῖον δεσπότην ἡ πόλις ἔμφρουρον, φρούριον ἐντεῦθεν εἰκότως προσαγορευομένη. οὐδὲν δὲ χεῖρον καὶ P. 27 τὴν ὠμότητα τοῦ Ῥομπέρτου διηγήσασθαι. ἐπειδὴ γὰρ ἅπαξ ἐγκρατὴς ἐγεγόνει τοῦ Μασκαβέλη, τὰ πρῶτα μὲν τῶν ὀδόντων ἁπάντων ἀποστερεῖ, ἐφ' ἑκάστῳ τούτων προσαπαιτῶν πολυτάλαντον ὁλκὴν νομισμάτων καὶ πυνθανόμενος, οὗ ταῦτα ἐναπέθετο. ἐπεὶ δὲ οὐκ ἔληγεν ἀπαράσσων ἔστ' ἂν ἅπαντα ἔλαβε, καὶ ἅμα οἵ τε ὀδόντες ἐξέλιπον καὶ τὰ χρήματα, ἐπὶ τοὺς ὀφθαλμοὺς Γελιέλμου ἐπιβάλλει τοὺς ὀφθαλμοὺς ὁ Ῥομπέρτος, καὶ φθονήσας τούτῳ τῶν ὄψεων ἀποστερεῖ τῶν ὀμμάτων.

12. Πάντων οὖν ἐγκρατὴς γενόμενος ηὔξάνετό τε τὸ ἐντεῦθεν ὁσημέραι, καὶ εἰς τὸ τυραννικώτερον ἀποκλίνων ταῖς B πόλεσί τε προσετίθετο πόλεις καὶ τοῖς χρήμασι χρήματα. καὶ ἐν βραχεῖ πρὸς τὴν δουκικὴν περιωπὴν ἀναβεβηκώς, δοὺξ Λογγιβαρδίας ἁπάσης ὠνομάζετο. ἐντεῦθεν οὖν ἅπαντες πρὸς τὸν κατ' αὐτοῦ φθόνον ἠρεθίζοντο. ὁ δὲ φρενήρης ὢν ἀνὴρ ὅπου μὲν θωπείαις χρησάμενος πρὸς τοὺς ἀντικαθισταμένους αὐτῷ, ὅπου δὲ καὶ δωρήμασι, τοὺς μεταξὺ τοῦ πλήθους θορύβους ἐξωμαλίσατο καὶ τὸν κατ' αὐτοῦ φθόνον τῶν μεγιστάνων εὐμηχάνως κατέστειλεν, ἔστι δ' οὗ καὶ ὅπλοις χει-

9. νομισμ. ὁλκήν, πυνθανόμενος A. 13. ἀποστερεῖται ὀμμάτων G.

dono Roberto dederat, cum filiam ei collocaret; habuitque tum ipsum dominum suum urbs in custodia, unde merito *φρούριον* i. e. custodia ei nomen est. non autem ab re fuerit, etiam crudelitatem Roberti enarrare. nam postquam Mascabelem semel cepit, primum dentibus eum privavit omnibus, immensam pro singulis nummorum summam poscens et ubi reperiri posset, quaeritans. sed cum non prius desineret evellere, quam omnia exhausisset, et dentes simul et opes deficerent, ad oculos animum convertit ipsamque lucem invidens, eum excaecavit.

12. Itaque rebus omnibus potitus, crescebat in dies, auctaque dominandi cupiditate, urbes urbibus, opibus opes addebat. ac brevi in ducale provectus fastigium, dux universae Longibardiae nominabatur. unde omnium concitata invidia est; sed qua erat prudentia, modo blanditiis adversus adversarios usus, modo largitionibus, et multitudinis tumultus sedavit et invidiam potentiorum restinxit;

φωσάμενος, ἅπαν τὸ κράτος Λογγιβαρδίας τε καὶ τῆς ὁμο-
ρούσης χώρας εἰς ἑαυτὸν ἀνεδήσατο. ἀεὶ δέ τι ὁ Ῥομπέρτος
οὗτος ἐπινοῶν τυραννικώτερον καὶ φανταζόμενος τὴν βασιλείαν
Ῥωμαίων, προφάσεως, ὡς ἔφην, τῆς πρὸς τὸν αὐτοκράτορα Μι- C
χαὴλ συμπενθερίας ἐπιδραξάμενος, τὸν πρὸς Ῥωμαίους ἀνερ-
ρίπισε πόλεμον. ἔφθημεν γὰρ εἰρηκότες, ὅτι Μιχαὴλ ὁ
αὐτοκράτωρ οὐκ οἶδ' ὅπως τὴν τοῦ τυράννου τούτου θυγατέρα
(Ἑλένη δὲ αὕτη προσηγορεύετο) τῷ υἱῷ Κωνσταντίνῳ κατηγ-
γυήσατο. πάλιν δὲ μεμνημένη τοῦ νεανίσκου τούτου, πα-
θαίνομαι τήν τε ψυχὴν καὶ τοὺς λογισμοὺς συγχέομαι· ἀνα-
κόπτομαι δὲ τὴν ἀμφὶ τοῦτον διήγησιν, φυλάττουσα πάντα
καιρῷ τῷ προσήκοντι. τοῦτο δὲ μόνον οὐχ ὑπομένω μὴ λέ- V. 26
γειν, κἂν ἔξω τοῦ καιροῦ λέγοιμι, ὡς ἄγαλμα φύσεως ἦν
ὁ νεανίας ἐκεῖνος καὶ θεοῦ χειρῶν, ὡς ὄντως εἰπεῖν, φιλοτί- D
μημα. εἰ γὰρ καὶ μόνον ἐθεάσατό τις αὐτόν, εἶπεν ἂν ὡς
τοῦ παρ' Ἕλλησι μυθευομένου χρυσοῦ γένους ἀπορροή·
οὕτως ἀμήχανον εἶχε τὸ κάλλος. ἐγὼ δὲ μετὰ τοσούτους
ἐνιαυτοὺς μεμνημένη τοῦ νεανίου τούτου, δακρύων ἐμπίπλα-
μαι· ἐπέχω δὲ ὅμως τὸ δάκρυον καὶ ταμιεύω πρὸς τοὺς ἐπι-
καίρους τῶν τόπων, ἵνα μὴ τὰς μονῳδίας τῶν ἐμῶν ἀναμι-
γνῦσα ταῖς ἱστορικαῖς διηγήσεσι, τὴν ἱστορίαν συγχέοιμι.
οὗτος γὰρ ὁ νεανίσκος, περὶ οὗ κἀνταῦθα καὶ ἀλλαχόσε εἰρή-

5. ἀνεῤῥίπιζε PG, alterum A. 10. λογισμοὺς: ὀφθαλμοὺς A. 14. malim οὕτως. 18. νεανίσκου G. ἐμπίμπλαμαι G.

interdum etiam vi adhibita, totam Longibardiam et finitimas regiones in potestatem redegit. hinc cum semper altiora appeteret et ipsum Romanorum imperium somniaret, bellum commovit, cui illam cum imperatore Michaele affinitatem, ut dixi, praetendit. supra enim exposuimus, imperatorem Michaelem, nescio quo consilio, tyranni istius filiam, Helenam nomine, Constantino filio despondisse. iterum autem mentione illius iuvenis facta, vehementer equidem commoveor ac perturbor; sed quae de eo dicenda habeo, praetermittam, suo loco totam rem narratura: illud unum silere non possum, etsi alieno loco dicam, specimen naturae fuisse iuvenem illum et dei manuum, vere dico, opus excellentissimum. quem qui adspiciebat tantummodo, non potuit, quin aurei saeculi, quod fabulis Graecorum celebratur, progeniem eum haberet: adeo erat mirifica pulchritudine. mihi certe tantos post annos cum iuvenis illius meminerim, lacrimae oboriuntur. tamen eas cohibeo et in locos magis aptos reservo, ne privata lamentatio, rerum narrationi immixta, historiam turbet. hic igitur Constantinus, cuius et hic et alibi mentionem fecimus, natu nobis aliquanto maior, priusquam lucem adspexissemus, sponsus erat He-

P. 28 κειμεν, προχρόνιος πρὸ ἡμῶν καὶ πρὶν ἡμεῖς τὸν ἥλιον ἴδοι-
μεν, μνηστὴρ ἐγεγόνει τῆς τοῦ Ῥομπέρτου Ἑλένης καθαρὸς καὶ
ἀμόλυντος, καὶ τὰ ἔγγραφα συναλλάγματα ἐπ' αὐτῇ ἐγεγράφει-
σαν, κἂν ἀτέλεστα καὶ ἐν ἐπαγγελίαις μόνον, ἀτελοῦς τὴν ἡλι-
κίαν ὄντος τοῦ νεανίσκου· διεσπάσθη δὲ ἅμα τῷ τῆς βασιλείας
ἐπιβῆναι τὸν βασιλέα Νικηφόρον τὸν Βοτανειάτην. ἀλλ' ἐξετρα-
πόμην τοῦ λόγου, ἐπανελεύσομαι δ' αὖθις ἀφ' οὗπερ ἐξετραπό-
μην. ὁ γάρ τοι Ῥομπέρτος ἐκεῖνος ἐξ ἀφανοῦς πάνυ τύχης
περιφανὴς γεγονὼς καὶ πολλὴν δύναμιν ἀθροίσας περὶ αὑτόν,
B ἐπεβάλλετο καὶ Ῥωμαίων αὐτοκράτωρ γενέσθαι. καὶ προφάσεις
εὐλόγους δῆθεν ἐπλάττετο τῆς πρὸς Ῥωμαίους δυσμενείας
καὶ τῶν πολέμων. διττὸς δὲ ἐντεῦθεν φέρεται ὁ λόγος. ὁ
μὲν γὰρ φημίζεταί τε καὶ διαρρεῖ καὶ μέχρι τῆς ἡμετέρας
ἀκοῆς ἔφθασεν, ὅτι τις μοναχὸς Ῥαίκτωρ ὀνομαζόμενος ὑπε-
κρίθη τὸν βασιλέα Μιχαὴλ καὶ πρὸς τὸν Ῥομπέρτον τοῦτον
καὶ συμπένθερον αὐτομολήσας τὰς οἰκείας συμφορὰς ὠλοφύ-
ρετο. οὗτος γὰρ μετὰ τὸν Διογένην τῶν σκήπτρων Ῥωμαίων
ἐπειλημμένος καὶ βραχύν τινα χρόνον διαπρέψας τὴν βασι-
λείαν, παρελύθη μὲν τῆς ἀρχῆς ὑπὸ τοῦ Βοτανειάτου ἐπα-
C ναστάντος αὐτῷ, τὸν δὲ τῶν μοναχῶν ὑπέδυ βίον, μετὰ δὲ
ταῦτα τὸν ἀρχιερατικὸν ποδήρη καὶ τὴν κίδαριν ἠμφιέσατο,
εἰ βούλει δέ, καὶ τὴν ἐπωμίδα. τοῦτο δὲ συνεβούλευσεν ὁ
καῖσαρ Ἰωάννης ὁ πρὸς πατρὸς αὐτῷ θεῖος, τὸ κοῦφον εἰδὼς

1. ἴδομεν A. 3. ἐγγεγράφεισαν P. 12. ὁ prius add. A.
13. καὶ ὁ διαῤῥεῖ P. 18. τῇ βασιλείᾳ A. an ἐνδιατρίψας τῇ
βασιλείᾳ? vid. annotat.

lenae Roberti filiae purus et integer, confectaeque iam erant tabulae dotis, quanquam incassum nec nisi promisso tenus. nam immatura pueri aetas erat; Nicephoro autem Botaniate imperium adepto, tota res disiecta est. sed aberravit oratio; redeamus, unde defleximus. Robertus igitur ille, ex humili loco ad summa fortunae evectus, multis opibus copiisque paratis, etiam Romanorum imperator fieri concupivit. ac causas inimicitiae cum Romanis et belli probabiles scilicet excogitavit. de qua re duplex fama fertur. altera enim vulgatur et obtinet atque ad aures nostras pervenit, monachum quendam Raectoris nomine imperatorem Michaelem simulasse, et ultro ad Robertum, quippe consocerum suum, venisse fortunamque suam deplorasse. Michael enim, post Diogenem imperium Romanorum adeptus, postquam brevi summam rerum administravit, regno pulsus est a Botaniate in ipsum rebellante; ex quo primum monachi vestem induit, dein episcopalem talarem et infulam, addo etiam epomidem; huius enim rei auctor ei fuerat caesar Iohannes eius patruus, qui levitate eius, qui

τοῦ τηνικαῦτα κρατοῦντος καὶ μή τι πάθῃ δεινότερον δεδιώς. τοῦτον ὑπεκρίθη ὁ εἰρημένος μοναχὸς ἐκεῖνος Ῥαίκτωρ ἢ καὶ ὡς οὕτως εἰπεῖν ῥέκτης τῶν ἁπανταχοῦ τολμηρότατος. πρόσεισί τε τῷ Ῥομπέρτῳ ὡς δῆθεν συμπενθέρῳ καὶ τὰ τῆς ἀδικίας ἐκτραγῳδεῖ, ὡς καθαιρεθείη μὲν τῶν βασιλικῶν θρόνων, καὶ εἰς ὅπερ νῦν σχῆμα τοῦτον ὁρᾷ περιελθεῖν. καὶ D
διὰ τούτων πάντων εἰς ἄμυναν ἐξεκαλεῖτο τὸν βάρβαρον. τὴν γὰρ καλήν φησι μείρακα τὴν αὐτοῦ νύμφην Ἑλένην ἀπερίστατον καταλεῖψαι καὶ χήραν ἄντικρυς τοῦ νυμφίου. τὸν γὰρ υἱὸν Κωνσταντῖνον καὶ τὴν βασιλίδα Μαρίαν προσρυῆναι τῷ Βοτανειάτῃ καὶ ἄκοντας διὰ τὴν τυραννίδα ἐβόα. ταῦτα λέγων παρώξυνέ τε τὸν θυμὸν τοῦ βαρβάρου καὶ πρὸς πόλεμον κατὰ Ῥωμαίων ἐξώπλιζε. τοιοῦτος μὲν λόγος περιρρεῖ V. 27
μου τὰς ἀκοὰς καὶ οὐκ ἔχω γε διὰ θαύματος, εἴ τινες ἀδοξότατοί τινας τῶν ἐπὶ δόξης καὶ γένους εὐγενοῦς ὑποκρίνονται. P. 29
ἕτερος δέ με περιβομβεῖ πιθανώτερος λόγος ἑτέρωθεν φημιζόμενος, ὡς οὔτε μοναχός τις τὸν βασιλέα Μιχαὴλ ὑπεκρίνατο, οὔτε τοιοῦτόν τι τὸν Ῥομπέρτον πρὸς τὸν κατὰ Ῥωμαίων ἐκίνησε πόλεμον, ἀλλ' αὐτὸς ὁ βάρβαρος πολυτροπώτατος ὢν τὰ τοιαῦτα ῥᾳδίως ἐπλάττετο. ἔχει γὰρ ὧδε τὰ ἐφεξῆς. αὐτὸς μέν, ὥς φασιν, ὁ Ῥομπέρτος ῥᾳδιουργότατος

1. πάθῃ A, πάθοι PG. 2. καὶ Ῥαίκτωρ PG, alterum A. 6. νῦν add. A. ὁρῴη PG, ὁρᾷ A. 8. ἑαυτοῦ A. 13. διαρρεῖ PG, alterum A. 14. μοι G. γε om. A. 15. τοὺς PG, τῶν A. 16. πιθανώτατος G. 17. ἐπιφημιζόμενος A. ὑπεκρίνετο A. 18. οὔτε τι ἕτερον τὸν A. 19 ἀλλὰ P.

tum regnabat, perspecta, ne quid gravius pateretur, verebatur. hunc igitur simulans, monachus ille Raector vel, ut ita dicam, ῥέκτης i. e. fraudum machinator, omnium audacissimus, adit Robertum ut consocerum scilicet suum, et quid iniuriae passus sit, lamentabili voce exponit. regno expulsum, ad eam, quam nunc cerneret, conditionem redactum se esse. proinde postulat, ut auxilium sibi barbarus ferat. pulchram enim puellam Helenam, nurum suam, relictam a se esse sine tutela et sponso plane orbatam. nam Constantinum filium et imperatricem Mariam vel invitos in Botaniatis partes abstractos esse vociferatur. talia locutus, irritavit animum barbari et ad bellum Romanis inferendum quasi armavit. talis, ut dixi, fama aures meas circumfundit, nec mirum videtur, humillimo loco natos nobilissimorum ac summorum hominum personam sumsisse. verum alia me aliunde eaque credibilior fama circumsonat, nec monachum quendam imperatorem Michaelem egisse, nec talem quandam ob causam Robertum bellum Romanis intulisse. sed ipsum barbarum, summa cal-

ὧν καὶ τὴν κατὰ Ῥωμαίων ὠδίνων μάχην καὶ πρὸ πολλοῦ πρὸς τὸν πόλεμον παρασκευαζόμενος, ἐκωλύετο μὲν ὡς ἀδίκων πολέμων ἄρχων καὶ κατὰ Χριστιανῶν εὐτρεπιζόμενος
B παρά τινων τῶν περὶ αὐτὸν ἐνδοξοτάτων ἀνδρῶν καὶ αὐτῆς τῆς γυναικὸς αὐτοῦ Γαΐτης καὶ ἀνεκόπτετο πολλάκις ἐπιχειρήσας τῆς τοιαύτης ὁρμῆς· βουλόμενος δὲ πιθανὴν τὴν πρόφασιν τοῦ πολέμου ποιήσασθαι, πέμπει τινὰς ἄνδρας εἰς Κοτρώνην τὰ ἀπόρρητα καταπιστεύσας αὐτοῖς τῶν βεβουλευμένων καὶ ἐπισκήπτει τοιαῦτα· ὡς εἴ τινα μοναχὸν εὕροιεν βουλόμενον ἐκεῖθεν ἐνθάδε διαπερᾶσαι εἰς προσκύνησιν τοῦ νεὼ τῶν κορυφαίων καὶ πολιούχων τῆς Ῥώμης ἀποστόλων, ἐξ αὐτῆς ὄψεως μὴ πάνυ τὸ δυσγενὲς ἐμφαίνοντα, τοῦτον ἀσμένως ἐναγκαλίσασθαι καὶ οἰκειωσαμένους πρὸς αὐτὸν
C ἀγαγεῖν. ἐπεὶ δὲ τὸν προειρημένον ἐφεῦρον Ῥαίκτωρα, ἄνδρα ποικίλον τε καὶ πρὸς πανουργίαν ἀπαράμιλλον, δηλοῦσι τῷ Ῥομπέρτῳ διὰ γραμμάτων κατὰ τὸ Σαλερηνὸν ἐνδιατρίβοντι, ὅτι περ "ὁ σὸς κηδεστὴς Μιχαὴλ ὁ τῆς βασιλείας ἐξεωθεὶς κατέλαβε, τὴν ἀπὸ σοῦ ἐξαιτούμενος βοήθειαν." οὕτω γὰρ αὐτοῖς ὁ Ῥομπέρτος ὑπέθετο τὰς πρὸς αὐτὸν ἐκθεῖναι γραφάς. ὁ δὲ ἐν χερσὶ ταύτας λαβών, παρευθὺς μὲν τῇ ὁμευνέτιδι ὑπαναγινώσκει, εἶτα συναγαγὼν τοὺς κόμητας ἅπαντας, ὑποδείκνυσι καὶ τούτοις τὰ γράμματα, ὡς μηκέτι
D κωλύεσθαι παρ' αὐτῶν, εὐλόγου τάχα αἰτίας δραξάμενος.

4. αὐτὸν : αὐτῶν P. 14. Ῥαίκτορα P. 16. σαλερινὸν A. διατρίβοντι P. 17. ἀξιωθεὶς A. lege ἐξωσθεὶς.

liditate hominem, talia facile excogitasse. etenim cum bellum Romanum animo moliretur et iam pridem parasset, tamen quoniam iniustum videbatur nec adversus Christianos suscipiendum, nobilissimi qui circa eum erant viri nonnulli et ipsa coniux Gaïta obstabant et impetum eius saepe cohibebant. itaque ut idoneam belli occasionem nancisceretur, Crotonem misit, quibus arcana sua consilia crediderat mandaveratque, ut si quem monachum reperissent, qui inde ad apostolorum summorum patronorumque Romae religionis causa profecturus esset, nec ipso vultu ignobilitatem generis proderet, eum familiariter exceptum sibi conciliarent ad seque adducerent. qui cum Raectorem, quem dixi, versutissimum et mira astutia hominem, invenissent, Roberto Salerni commoranti per litteras nuntiarunt, affinem eius Michaelem, imperio pulsum, advenisse, ut auxilium imploraret. ita enim a Roberto iussi erant litteras perscribere. quas ubi accepit, coniugi statim praelegit; dein etiam comitibus convocatis omnibus epistolam monstravit, ne diutius ab ipsis impediretur, tanquam iustam belli causam nactus. approbantibus cun-

συντίθενται ἅπαντες παραχρῆμα τῇ τοῦ Ῥομπέρτου βουλῇ, καὶ οὕτως προσήκατό τε αὐτὸν καὶ εἰς ὁμιλίαν ἐλήλυθεν. ἐντεῦθεν τὰ πάντα δραματουργεῖ καὶ σκηνὴν περιτίθησιν, ὡς ὁ βασιλεὺς εἴη Μιχαὴλ ὁ μοναχὸς ἐκεῖνος, ὡς καθαιρεθείη τῶν θρόνων, ὡς τὴν γυναῖκα καὶ τὸν παῖδα καὶ τἆλλα πάντα πρὸς τοῦ Βοτανειάτου ἀφαιρεθείη τυράννου, καὶ ὡς τοῦτον ἀδίκως καὶ παρὰ πάντα δίκαιον λόγον τῆς ταινίας τε καὶ τοῦ διαδήματος τὸ μοναχικὸν περιέθεντο σχῆμα, καὶ "νῦν ἱκέτης ἧκε" φησι "πρὸς ἡμᾶς." ταῦτα εἰς μέσους ἐδημηγόρει ὁ Ῥομπέρτος, τήν τε βασιλείαν αὐτῷ διὰ τὸ κῆδος ἐπανασωθῆναι πρεσβεύων καὶ ἀξιῶν ἑκάστης ἡμέρας τὸν μονα- P. 30 χὸν ἐκεῖνον, ὡς δῆθεν τὸν βασιλέα Μιχαήλ, καὶ προεδρίας καὶ θρόνων ὑψηλοτέρων καὶ τιμῆς ὑπερβαλλούσης, καὶ ἄλλοτε ἄλλως τὰς δημηγορίας πλαττόμενος, νῦν μὲν ἐλεεινολογούμενος, οἷα πέπονθεν ἐπὶ θυγατρί, νῦν δὲ τοῦ συμπενθέρου φειδόμενος ἐφ' οἷστισι κακοῖς περιπέπτωκεν, νῦν δὲ προσπαροξύνων τε καὶ διεγείρων πρὸς πόλεμον τὸ περὶ αὐτὸν βάρβαρον, ποικίλως ἐπαγγελλόμενος τούτοις χρυσοῦ θημῶνας, οὓς ἐκ τῆς Ῥωμαίων ἔχειν τούτοις κατεπηγγέλλετο. ἐντεῦθεν V. 28 πάντας ἑλκυσάμενος τῆς ῥινὸς καὶ πλουσιωτέρους καὶ πενε- B στέρους, ἀπάρας τῆς Λογγιβαρδίας, μᾶλλον δὲ πᾶσαν αὐτὴν ἑλκυσάμενος, καταλαμβάνει τὴν Σάλερνον μητρόπολιν οὖσαν Μέλφης, ἐν ᾗ τὰ κατὰ τὰς ἄλλας θυγατέρας αὐτοῦ πάντα

7. ante τῆς excidit ἀντί. 9. ἦλθε A. 14. ἐλεινολογούμενος P. 17. προπαροξύνων P.

ctis, arcessit hominem et colloquium cum eo init. iamque totam rem comminiscitur et quasi fabulam fingit, imperatorem Michaelem esse hunc monachum, eum imperio esse pulsum, ad hoc uxore et filio et reliquis fortunis omnibus a Botaniate tyranno orbatum, postremo praeter omne ius fasque taenia ac diademate detractis, monachi veste indutum esse; nunc supplicem ad se eum venisse. ita Robertus coram omnibus dictitabat regnumque se huic propter affinitatem restituturum esso pollicebatur. ac quotidie monacho, quippe imperatori Michaeli, et locum principem et altiorem sedem concedebat praecipuoque eum honore habebat. concionabatur etiam alias aliter, cum modo quae propter filiam passus esset, conquereretur, modo, ne laederet scilicet consocerum, commemorare nollet, in quantam is calamitatem incidisset; interdum etiam ad bellum suos incitaret et impelleret, tantum non auri montes callide promittens. tali modo ubi locupletes iuxta atque inopes vana spelactavit, Longibardia relicta vel potius cuncta secum abrepta, Salernum contendit, quae Melphae metropolis

καταπράξας καλῶς, ἐντεῦθεν τὰ πρὸς τὸν πόλεμον ἐξαρτύεται. δύο δὲ ἤστην αὐτῷ· τὴν γὰρ τρίτην ἡ βασιλὶς τῶν πόλεων εἶχεν ἐξ αὐτοῦ θαλάμου δυστυχῆ. ὁ γὰρ νεανίας ἐκεῖνος ἐξ ἀρχῆς αὐτῆς οὔπω ἔφηβος ὢν ἀπεστρέφετο τουτὶ τὸ κῆδος καθάπερ τοὺς μορμολυττομένους τὰ βρέφη. τούτων
C *δὲ τὴν μὲν Ῥαϊμούντῳ τῷ υἱῷ κόμητος Βραχενῶνος κατηγγυήσατο, τὴν ἑτέραν δὲ συνέζευξε τῷ Εὐβούλῳ ἐπιφανεστάτῳ καὶ τούτῳ κόμητι. οὐδὲ ταῦτα τὰ συναλλάγματα πρὸς τὸ ἀσύμφορον ἑώρα Ῥομπέρτῳ· ἀλλὰ πανταχόθεν γὰρ συνεκεκρότητο καὶ συνηθροίζετο ἑαυτῷ δύναμιν, ἐκ γένους, ἐκ τυραννίδος, ἐξ ἀγχιστείας, ἐξ ἄλλων τρόπων παντοδαπῶν, ὧν ἄν τις οὐδὲ ἐπινοήσαιτο.*

13. *Ξυμπίπτει δὲ μεταξὺ καί τι τοιοῦτον, ὅπερ ἄξιον ἀφηγήσασθαι. ἔστι γὰρ καὶ τοῦτο εἰς εὐφημίαν τούτου καὶ εὐτυχίαν ἀναφερόμενον. καὶ γὰρ καὶ τοὺς τῆς δύσεως ἅπαντας*
D *ἀρχηγοὺς ἀναχαιτίζεσθαι τῆς πρὸς τοῦτον φορᾶς σφόδρα τῆς τῶν πραγμάτων εὐροίας τῷ βαρβάρῳ λογίζομαι, ἁπανταχόθεν τῆς τύχης αὐτῷ συνεργούρης καὶ ἐπαιρούσης εἰς τυραννίδα καὶ πᾶν τὸ ἐπωφελὲς περαιουμένης. ὁ γάρ τοι πάπας τῆς Ῥώμης (γενναία δὲ αὕτη ἀρχὴ καὶ στρατεύμασι παντοδαποῖς περιφραττομένη) μετὰ τοῦ ῥηγὸς Ἀλαμανίας Ἐνερίχου διαφορὰν ἐσχηκώς, ἐβούλετο πρὸς συμμαχίαν ἑλκῦ-*
P. 31 *σαι Ῥομπέρτον ἤδη περιφανέστατον γεγονότα καὶ πρὸς με-*

10. *ἑαυτῷ* om. P. 12. *ἐπινοήσατο* P. 14. *εἰς εὐτυχίαν τούτου ἀναφερόμενον* GA. 15. an *καὶ τὸ τῆς*? 22. *ἠβούλετο* A.

est. ibi postquam ceterarum filiarum res ordinavit, quae ad bellum pertinebant parabat. erant autem ei duae filiae; nam tertia in regina urbium commorabatur, ex ipsis nuptiis infelix. iuvnnis enim ille statim a principio, cum nondum pubes esset, has nuptias aversabatur, quemadmodum formidines infantuli. illarum autem alteram Raïmundo despondit, comitis Barcinonensis filio, alteram Eubulo collocavit, illustrissimo et ipsi comiti. nec in his nuptiis Robertus non commodi sui rationem habuit; immo undique opes colligebat, ex genere, ex tyrannide, ex affinitate, ex innumeris denique aliis rebus, de quibus vix cogitaveris.

13. Interim accidit aliquid, quod silentio praetereundum non est. nam id quoque ad felicitatem, qua usus est Robertus, pertinet. quod enim Occidentis principes omnes impediti erant, quominus eum aggrederentur, id admodum ad rerum prosperitatem barbaro profuisse censeo, quem quidem fortuna ab omni parte adiuvit in regnumque extulit et qualibet opportunitate auxit. etenim cum papa urbis Romae (est is principatus valens omnique copiarum genere munitus,) cum

γάλας ἀρχὰς ἀκμάσαντα. ἡ δὲ διαφορὰ ῥηγός τε καὶ πάπα τοιαύτη τις ἦν. ὁ μὲν γὰρ κατῃτιᾶτο τὸν ῥῆγα Ἐνέριχον ὡς τὰς ἐκκλησίας οὐ προῖκα διδόντα, ἀλλὰ δωρημάτων ἀποδιδόμενον καί που καὶ ἀναξίοις ἀνδράσι τὴν ἀρχιερωσύνην καταπιστεύοντα, καὶ τοιούτων ἐγκλημάτων ἐδίωκεν. ὁ δέ γε ῥὴξ Ἀλαμανίας τυραννίδος τὸν πάπαν ἐγράφετο, ὡς ἄτερ γνώμης αὐτοῦ τὸν ἀποστολικὸν ἐξαρπάσοι θρόνον. καί που καὶ ἀπηναισχυντήκει πρὸς τοῦτον καὶ ἰταμωτέροις ἐχρήσατο λόγοις, ὡς εἰ μὴ ἐκσταίη τῆς αὐθαιρέτου προεδρίας, μεθ' ὕβρεως ἐκεῖθεν ἀπελαθήσεται. τούτων οὖν ἀκούσας ὁ πάπας B τῶν λόγων, κατὰ τῶν πρέσβεων εὐθὺς ἐμεμήνει, καὶ αἰκισάμενος πρότερον ἀπανθρώπως, εἶτα καὶ κείρας τὰς κεφαλὰς καὶ ἐπικείρας τοὺς πώγωνας, τὰς μὲν ψαλίσι ξυρῷ δὲ τοὺς πώγωνας, καὶ ἄλλο τι προσεργασάμενος ἀτοπώτατον καὶ βαρβαρικὴν ὕβριν ὑπερελαῦνον, ἀφῆκεν· εἶπον ἂν καὶ τὴν ὕβριν, εἰ μή με καὶ γυναικεία καὶ βασιλικὴ ἐπεῖχεν αἰδώς. ἐκεῖνο γὰρ οὐχ ὅπως ἀνάξιον ἀρχιερέως τὸ παρ' ἐκείνου πραχθέν, ἀλλ' οὐδ' ὅλως ἀνθρώπου Χριστιανικὸν ἐπιφερομένου V. 29 τοὔνομα, καὶ ἐβδελυξάμην καὶ τὸ ἐνθύμημα τοῦ βαρβάρου, C μήτοι γε τοὖργον, ἐπεὶ καὶ τὸν γραφέα κάλαμον καὶ τὸν χάρτην ἐμόλυνα ἄν, εἰ τὸ πραχθὲν κατὰ μέρος διεξῄειν. ἀλλ' εἰς παράστασιν καὶ βαρβαρικῆς ὕβρεως καὶ ὅτι ὁ χρό-

3. δωρήματα G. 4. που : πάντα A. 14 προσεξεργασόμενος P. 18. ἐπιφερ. καὶ τοὔνομα ἐβδελυξάμην PA, ἐπιφερ. ὄνομα G, ego καὶ transposui.

Germaniae rege Henrico dissideret, adiungere sibi Robertum illustrem iam et viribus pollentem cupit. dissidium autem, quod inter regem et papam intercessit, eiusmodi fere erat. accusabat ille regem Henricum, quod ecclesias non gratis conferret, sed donis acceptis, interdum etiam indignis hominibus episcopatus committeret. talium eum facinorum arguit; Germaniae autem rex papae crimini dabat, quod ecclesiae principatum invasisset, quippe qui sine suo consensu in apostolicum se thronum intrusisset. in qua disceptatione etiam insolenter se gerebat et paulo ferocius, nisi pontificatu, quem occupasset, sponte cederet, ignominiose eo eiectum iri, comminabatur. quibus papa auditis, iram in legatos vertit. verberibus eos misere caesos, capita forficibus barbas novaculis rasos, alio insuper genere immanis et plus quam barbarae contumeliae affectos dimisit. quam contumeliam quominus disertius significem, pudor prohibet, qui et feminam et principem decet. nam quod ille perpetravit, non modo pontifice, sed ne ullo quidem homine dignum, qui Christi nomen profitetur, atque ipsum etiam consilium barbari abominor, nedum

νος ῥέων ἤθη ἀνδρῶν παντοδαπὰ πρὸς κακίαν ἀναφύει καὶ πάντολμα, ἀρκέσει αὐτὸ τοῦτο τὸ μηδὲ μικρόν τι τοῦ πραχθέντος ἀνασχέσθαι ἡμᾶς παρεμφῆναι ἢ διηγήσασθαι, καὶ ταῦτα ἀρχιερέως, ὦ δίκη, καὶ ταῦτα πρώτου ἀρχιερέως, καὶ ταῦτα προκαθημένου τῆς οἰκουμένης ἁπάσης γενομένου, ὥσπερ οὖν καὶ οἱ Λατῖνοι λέγουσί τε καὶ οἴονται· ἔστι γὰρ
D καὶ τοῦτο τῆς ἀλαζονείας αὐτῶν. μεταπεπτωκότων γὰρ τῶν σκήπτρων ἐκεῖθεν ἐνθάδε εἰς τὴν ἡμεδαπήν τε καὶ ἡμετέραν βασιλίδα πόλιν καὶ δὴ καὶ τῆς συγκλήτου καὶ ἅμα πάσης τῆς τάξεως, μεταπέπτωκε καὶ ἡ τῶν θρόνων ἀρχιερατικὴ τάξις. καὶ δεδώκασιν οἱ ἀνέκαθεν βασιλεῖς τὰ πρεσβεῖα τῷ θρόνῳ τῆς Κωνσταντινουπόλεως, καὶ μάλιστα ἡ ἐν Χαλκηδόνι σύνοδος εἰς περιωπὴν πρωτίστην τὸν Κωνσταντινουπόλεως ἀναβιβασαμένη, τὰς ἀνὰ τὴν οἰκουμένην διοικήσεις ἁπάσας ὑπὸ τοῦτον ἐτάξατο. μήποτε οὖν ἡ τοιαύτη πρὸς τοὺς
P. 32 πρέσβεας ὕβρις ἀνεφέρετο πρὸς τὸν πεπομφότα οὖσα, οὐ μόνον ὅτι τούτους ἐκόλασεν, ἀλλ' ὅτι καὶ καινήν τινα τὴν εἰς αὐτοὺς γενομένην ὕβριν αὐτὸς πρῶτος ἐξεύρατο. ᾐνίττετο γὰρ δι' ὧν ἐποίει τὸ τοῦ ῥηγός, ὡς οἶμαι, εὐκαταφρόνητον, ὥσπερ τις ἡμίθεος ἡμιόνῳ διαλεγόμενος διὰ τῶν καθυβρισμένων τουτωνὶ πρέσβεων. ὁ μὲν οὖν πάπας ἐπειδὴ ταῦτα

1. ἀνθρώπων A. 4. δίκαιον A. 5. γενομένου G in margine, γενόμενον GP. 9. καὶ τῆς ὅλης βασιλικῆς τάξεως A. 12. τῆς add. A. 15. ἐτάξατο: ἐποίησε A. 16. πεπομφότα *οὖσα G. 18. αὐτὸς add. G. ἐφεύρατο G.

factum, quod si distinctius referrem, calamum hunc chartamque pollucrem. verum ut appareat, quo progredi usque barbara impotentia queat et quam scelesti nonnunquam et nefarii hominum mores decursu temporum existant, hoc unum sufficiat dicere, nullo modo a me impetrari posse, ut vel tantillum enuntiem facinoris commissi. et commissi ab episcopo, pro deus, atque adeo a summo episcopo quique universo orbi terrarum praeest: ita certe Latini et perhibent et credunt, neque id a cetera arrogantia eorum abhorret. nam cum imperium in nostram urbem regiam transiret, senatu et omnibus ordinibus inde huc traductis, transiit etiam episcopatus dignitas primaria. quem honorem cum imperatores pridem Cpolitano throno tribuerint, tum maxime synodus Chalcedonensis in amplissimum fastigium Cpolitanam sedem evexit eique omnes orbis terrarum subiecit dioeceses. sed illa quam dixi legatorum contumelia, dubitari nequit, quin ad regem ipsum pertinuerit, non ideo solum, quod eos pulsavit, verum etiam quod novum quoddam, quo illos afficeret, iniuriae genus excogitavit. voluit enim eo, ut opinor, significare, quanto regem despectui haberet, quem quasi quidam semideus semiasinum, tanto in

κεκραγὼς καὶ τοὺς πρέσβεις οὕτως, ὡς εἶπον, ἀποπεμψάμενος πρὸς τὸν ῥῆγα, μέγιστον πόλεμον ἀνηρέθισεν· ἵνα δὲ μὴ τῷ Ῥομπέρτῳ προσθέμενος ὁ ῥὴξ ἀφορητότερος γένοιτο, φθάνει τὰ πρὸς εἰρήνην τῷ Ῥομπέρτῳ διακηρυκευσάμενος, οὐδὲ πρότερον φιλίως διακείμενος πρὸς αὐτόν. πυθόμενος B γὰρ τὸν δοῦκα Ῥομπέρτον κατειληφότα τὴν Σάλερνον, ἀπάρας ἐκεῖνος τῆς Ῥώμης εἰς Βενεβενδὸν παραγίνεται. καὶ διὰ πρέσβεων πρὸς ἀλλήλους διαλεχθέντες, εἶθ' οὕτως καὶ αὐτοπροσώπως ἐντετυχηκότες ἀλλήλοις· καὶ γὰρ ὁ μὲν τῆς Βενεβενδοῦ μετὰ τοῦ οἰκείου ξυντάγματος, ὁ δὲ τῆς Σαλέρνου μετὰ στρατιᾶς ἐξιόντες, κἀθ' οὕτως τῶν στρατευμάτων γεγονότων ἐκ διαστήματος ἱκανοῦ, ἑκάτερος τοῦ οἰκείου τάγματος ἀποστάς, συνηλθέτην τε τὼ ἄνδρε καὶ πίστεις παρ' ἀλλήλων καὶ ὅρκους λαβόντες ὑπέστρεψαν. οἱ δὲ ὅρκοι, ἵν' ὁ μὲν πάπας τήν τε τοῦ ῥηγὸς ἀξίαν περιθείη αὐτῷ καὶ συμμαχίαν C δοίη καιροῦ καλοῦντος κατὰ Ῥωμαίων· ὁ δὲ δοὺξ ἀνθορκίζετο τῷ πάπᾳ προσβοηθεῖν ὅποι βούλοιτο. μάταια δ' ἄρα ἦσαν τὰ τῶν ὅρκων παρ' ἀμφοτέρων τελούμενα. ὅ τε γὰρ πάπας κατὰ τοῦ ῥηγὸς εὖ μάλα παρώξυντο καὶ ὁ πρὸς ἐκεῖνον πόνος κατήπειγεν, ὅ τε δοὺξ Ῥομπέρτος τῇ Ῥωμαίων ἐποφθαλμίᾳ καὶ ὥσπερ τις κάπρος ἄγριος τοὺς ὀδόντας κατὰ τούτων ἐτετρίγει τε καὶ τὸν θυμὸν ἔθηγεν, ὥστε μέχρι λόγων οἱ ὅρκοι τούτων. καὶ ὀμνύντες αὐτίκα τὸ πρὸς ἀλλήλους οἱ V. 30

16. δοὺξ τῷ πάπᾳ προσβοηθείη A. lege ἀνθωρκίζετο. 17. ὅπη A. 18. τῶν om. P. 19. παρωξύνετο A. 20. κατήπειρεν P. 21. ἐποφθαλμίᾳ P. 23. αὐτίκα τὸ om. A.

legatos scelere edito, tractavit. papa igitur, ubi ista perpetravit ac legatos ita ut dixi dimisit, cum magnum sibi bellum imminere intelligeret, veritus, ne rex, inita cum Roberto societate, etiam validior fieret, occupat de pace ad Robertum mittere, licet antea non amico erga eum animo fuisset. cumque certior esset factus, Salerni Robertum ducem degere, Roma Beneventum profectus est. primum per legatos transigebant, dein ipsi conveniunt. atque ille Benevento, hic Salerno cum militum manu egressi, postquam utriusque exercitus, quantum satis videbatur, appropinquarunt, ad colloquium ambo prodeunt ac fide invicem data et iureiurando firmata, revertuntur. foedus ita pepigerant, ut papa regiam dignitatem Roberto tribueret et, ubi opus esset, auxilium contra Romanos ferret; Robertus autem papae adesset quacunque vellet. at frustra fides utrimque data est. siquidem papa regi vehementer offensus, toto animo bellum adversus eum agitabat; et Robertus, qui Romanorum regno oculos adiecisset cupiditatis, velut aper ferus dentes animumque adversus hos

D βάρβαροι, τὸ παραυτίκα καὶ παρεσπόνδουν. ὁ μὲν δοὺξ Ῥομπέρτος συστρέψας τοὺς χαλινοὺς ἐπὶ τὴν Σάλερνον ἔσπευδεν, ὁ δὲ κατάπτυστος οὗτος πάπας (οὐδὲ γὰρ ἔχω τί ποτ' ἂν ἄλλο τοῦτον ἐπονομάζειν, τὴν ἀπάνθρωπον ἐκείνην ὕβριν ἐνθυμηθεῖσα τὴν εἰς τοὺς πρέσβεας,) μετὰ πνευματικῆς χάριτος καὶ εὐαγγελικῆς εἰρήνης ἐπὶ τὸν πόλεμον ὁ δεσπότης ἐχώρει ὅλῃ γνώμῃ καὶ ὅλαις χερσὶ τὸν ἐμφύλιον, ὁ εἰρηνικὸς ταῦτα καὶ τοῦ εἰρηνικοῦ μαθητής. τοὺς γὰρ Σάξονας αὐτίκα καὶ τοὺς Σαξόνων ἡγεμόνας Λαντοῦλφόν τε καὶ Οὐέλ-
P. 33 χον μεταπεμψάμενος καὶ πολλὰ μὲν καὶ ἄλλα ἐν ὑποσχέσεσιν ὑποτείνας καὶ ῥῆγας ποιήσειν τῆς ἑσπέρας ἁπάσης ἐπαγγειλάμενος, εἰς ἑαυτὸν ὑποσύρει τοὺς ἄνδρας. οὕτως ἐκεῖνος εὔκολον εἶχε τὴν δεξιὰν εἰς χειροθεσίαν ῥηγῶν, τοῦ Παύλου παρακούων, ὥς ἔοικε, "χεῖρας ταχέως μηδενὶ ἐπιτίθει" λέγοντος· ὁ δὲ τὸν δοῦκα Λογγιβαρδίας ἐταινίου καὶ τοὺς Σάξονας τούτους ἔστεφε. συναγηοχότος τοίνυν ἑκατέρου τὰς δυνάμεις αὐτῶν, τοῦ τε ῥηγὸς Ἀλαμανίας Ἐνερίχου καὶ τοῦ πάπα, καὶ πρὸς ἀλλήλους παραταξαμένων, ἥ τε κερατίνη σάλπιγξ τὸ ἐνδόσιμον ἐδεδώκει καὶ συνερράγησαν εὐθὺς αἱ φά-
B λαγγες καὶ μάχη ἐξ ἑκατέρων ἀνερριπίσθη μεγάλη καὶ παραμόνιμος. ἐπὶ τοσοῦτον γὰρ ἐξ ἑκατέρου μέρους ἠνδρίσαντο καὶ ταῖς ἀπὸ τῶν δοράτων τρώσεσι καὶ τοξευμάτων βολαῖς ἐνεκαρτέρησαν, ὡς ἐν βραχεῖ χρόνῳ πᾶσαν τὴν ὑποκειμένην

4. ἐπονομάσαιμι A. 5. εἰς: πρὸς A. 8. γὰρ: δὲ G. 11. ὑπαγγειλάμενος A. 13. εὐκόλως G. 19. εὐδόσιμον ἐδεδώκει P.

acuebat. Ita verbo tantum tenus barbari iurarunt, fidem mox violaturi. quorum quidem Robertus admisso equo Salernum contendit, papa iste detestabilis (non enim habeo, quo alio eum nomine denotem, cum atrocis illius in legatos crudelitatis recordor,) spiritalem gratiam ac pacem evangelicam prae se ferens, toto pectore ad bellum fertur civile, quanquam idem pacificum se et pacifici discipulum esse iactat. accitos enim e vestigio Saxonum duces, Ladulphum et Velcum, cum aliis pollicitationibus cepit, tum vero maxime, quod universi occidentis illos se reges facturum promisit. adeo promptus erat ad reges inaugurandos, parum, ut videtur, Paulum curans, qui ne cuiquam facile manum imponamus vetat. at iste et Longibardiae duci taeniam et Saxonibus hisce coronam donabat. cum igitur Germaniae rex Henricus et papa copias coactas in acie collocassent, signo dato, concurrunt legiones atque ingens et diutinum coortum est proelium. nam tanta utrimque fortitudine pugnabatur atque hastae et tela adverso pectore excipiebantur, ut brevi tota pla-

πεδιάδα ὑπὸ τῶν αἱμάτων τῶν ἀπὸ τῶν φόνων ἐνθαλαττεύεσθαι καὶ τοὺς ὑπολοίπους ἄνδρας ἐμπλέοντας τῷ πολλῷ λύθρῳ μάχεσθαι· ἔστιν ὅπου καὶ τοῖς νεκροῖς σώμασι συμποδιζομένους διαπίπτειν καὶ τῷ ποταμῷ τῶν αἱμάτων ἐμπνίγεσθαι. εἰ γὰρ ὑπὲρ τὰς τριάκοντα χιλιάδας ἄνδρες κατ' ἐκείνην τὴν μάχην, ὥς φασιν, ἐπεπτώκεισαν, πόσος ῥοῦς αἵματος κα- C *τερρύη, πόσον διάστημα γῆς τῷ λύθρῳ πεπάλακτο! εἶχον οὖν, ὡς οὕτως εἰπεῖν, ἴσας ὑσμίνῃ τὰς κεφαλὰς καὶ ἑκατέρα μερίς, ἕως ὁ τῶν Σαξόνων ἡγεμὼν Λαντοῦλφος διεῖπε τὸν πόλεμον. ἐπεὶ δὲ ἐκεῖνος καιρίαν ἐβλήθη καὶ αὐτίκα τὴν ψυχὴν ἀφῆκεν, ἔκλινεν ἡ φάλαγξ τοῦ πάπα καὶ τὰ νῶτα τοῖς ἐχθροῖς ἐδεδώκει, οὐκ ἀναιμάκτως, οὐδ' ἄνευ τραυμάτων φεύγοντες. ἔφεπε δὲ τούτους κλονέων ὁ Ἐνέριχος καὶ μάλα θαρρήσας τὴν μεταδίωξιν, ἐξότου καὶ τὸν Λαντοῦλφον ἐπύθετο πεπτωκότα καὶ πολεμίας χειρὸς ἔργον γεγενημένον. ἀλλ' ἔστη τοῦ δρόμου καὶ ἀναπνεῖν ἐπέταττε τὰ στρατεύματα. καὶ ἐξοπλισάμενος αὖθις ἐπὶ τὴν Ῥώμην ἔσπευδε, πολιορκήσειν αὐτὴν προθυμούμενος. ἐνθύμιον ἐνταῦθα λαμβάνει ὁ πάπας τὰς συνθήκας καὶ τοὺς ὅρκους τοῦ Ῥομπέρτου καὶ διαπρεσβεύεται πρὸς αὐτόν, εἰς συμμαχίαν ἀποπειρώμενος. καὶ δὴ κατὰ ταὐτὸν καὶ ὁ Ἐνέριχος συμμαχίαν ἐζήτει πέμψας, κατὰ τῆς πρεσβυτάτης Ῥώμης ὁρμώμενος. ἀλλ' ἔδοξεν ἑκάτερος τότε Ῥομπέρτῳ λῆρος τοιαῦτα ἐπιζητῶν· ἐκεῖνος δὲ πρὸς μὲν τὸν ῥῆγα ἄλλον τρόπον καὶ ἀγράφως ἀπε-*

6. *ἐπεπτώκεσαν* A. 7. *γῆς* om. G. 8. *ὑσμήνη* PG, recte A. 12. *οὐκ ἀναιμάκτως* : *ἦσαν δ' οἱ αὐτοῦ οὐκ ἀναιμάκτως* A. 16. *τῷ στρατεύματι* A.

nities sanguine redundaret, quique supererant milites multo cruore perfusi niterentur: quin erant etiam, qui ad mortuorum cadavera prolapsi, sanguinis flumine submergerentur. nam si verum est quod dicunt, plus triginta millia hominum eo proelio cecidisse, quantum sanguinis profusum est, quantum campi spatium cruore inquinatum! sed ancipiti Marte ab utraque parte pugnabatur, quamdiu Ladulphus Saxonum dux suis praeerat; at ubi vulnere accepto animam statim efflavit, papae acies in fugam inclinatur, terga hostibus magna strage caedentibus. Henricus enim cognito, Ladulphum etiam occubuisse, persequebatur insistebatque alacriter; denique continuit suos et respirare iussit. ubi autem rursus ad bellum se paravit, ad oppugnandam Romam contendit. ibi papa foederis atque iurisiurandi Roberti memor, misit ad eum qui auxilia poscerent; eodem tempore etiam Henricus subsidia per legatos petiit, Romam veterem expugnaturus. sed utrosque Robertus irridens, regi quidem

κρίνατο, πρὸς δὲ τὸν πάπαν ἐπιστολὴν διεχάραξεν. εἶχε δὲ
D τὰ τῆς ἐπιστολῆς ὧδέ πως. "τῷ μεγάλῳ ἀρχιερεῖ καὶ κυρίῳ
μου Ῥομπέρτος δοὺξ ἐν θεῷ." τὴν γεγενημένην κατὰ σοῦ
τῶν ἐχθρῶν ἔφοδον διακηκοώς, οὐ πάνυ τι τῇ ἀκοῇ προσε-
θέμην, εἰδὼς ὡς οὐκ ἄν τις τολμήσειεν ἀντᾶραί σοι χεῖρας.
τίς γὰρ κατὰ τοσούτου πατρὸς ἐπιχειρήσειεν, εἰ μὴ μαίνοιτο;
ἐμὲ δὲ ἴσθι πρὸς πόλεμον βαρύτατον ἐξοπλιζόμενον καὶ πρὸς
P. 34 ἔθνος δυσκαταγώνιστον. Ῥωμαῖοι γάρ εἰσι πρὸς οὓς ὁ πό-
V. 31 λεμος, οἳ πᾶσαν γῆν καὶ θάλασσαν τροπαίων ἐνέπλησαν. σοὶ
δὲ ἀλλ' ἀπὸ ψυχῆς βαθείας πίστιν ὀφείλω, ἣν καὶ καιροῦ
καλοῦντος παράσχοιμι." οὕτως ἐκεῖνος καὶ ἀμφοτέρων τῶν
εἰς συμμαχίαν καλούντων τοὺς πρέσβεις, τοὺς μὲν τῇ ἐπι-
στολῇ ταύτῃ, τοὺς δὲ πιθανοῖς τισὶ λόγοις διακρουσάμενος
ἀπεπέμψατο.

14. Ἀλλὰ μὴ παρῶμεν τὰ κατὰ Λογγιβαρδίαν αὐτῷ
διαπεπραγμένα πρὶν ἥκειν εἰς τὸν Αὐλῶνα σὺν τῷ στρατεύ-
ματι. ὁ μὲν γὰρ καὶ ἄλλως ἦν τυραννικὸς ἀνὴρ καὶ πικρό-
B τατος, τότε δὲ καὶ Ἡρώδου μιμεῖται μανίαν. μὴ γὰρ ἀρ-
κούμενος τοῖς ἀνέκαθεν ἐστρατευμένοις ἀνδράσι καὶ πρὸς μά-
χην ἐπισταμένοις ὁπλίζεσθαι, νεοσύλλεκτον ποιεῖται στράτευ-
μα, μηδεμιᾶς φειδόμενος ἡλικίας· ἀλλὰ καὶ τὴν ἔξωρον καὶ
τὴν ἄωρον πανταχόθεν συναγηοχὼς Λογγιβαρδίας τε καὶ
Ἀπουληΐας εἰς ἑαυτὸν ἐφειλκύσατο. καὶ ἦν ἰδεῖν καὶ παῖδας

3. δοὺξ: ῥὴξ A. 7. ἐξοπληξόμενον P. 10. ἀλλ' om. G. 23. ἀφειλκύσατο P.

alio modo nec per litteras respondit; papae autem epistolam misit, quae his fere verbis conscripta erat. "summo pontifici et domino meo Robertus dux in deo. incursionem in te hostium fieri cum audirem, diu famae fidem non habui. quippe mihi persuasum erat, neminem ausurum in te insurgere. quis enim, nisi furore amens, arma adversus tantum patrem capiat? me vero scias gravissimum apparare bellum cum gente fortissima. etenim cum Romanis mihi res est, qui terras et maria omnia trophaeis impleverunt. tibi autem fidem ex intimo animo me debere profiteor, quam, cum opus erit, praestabo." sic utrumque auxilia petentem, alterum hisce litteris, alterum verborum fallaciis elusit.

14. Sed ne omittamus, quae in Longibardia gessit, antequam Aulonem cum exercitu traiiceret. is enim cum alioquin animo imperioso et saevo esset, tum vero Herodis immanitatem aemulatus, quoniam milites veterani armorumque periti non sufficerent, in novo delectu habendo nulli plane aetati pepercit, sed emeritos aeque atque immaturos per universam Longibardiam et Apuliam in militiam coegit.

καὶ μειρακίσκους καὶ γέροντας ἀνθρώπους οἰκτρούς, οἳ μηδ' ὅσον ἐν ὀνείροις ὅπλον ἐθεάσαντο, τότε δὴ ἐνδεδυμένους θώρακα καὶ ἀσπίδα κρατοῦντας καὶ τόξον ἀφυῶς πάντη καὶ πλημμελῶς τείνοντας καὶ κατὰ στόμα πίπτοντας, ἐπειδὰν βαδίζειν ἐξῆν. ταῦτα δὴ ταῦτα θορύβου μὲν πρόφασις ἦσαν C τῇ χώρᾳ Λογγιβαρδίας ἀκαταπαύστου, καὶ πανταχοῦ κλαυθμὸς ἀνδρῶν καὶ ὀλολυγμὸς γυναικῶν, καὶ ἐμερίζετο ταύταις τὰ τῆς συγγενείας. ἡ μὲν γὰρ αὐτῶν ἀστράτευτον ἄνδρα ἐθρήνει, ἡ δὲ ἀπειροπόλεμον παῖδα, ἄλλη δὲ ἀδελφὸν γεωργὸν ἢ πρὸς ἄλλα ἔργα ἠσχολημένον. καὶ ταῦτα μὲν ἄντικρυς, καθάπερ εἶπον, μανίας ἦσαν Ἡρώδου ἢ καὶ πλέον Ἡρώδου. ἐκεῖνος μὲν γὰρ κατὰ τῶν βρεφῶν ἐμεμήνει μόνον, οὗτος δὲ καὶ κατὰ παίδων καὶ πρεσβυτέρων. ἀλλὰ καίπερ οὕτως ἐχόντων τούτων ἀνασκήτως, ὡς οὕτω γε φάναι, ἐγύμναζέ τε καθ' ἡμέραν ἑκάστην καὶ συνεκρότει τὰ τῶν νεοσυλλέκτων D σώματα. ταῦτα μὲν ἐν Σαλέρνῳ συνεπεπτώκει Ῥομπέρτῳ, πρὶν εἰς Ὑδροῦντα παραγενέσθαι. ἐκεῖσε γὰρ προεξέπεμψε στράτευμα ἱκανώτατον, αὐτὸν ἀπεκδεχόμενον, ἐπειδὰν ἅπαντα καταστήσειε τὰ κατὰ τὴν χώραν Λογγιβαρδίαν καὶ πρὸς τοὺς πρέσβεις τὰς προσηκούσας ἀποκρίσεις ποιήσαιτο. τοσοῦτον μέντοι τῷ πάπᾳ προσέθετο, ὅτε τῷ υἱῷ αὐτοῦ Ῥογέρῃ, ὃν Ἀπουληΐας ἁπάσης κεχειροτόνηκεν ἄρχοντα καὶ Βο-

9. γεωργὸν A, νέον PG. 10. καὶ add. G. 14. ἀνασκήτως A, ἀνασκέπτως PG. οὕτως P. 16. σωμάτων G. 17. ἱδροῦντα GA. 21. ὅτι? 22. ἄρχοντα om. G. Λοριτύλαν τὸν ἀδελφιδοῦν coni. Ducangius.

ibi cerneres et pueros et adolescentulos et senes miseros, qui ne per somnium quidem arma viderant, lorica indutos gestare clypeum arcumque inscite prorsus et imperite tendere ac, si ingredi oporteret, corruere. ea res, dici non potest, quanto luctu Longibardiam compleverit; ubique virorum fiebant fletus et lamentationes mulierum, suorum fortunam miserantium, audiebantur. alia enim maritum emeritum, alia belli rudem puerum, alia fratrem agro colendo aut aliis negotiis occupatum ad signa cogi conquerebatur. haec sane, ut dixi, crudelitas erat Herodis vel etiam Herode maior. siquidem ille in pueros tantum saeviit, hic et in pueros et in senes grassabatur. qui licet ita se haberent, ut nihil exercitatione profici posse videretur, tamen quotidie recens scriptos milites exercuit ac bello idoneos reddidit. haec Salerni gessit, priusquam Hydruntem se conferret. ibi enim satis magnus exercitus, quem praemiserat, subsidere iussus erat, donec ipse Longibardiae res ordinasset et legatis, quae oporteret, respondisset. ceterum papae eatenus rationem habuit, ut Rogerio filio et Bo-

ριτύλαν τὸν ἀδελφόν, ἐπέσκηψεν, ἐπειδὰν ὁ τῆς Ῥώμης θρόνος πρὸς βοήθειαν αὐτοὺς προσκαλοῖτο κατὰ τοῦ Ἐνερίχου ῥηγός, προθυμότατα πρὸς αὐτὸν ἀφικέσθαι καὶ τὴν δυνατὴν εἰσενεγκεῖν συμμαχίαν. τὸν μέντοι Βαϊμοῦντον, τὸν νεώτερον τῶν υἱέων αὐτοῦ καὶ κατὰ πάντα παρεμφερῆ τῷ πατρὶ καὶ τόλμαν καὶ ῥώμην καὶ γενναιότητα καὶ θυμὸν ἀκατάσχετον, (ὅλως γὰρ οὗτος τοῦ πατρὸς ἀποσφράγισμα ἦν καὶ τῆς ἐκείνου φύσεως ἔμψυχον ἐκμαγεῖον,) μετὰ βαρυτά- P. 35 του στρατεύματος ἐν τοῖς καθ' ἡμᾶς ἀποστέλλει χωρίοις, τοῖς ἀμφὶ τὸν Αὐλῶνα τόποις ἐπιπηδήσοντα. ὁ δὲ αὐτίκα ξὺν ἀπειλῇ καὶ ἀκατασχέτῳ ῥύμῃ καθάπερ τις ἐπιρρυεὶς κεραυνὸς τῶν τε Κανίνων καὶ Ἱεριχὼ καὶ τοῦ Αὐλῶνος παντὸς ἐπελάβετο καὶ ἀεί τι τὰ ξυμπαρακείμενα ᾕρει καὶ ἐπυρπόλει μαχόμενος. καὶ ἦν ὡς ἀληθῶς πρὸ τοῦ πυρὸς καπνὸς δριμύτατος καὶ πρὸ τῆς μεγάλης πολιορκίας πολιορκίας προοίμιον. βρούχους ἄντικρυς καὶ ἀκρίδας εἶπεν ἄν τις αὐτούς, τὸν πατέρα καὶ τὸν υἱόν· τὰ γὰρ κατάλοιπα Ῥομπέρτου ὁ τούτου υἱὸς Βαϊμοῦντος προσεπενείματο καὶ κατέφαγεν. ἀλλὰ B μήπω γε τοῦτον εἰς τὸν Αὐλῶνα διαπεράσωμεν· προσεξεταζέσθω δὲ τὰ κατὰ τὴν ἀντιπέραν ἤπειρον αὐτῷ πεπραγμένα.

15. Ἀπάρας γὰρ ἐκεῖθεν γίνεται κατὰ τὸν Ὑδροῦντα, V. 32 εἶτ' ἐκεῖθι διακαρτερήσας ὀλίγας ἡμέρας καὶ τὴν γυναῖκα

4. *Βαϊμοῦνδον* A. 8. *ἔμφυλον* P. 11. *τῷ ἀκατασχέτῳ* P. 12. *Καννίνων* A. 16. *ἄντικρυς* add. A. 19. *προεξεταζέσθω* coni. Diesterweg.

ritylae fratri, quos universae Apuliae praefecerat, mandaret, si pontifex Romanus auxilia adversus Henricum regem flagitaret, promptissime succurrerent et quantum possent opitularentur. Boëmundum autem filium natu minorem, qui patri simillimus erat et audacia et robore et fortitudine et animo effrenato, (omni enim ex parte hic patrem referebat et ingenii illius quasi viva imago erat,) hunc igitur cum validissimo exercitu in fines nostros praemiserat, ut regionem circa Aulonem vexaret. is minitabundus et fulminis instar impetu haud sustinendo irruens, Canina et Hiericho Aulonemque adeo universum occupat, dum igni ferroque regiones adiacentes vastat. erat re vera ignis secuturi fumus molestissimus et imminentis oppugnationis magnae quasi exordium. ac filium patremque apte quis brucho et locustae comparaverit; nam quae intacta Robertus reliquerat, ea filius eius Boëmundus absumsit et comedit. sed priusquam Robertum traiiciamus Aulonem, pergamus in enarrandis iis, quae in adversa continente gessit.

15. Salerno igitur profectus, Hydruntem venit, ubi cum paucos dies

Γαΐταν ἀπεκδεχόμενος, (καὶ γὰρ καὶ αὐτὴ ξυνεστράτευε τῷ ἀνδρὶ καὶ χρῆμα ἦν ἡ γυνὴ φοβερόν, ἐπειδὰν ἐξοπλίσαιτο,) ὡς ἐνηγκαλίσατο ταύτην ἐπελθοῦσαν, ἄρας ἐκεῖθεν πάλιν ὅλῳ στρατεύματι τὸ Βρεντήσιον καταλαμβάνει· ἔστι δὲ τοῦτο ἐπίνειον τῆς ὅλης Ἰαπυγίας εὐλιμενώτατον. ἐνταῦθα δὲ καταπτὰς ἐκαραδόκει τε τὸ στράτευμα πᾶν ἐνταῦθα συναθροισθῆναι καὶ τὰς νῆας ἁπάσας, ὅσαι τε φορτίδες ἦσαν καὶ ὅσαι μακραὶ καὶ πολεμιστήριοι· ἐκεῖθεν γὰρ ἐπὶ τάδε τὸν C ἀπόπλουν ἐδόκει ποιεῖν. καὶ ἅμα ὁπόταν κατὰ τὴν Σάλερνον ἦν, πρέσβυν ἐξαποστέλλει τινὰ τῶν ἀμφ' αὐτὸν μεγιστάνων Ῥαοὺλ ἐπονομαζόμενον πρὸς τὸν βασιλέα Βοτανειάτην, ἤδη μετὰ τὸν αὐτοκράτορα Δούκαν τῶν σκήπτρων ἐπειλημμένον· ἐκαραδόκει καὶ τούτου τὰς ἀποκρίσεις. αὐτῷ τε γὰρ ἐπεπόμφει μέμψεις τινὰς καὶ προφάσεις δῆθεν εὐλόγους τοῦ προκειμένου πολέμου, ὅτι τὴν θυγατέρα μνηστευθεῖσαν τῷ βασιλεῖ Κωνσταντίνῳ, ὡς ὁ λόγος φθάσας ἐδήλωσε, τὴν μὲν ἀπέζευξε τοῦ νυμφίου, τοῦ δὲ τὴν βασιλείαν παρείλετο, καὶ ὡς ἠδικηκότος πρὸς ἄμυναν αὐτὸς εὐτρεπίζοιτο. τῷ δὲ τηνι- D καῦτα μεγάλῳ δομεστίκῳ καὶ ἐξάρχῳ τῶν δυτικῶν στρατευμάτων (οὗτος δ' ἦν ὁ ἐμὸς πατὴρ Ἀλέξιος) δῶρά τέ τινα ἐπεπόμφει καὶ γράμματα φιλίαν ἐπαγγελλόμενα. ταῦτα καραδοκῶν ἠτρέμει τῷ Βρεντησίῳ. ἐπεὶ δέ, μήπω τῶν στρατευμάτων συλλεγέντων ἁπάντων καὶ τῶν νηῶν ἀπωσθεισῶν

1. αὐτῇ P. 11. ὀνομαζόμενον G. 23. ἀπωθεισῶν PG, correxi.

commoratus esset, uxorem Gaïtam exspectans, (nam et ipsa maritum in bellum comitabatur, et cum arma induisset, horrenda sane res haec mulier erat,) hanc igitur advenientem postquam amplexatus est, omnibus copiis Brundusium movit, qui est portus universae Iapygiae commodissimus. quo cum celeriter descendisset, exspectabat, donec universus eodem exercitus navesque omnes tam onerariae quam longae et bello idoneae convenirent; inde enim traiicere in has terras constituerat. simul etiam, Salerni etiam tum degens, legatum miserat unum quendam ex nobilibus, Raulum nomine, ad imperatorem Botaniatem, qui expulso Duca rerum potitus erat: eius igitur responsa itidem exspectabat. imperatori enim ut belli suscipiendi causas, satis scilicet probabiles, indicaret, Raulum Cpolin questum miserat, quod filiam suam, quam imperatori Constantino desponsatam supra docuimus, orbaverit sponso, Constantino autem imperium abstulerit: ad quas iniurias ulciscendas se iam paratum esse. praeterea magno tunc temporis domestico et copiarum Occidentalium duci, qui pater meus Alexius erat, munera miserat cum litteris, quibus de amicitia eidem pollicebatur. utriusque

τῶν πλειόνων εἰς θάλασσαν, ἧκε Βυζαντόθεν καὶ ὁ Ῥαοὺλ μηδεμίαν ἀπόκρισιν πρὸς τὰ μεμηνυμένα ἐπενεγκών, εἰς θυμὸν ἀνερρίπισε πλέω τὸν βάρβαρον, καὶ μᾶλλον ὅτι καὶ δικαιολογίας ἥπτετο πρὸς τοῦτον τοιαύτης τῶν πρὸς τοὺς Ῥωμαίους πολέμων ἀπαγούσης. πρῶτα μὲν ὅτι ὁ ἐφεπόμενος
P. 36 αὐτῷ μοναχὸς ὑποκριτής ἐστι καὶ γόης ἀνὴρ καὶ ὑποδύεται τὸν αὐτοκράτορα Μιχαήλ, καὶ ὅλως πλάσμα ἐστὶ τὸ κατ' αὐτόν. ἐκεῖνον γὰρ ἰδεῖν φησὶ μετὰ τὴν ἀπὸ θρόνου καθαίρεσιν ἐν τῇ βασιλίδι πόλει φαιὸν ἐνδεδυμένον τριβώνιον καὶ ἐν μοναστηρίῳ διάγοντα, ἐπιμελὲς ποιησάμενος τὸ αὐταῖς ὄψεσι τὸν καταβεβλημένον βασιλέα θεάσασθαι. ἔπειτα προσετίθει καὶ τοῦτο, ὃ καὶ κατὰ τὴν ὑποστροφὴν συμπεπτωκὸς ἠκηκόει. ὁ γὰρ ἐμὸς πατὴρ τῆς βασιλείας ἐπιδραξάμενος, ὡς ὕστερον διηγήσομαι, τὸν Βοτανειάτην τῶν βασιλείων ἐξή-
B λασε καὶ τὸν τοῦ Δούκα υἱὸν τὸν περιφανέστατον Κωνσταντῖνον ἐκεῖνον ἐν τοῖς ὑφ' ἥλιον προσηκάμενος, μετεδίδου αὖθις τῆς βασιλείας. τοῦτο κατὰ τὴν ὁδὸν ἀκηκοὼς ὁ Ῥαούλ, εἰς πειθὼ καὶ ταῦτα προσῆγε, παραλύειν πειρώμενος τὴν τοῦ πολέμου σκευήν. "τίνι γὰρ δικαίῳ λόγῳ πρὸς Ἀλέξιον" φησι "πολεμήσομεν, τοῦ Βοτανειάτου τὰς ἀρχὰς δεδωκότος τῆς ἀδικίας καὶ τὴν θυγατέρα τὴν σὴν Ἑλένην τῶν Ῥωμαϊκῶν σκη-

1. ὁ om. G. 4. τῶν : τοῦ P. 5. lege ἀπᾳδούσης. 6. ἀποδύεται G. 8. φημὶ G. 10. ποιησάμενον G. 14. ἐξήλασεν P.

igitur responsa exspectans, Brundusii morabatur. ubi vero, nondum copiis omnibus collectis et navibus plerisque deductis, Byzantio reversus Raul nullum ad mandata responsum retulit, magis etiam iram barbari acuit, praesertim cum absurdas illas rationes, quibus ad probandam belli cum Romanis aequitatem utebatur, adversus ipsum exagitaret. primum, quem secum haberet monachum, simulatorem esse et hominem fraudulentum, qui imperatoris Michaelis personam subierit, ac totam rem merum commentum esse. nam Michaelem illum, amisso regno, pulla indutum veste et in monasterio degentem, vidisse se Cpoli, cum sedulo id egisset, ut suis ipse oculis imperatorem regno pulsum conspiceret. his addidit, quod, cum domum rediret, accidisse audierat. pater enim meus, exacto Botaniate, ut infra narrabimus, rerum potitus, Constantinum Ducae filium, omnium, quos terra sustinuit, illustrissimum arcessiverat regnique rursus participem fecerat. quae cum in reditu Raul accepisset, his quoque usus est, ut persuaderet Roberto eumque a bello apparando abduceret. "nam quo, inquit, iure Alexio bellum inferemus, cum Botaniates auctor fuerit iniuriae et filiam tuam Helenam imperio Romano privaverit?

πτρων ἀποστερήσαντος; τὰ γὰρ παρ' ἄλλων εἰς ἡμᾶς γινόμενα, οὐκ ἂν ἑτέροις τοῖς μὴ προσκεκρουκόσι κατὰ δίκην ἐνέγκοι πόλεμον. μὴ ἔχοντος δὲ τοῦ πολέμου δικαίαν πρόφασιν [C], τὰ ξύμπαντα φροῦδα, καὶ νῆες καὶ ὅπλα καὶ ἄνδρες καὶ παρασκευὴ πᾶσα πολεμιστήριος." ταῦτα ῥηθέντα ἐξώργισεν ἐπὶ πλέον Ῥομπέρτον· ἐμεμήνει γὰρ καὶ ἔμελλε τὼ χεῖρε τούτῳ ἐπιβαλεῖν. ἐκ θατέρου δὲ καὶ ὁ πεπλασμένος ἐκεῖνος Δούκας [V. 33] καὶ ψευδοβασιλεὺς Μιχαὴλ, ὃν καὶ Ῥαίκτωρα ὠνομάκαμεν, ἐσχετλίαζέ τε καὶ ἐδυσφόρει καὶ οὐκ εἶχεν, ὅπως κατάσχοι τὴν ὀργήν, οὕτω σαφῶς ἐξελεγχόμενος, ὡς οὐκ εἴη βασιλεὺς ἐκεῖνος ὁ Δούκας ἀλλὰ ψευδεπίπλαστος βασιλεύς. ὢν δὲ καὶ ἄλλως ἐξωργισμένος ὁ τύραννος κατὰ τοῦ Ῥαοὺλ, τοῦ ἀδελφοῦ [D] Ῥογέρη πρὸς Ῥωμαίους αὐτομολήσαντος καὶ διαμεμηνυκότος ἅπαντα τὰ κατὰ τὸν παρασκευαζόμενον πόλεμον, ἠβουλήθη κακόν τι δρᾶσαι τῷ Ῥαοὺλ, τὸν παραντίκα θάνατον ἀπειλήσας. ὁ δὲ μηδ' ὅλως πρὸς τὴν φυγὴν ἐρραθυμηκώς, πρὸς τὸν Βαϊμοῦντον ἐδραπέτευσεν, ὥσπερ τι κρησφύγετον ἐκ τοῦ σχεδὸν αὐτὸν ἐφευράμενος. ἐτραγῴδει δὲ καὶ ὁ Ῥαίκτωρ τὰς παλαμναιοτάτας ἀπειλὰς τἀδελφῷ τοῦ Ῥαοὺλ τῷ πρὸς Ῥωμαίους αὐτομολήσαντι, μεγάλα τε κεκραγὼς καὶ τὸν μηρὸν τῇ δεξιᾷ πλήττων καὶ ἐξαιτούμενος τὸν Ῥομπέρτον καὶ λέγων "ἓν τοῦτο καὶ μόνον αἰτῶ, ὡς εἰ τῆς βασιλείας ἐπιδραξαίμην καὶ ἀποκατασταίην τοῖς θρόνοις, παραδοῦναί μοι τὸν Ῥογέρην, καὶ εἰ μὴ τοῦτον οἰκτίστῳ θανάτῳ παραδοίην

9. ἐσχετλιάζετο καὶ G. 15. δράσας P. 22. ἐπιδραξοίμην P.

etenim propter aliorum in nos commissa, iniuste agas, si eos, qui nihil offenderunt, bello persequi velis. iniusto autem bello suscepto, vereor, ne cuncta perdideris, et naves et arma et viros et totum apparatum belli." quibus dictis, Robertus ira magis etiam incensus, adeo furebat, ut paene vim ei inferret. ab altera parte falsus ille Ducas et Pseudomichael, quem etiam Raectorem diximus, graviter ferre, indignari, nec habere, quo iracundiam reprimeret, quippe luculentissimo testimonio fraudis convictus. cumque Robertus etiam eam ob causam in Raulum exacerbatus esset, quod eius frater Rogerius ad Romanos transfugerat omnemque belli rationem prodiderat, gravi eum illico poena afficere voluit ac necem minatus est. at ille nequaquam ad fugam segnis, ad Boëmundum se tanquam in asylum proripuit. iactabat etiam Raector in Rauli fratrem, qui ad Romanos transfugerat, minas horrendas nec sine magna vociferatione, femur manu tundens, "id unum" Robertum appellans inquit "expeto, simul imperium adeptus inque regnum restitutus fuero, Rogerium

αὐτίκα ἐν μέσῃ τῇ πόλει ἀνασταυρώσας, τάδε καὶ τάδε πεί- P. 37 σομαι ἐκ θεοῦ.” ἀλλὰ μεταξὺ τῶν διηγήσεων τούτων γελᾷν ἔπεισί μοι τοὺς ἄνδρας τούτους καὶ τῆς ἀπονοίας καὶ τῆς κουφότητος, μᾶλλον δὲ τῆς κατ’ ἀλλήλων ἀλαζονείας. ὁ μὲν γάρ τοι Ῥομπέρτος πρόφασιν εἶχε τὸν ἀπατεῶνα τοῦτον καὶ δέλεαρ καὶ οἷόν τι πρόσχημα τοῦ συμπενθέρου καὶ βασιλέως, καὶ διεδείκνυ τοῦτον ταῖς πόλεσι καὶ πρὸς ἀποστασίαν ἐπῆρεν, ἐφ’ οὓς ἂν παραγένοιτο καὶ συμπείθειν ἠδύνατο, ἐν νῷ ἔχων, ἐπειδὰν κατὰ ῥοῦν αὐτῷ τὰ τοῦ πολέμου καὶ τῆς τύχης ἐπέλθοι, ἐπὶ τοῦ τραχήλου ῥαπίσας ἀποπέμψαι σὺν γέλωτι· μετὰ γὰρ τὴν θήραν καταγελᾶται τὸ δέλεαρ. ὁ δὲ καὶ αὐτὸς B ἐλπίσιν ἠπατημέναις ἐτρέφετο, εἴ που συμβαίη καὶ μετάσχοι κράτους τινός, οἷα φιλεῖ πολλάκις γίνεσθαι παραλόγως. ἀλλ’ ἐκεῖνος μὲν τῆς βασιλείας ἀπρὶξ ἐπιδράξοιτο, ὡς οὐκ ἂν τὸν βάρβαρον Ῥομπέρτον προσηκαμένου εἰς βασιλείαν τοῦ Ῥωμαϊκοῦ δήμου καὶ τοῦ στρατεύματος, αὐτῷ δὲ τῷ τέως ἀποχρῷτο καθάπερ ὀργάνῳ εἰς τὴν ὅλην τῆς σκευωρίας οἰκονομίαν. ταῦτα ἐνθυμουμένῃ μοι μειδιᾶν ἐπέρχεται καὶ γέλως ἐπιτρέχει τοῖς χείλεσι πρὸς λύχνον ἐπισυρούσῃ τὸν κάλαμον.

16. Ὁ μέντοι Ῥομπέρτος πᾶσαν δύναμιν συναγηοχὼς κατὰ τὸ Βρεντήσιον τάς τε ναῦς αὐτῷ καὶ τοὺς στρατιώτας, C (αἱ μὲν γὰρ νῆες εἰς ἑκατὸν καὶ πεντήκοντα συνηρίθμηντο,

5. εἶχεν P. 6. καὶ οἷόν : εἰς οἷόν G. 9. ἐπειδὴ P. 19. ἐπισυροῦσι P.

mihi dedas, quem nisi cruci media in urbe suffixum acerbissima morte afficiam, quidvis a deo perpeti paratus sum.” quae dum narro, ridere subit homines istos eorumque amentiam et levitatem, vel potius iactantiam, qua sibi invicem illudebant. nam Robertus fraudulentum monachum arcessiverat, ut belli praetextum haberet eoque uteretur tanquam esca et simulacro quodam consoceri atque regis. ostentabat eum per urbes, et ad seditionem commovebat quoscunque adiit et inducere potuit, si prospere bellum successisset, praecipitem eum ignominiose ac cum ludibrio abacturus; nam venatione finita, esca proiici solet. ipsum falsa spe lactabat, fore ut potentiam aliquam consequeretur; qualia plerumque evenire solent inopinato. at ille prorsus non dubitabat, quin regni potiretur. nam barbarum Robertum nullo modo ad imperium a populo exercituque Romano admissum iri; ceterum Roberto veluti instrumento ad consiliorum suorum fraudem perficiendam utebatur. quae cum considero, risus mihi oboritur vultuque diffunditur, ad lucernam haec exaranti.

16. Robertus igitur cum Brundusii omnes et naves et milites coegisset, (naves erant ad centum quinquaginta numero, militum

οἱ δὲ στρατιῶται εἰς τριάκοντα χιλιάδας ξύμπαντες ἐτύγχανον συμποσούμενοι, ἑκάστης νηὸς ἄνδρας ἀπολαμβανούσης διακοσίους μεθ' ὅπλων καὶ ἵππων,) καὶ οὕτως ἐχόντων παρασκευῆς, ἐπειδὰν οἷς προσοκείλειαν, ὡπλισμένοις τούτοις καὶ ἱππόταις περιτυχεῖν, ἔμελλε διαφεῖναι πρὸς τὴν Ἐπίδαμνον πόλιν, ἣν Δυρράχιον κατὰ τὸ νῦν ἐπικρατῆσαν ἔθος προσονομάζομεν. ἐδόκει μὲν γὰρ ἐξ Ὑδροῦντος πρὸς τὰς Νικοπόλεις διαπερᾷν καὶ τήν τε Ναύπακτον καὶ τὰ ξυμπαρακείμενα χωρία καὶ φρούρια πάντα κύκλῳ περιλαβεῖν. ἀλλ' ἐπειδήπερ εἰς πολὺ πλάτος ἠνέῳκτο τὸ ἐκεῖθεν ἐνθάδε πέλα- D
γος ἢ τὸ ἀπὸ Βρεντησίου πρὸς τὸ Δυρράχιον, προείλετο μᾶλλον τοῦτον τὸν κατάπλουν ἐκείνου, ἅμα μὲν καὶ τὴν ταχίστην κέλευθον προαιρούμενος, ἅμα δὲ καὶ τὴν ῥᾳστώνην τῷ στόλῳ περιποιούμενος. καὶ γὰρ χειμέριος ἦν ἡ ὥρα καὶ ὁ ἥλιος V. 34
πρὸς τοὺς νοτίους κύκλους ἀπελαυνόμενος καὶ τῷ αἰγοκέρωτι πλησιάζων ὑπετέμνετο τὰ ἡμερήσια διαστήματα. ἵν' οὖν μὴ ἐξ Ὑδροῦντος ἀφεὶς ἀρχομένης ἡμέρας, νυκτοπλοήσειε καὶ κλύδωσί τισι προσπελάσειεν, ἐπὶ τὸ Δυρράχιον ἐκ Βρεντησίου ὅλοις ἱστίοις ἀπενεχθῆναι ἐβουλεύσατο. τὰ μήκη γὰρ τοῦ διαστήματος τῆς ὁδοῦ ἐνταῦθα συνετέμνετο, ἐπιστενουμένου τοῦ Ἀδριατικοῦ πελάγους ἐκεῖθι. οὐ μέντοι οὐδὲ τὸν υἱὸν Ῥογέρην κατόπιν ἀπέλιπε, καθάπερ βεβούλητο πρό-

2. ἐπιλαμβανούσης G. 3. παρασκηνῆς P. 11. παρείλετο P. 12. τοῦτον καιέτλους ἐκείνου G. 16. ἡμεράσια CG. 17. ἀφεὶς Iac. Gronovius, ἀφ' ἧς codices. ναυπλωήσειε PG, νυκτοπλοήσειε FC. 18. προσπελάσειεν ἐπὶ τὸ Βρεντησίον P. 20. τῆς ὁδοῦ om. CG, add. PF. 21. οὐδὲ : γε P.

triginta ferme millia, singulis navibus ducentos milites excipientibus cum armis equisque,) militibus ita instructis, quoniam ad quos appulsuri erant, in armis eos et equitatu paratos essent inventuri, traiicere Epidamnum in animo erat, quam urbem hodie Dyrrhachium appellare consuevimus. antea quidem Hydrunte Nicopoles transmittere ac Naupactum quaeque circumiacent loca et castella omnia occupare statuerat; sed cum latius ea patere mare quam Brundusium inter Dyrrhachiumque animadvertisset, hic traiectus prae illo placuit, quippe qui et brevior et tutior esset. nam hibernum erat tempus et sol, ad circulos australes vergens et capricornum appropinquans, diei spatium contraxerat. itaque ne Hydrunte oriente sole profectus, in noctem conііceretur et in tempestates incideret, Dyrrhachium Brundusio plenis velis navigare statuit. ita enim celerius propter Adriatici maris angustias traiicere licuit. ceterum nec Rogerium filium in Italia reliquit, quemadmodum cum Apuliae eundem praeficeret, destinaverat; sed mu-

P. 38 τερον, Ἀπουλήϊας αὐτὸν κεχειροτονηκὼς κύριον, ἀλλ' οὐκ οἶδ' ὅπως μεταδόξαν αὐτὸν πάλιν συνεφεπόμενον εἶχε. μεταξὺ δὲ τοῦ πρὸς τὸ Δυῤῥάχιον κατάπλου τήν τε Κορυφὼ πόλιν ὀχυρωτάτην καὶ ἄλλ' ἄττα ἡμέτερα φρούρια ἐξ ἀποστολῆς κατέσχε. καὶ ὁμήρους ἔκ τε Λογγιβαρδίας καὶ Ἀπουλήϊας ἀναλαβόμενος καὶ τὴν χώραν ἀργυρολογήσας ἅπασαν καὶ φορολογήσας, προσδοκήσιμος ἦν τῷ Δυῤῥαχίῳ προσεσχηκέναι. δοὺξ δὲ τηνικαῦτα ἐτύγχανε παντὸς τοῦ Ἰλλυρικοῦ
B Γεώργιος ὁ Μονομαχάτος παρὰ τοῦ αὐτοκράτορος Βοτανειάτου ἀποσταλείς. καίτοι γε πρότερον τὴν ἀποστολὴν ἀπεπέμπετο καὶ οὐδ' ὅλως ἦν εὐπειθὴς πρὸς τὴν λειτουργίαν ταύτην, ἀλλ' οἵ γε βάρβαροι δοῦλοι τοῦ αὐτοκράτορος (Σκύθαι γὰρ ἦσαν Βορῖλός τε καὶ Γερμανός,) ἐνεκότουν τε τῷ Μονομαχάτῳ καὶ ἀεί τι δεινότερον κατ' αὐτοῦ ἐννοοῦντες κατεῖπον αὐτοῦ πρὸς τὸν αὐτοκράτορα, συῤῥάψαντες ὁπόσα γε καὶ βεβούλοιντο, καὶ τοσοῦτον ἀνέφλεξαν τὸν τοῦ βασιλέως κατ' αὐτοῦ θυμόν, ὡς ἐπιστραφέντα ποτὲ πρὸς τὴν βασιλίδα Μαρίαν ἐρεῖν "ἐχθρὸν τῆς Ῥωμαίων ἡγεμονίας τὸν Μονομαχάτον τοῦτον ὑπώπτευκα." τοῦτο ἀκροασάμενος Ἰωάννης ὁ Ἀλανός, φίλος ἐς τὰ μάλιστα ὢν τοῦ Μονομαχάτου, γινώ-
C σκων δὲ καὶ τὴν τῶν Σκυθῶν πρὸς αὐτὸν μῆνιν καὶ τὰς συχνὰς κατ' αὐτοῦ εἰσηγήσεις, ἅπαντα τά τε τοῦ βασιλέως

1. ἀλλ' F, ἐπεὶ PG. 2. οἶδ' F, οἶδα P, οἶδα πῶς G. μεταδόξαντα πάλιν αὐτὸν P, μεταδόξαν C, recte F. 4. ἄλλα τὰ codices, correxi. 10. γε om. F. 13. Βορῖλος F, Βουργῖλος P, βουργῦλος G. ἐνεκότουν τε FC, ἑστηκότες PG. 14. αὐτὸν PG, αὐτοῦ F. 15. ὁπόσα γε FC, ὅπου τε PG. 18. τῆς G, τῶν P. 20. ἐς τὰ μάλιστα FC, ἑστάμενος PG.

lata nescio qua de causa sententia, expeditionis comitem habuit. interea, dum Dyrrhachium navigavit, Corypho urbem munitissimam et alias quasdam arces nostras misit qui occuparent. ac receptis ex Longibardia Apuliaque obsidibus tributisque per totam ditionem suam exactis, Dyrrhachium eum appulsurum esse, exspectabant. tum totius Illyrici dux erat Georgius Monomachatus ab imperatore Botaniate delegatus. is initio quidem illud munus detrectaverat; sed servi imperatoris barbari (Borilus enim et Germanus Scythae genere erant,) invidebant Monomachato, cui ut perniciem molirentur, crimina apud imperatorem in eum iaciebant, quidquid volebant fingentes. denique tantopere regis animum irritaverant, ut ad Mariam coniugem aliquando conversus, hostem sibi imperii Monomachatum videri, diceret. quibus auditis Iohannes Alanus, summus amicus Monomachati, qui Scytharum in eum invidiam et crebras criminationes cognos-

ῥήματα τά τε τῶν Σκυθῶν πρὸς τὸν Μονομαχάτον ἀπελθὼν ἐξορχεῖται καὶ περὶ τοῦ συμφέροντος βουλεύσασθαι συμβουλεύει. ὁ δὲ (νουνεχὴς γὰρ ἦν,) καὶ τῷ βασιλεῖ προσελθὼν προαρπάζει τὴν ἐπὶ τὸ Δυρράχιον λειτουργίαν, λόγοις κολακευτικοῖς καταθέλξας αὐτόν. καὶ ὡς πρὸς τὴν Ἐπίδαμνον συνταξάμενος καὶ τὰς ἐπὶ τῇ δουκικῇ ζώνῃ προστάξεις ἐγγράφως ἀνειληφώς, ἐπισπευδόντων εὖ μάλα πρὸς τοῦτο τῶν Σκυθῶν ἐκείνων Γερμανοῦ καὶ Βορίλου, εἰς δευτέραν ἡμέραν τῆς βασιλίδος πόλεως ἔξεισι, τὴν Ἐπίδαμνον ἀφορῶν καὶ τὴν D Ἰλλυρίδα χώραν. ἀλλὰ περιτυγχάνει περί που τὴν λεγομένην Πηγήν, ἔνθα καὶ ναὸς ᾠκοδόμηται τῆς ἐμῆς δεσποίνης παρθένου καὶ θεομήτορος ἐν τοῖς ἀνὰ Βυζαντίδα πόλιν ναοῖς περιβόητος, τῷ ἐμῷ πατρὶ Ἀλεξίῳ. οἱ δὲ εἶδον ἀλλήλους, καὶ ὁ μὲν Μονομαχάτος ἄρχεται λόγων πρὸς τὸν μέγαν δομέστικον περιπαθῶν καὶ ὡς ὑπερόριος γίνεται δι' ἐκεῖνον καὶ τὴν πρὸς τοῦτον φιλίαν, καὶ ὅτι οἱ Σκύθαι οἱ πᾶσιν ἐποφθαλμιῶντες Βορῖλος καὶ Γερμανὸς ὅλον τοῦ φθόνου τὸν τροχὸν κατ' αὐτοῦ ἐξεκύλισαν, καὶ τῶν οἰκείων καὶ τῆς φιλτάτης ταύτης πόλεως εὐπροσώπως ἐξορίζουσι. καὶ πάντα κατὰ μέρος ἐκτραγῳδήσας, ὅσα τε πρὸς τὸν βασιλέα συκοφαντηθείη καὶ πάθοι παρὰ τῶν δούλων, ἠξιοῦτο παραμυθίας ὅτι πλείστης παρὰ

2. ἐξηγεῖται GC. 3. προσελθὼν ἐξαιτεῖται. προαρπάζει PG, ἐξαιτεῖται om. F. 6. δουκικῇ G, δουλικῇ P. 8. Βορίλα G. 11. δεσπότιδος F. 13. εἶδον F, ἤδη PG. 14. λόγον — περιπαθῇ G. πρὸς: περὶ CG. 15. γίνεται GC, γένοιτο FP. ἐκείνων F. 16. ἀποφθαλμιῶντες GC. 18. καὶ δὲ τῶν F. lege καὶ δή. οἰκιῶν G. φίλης CF.

set, Monomachatum convenit eique omnia et regis et Scytharum dicta referens, ut saluti suae consuleret, suasit. hic, ut erat consilii plenus, ultro imperatorem adiit Dyrrhachiique praefecturam praeripuit, ira blanditiis mitigata. itaque cum imperatorem salutasset ut Epidamnum discessurus, et litteras, quibus de munere edocebatur, accepisset, Scythis illis Borilo et Germano ad iter urgentibus, postero iam die Cpoli Epidamnum et Illyricum proficiscitur. sed haud procul a loco qui Pege dicitur, ubi aedes quoque in honorem dominae meae Virginis deiparae inter Cpolitanas celeberrima aedificata est, Alexio patri meo obviam fit. qui ut se conspicati sunt invicem, Monomachatus statim lamentari incipit adversus magnum domesticum fortunam suam. exulandum sibi esse propter magnam quam cum eo gesserit amicitiam. Scythas istos, qui in omnes malevola mente essent, tota invidiae quasi rota in se acta, et domo et carissima hac urbe honoris specie se expellere. cumque singillatim lacrimans edocuisset, quantae servorum istorum apud imperatorem fuissent calumniae et qualia perpessus ab ipsis esset, eum quam be-

τοῦ δομεστίκου τῆς δύσεως, οἷος ἐκεῖνος ψυχὴν ἐπικουφίσαι P. 39 βαρυνομένην ταῖς συμφοραῖς. καὶ τέλος ἐπειπόντος ὡς ἄρα θεὸς εἴη τῶν τοιούτων ἐκδικητὴς καὶ ὡς μεμνῆσθαι φιλίας τῆς πρὸς αὐτὸν ὑπομνήσαντος, ὁ μὲν ἐπὶ τὸ Δυῤῥάχιον ὥρμα, τὸν δ' ἀφῆκεν εἰσδῦναι τὴν βασιλεύουσαν πόλιν. ὁ δὲ Μονομαχάτος καταλαβὼν τὸ Δυῤῥάχιον καὶ ἀμφοτέρων τὴν παρασκευὴν ἀκηκοὼς, τήν τε τοῦ τυράννου Ῥομπέρτου καὶ τὴν V. 35 ἐπανάστασιν Ἀλεξίου, ἐν ζυγῷ καὶ σταθμῷ τὰ κατ' αὐτὸν διετίθετο. καὶ πρὸς μὲν τὸ φανερὸν ἀντίξως εἶχεν ἐν ἀμφοτέροις, εἶχε δέ τι τὰ τῆς προδήλου μάχης καὶ τοῦ φαινομένου B βαθύτερον. ὁ μὲν γὰρ μέγας δομέστικος γράμμασιν αὐτῷ μεμηνύκει τὰ συμπεσόντα, ὅτι τε τῶν ὀμμάτων ἀποστέρησις τούτῳ ἠπείλητο καὶ ὡς ἄρα διὰ ταύτην τὴν ἀνάγκην καὶ τὴν μελετωμένην τυραννίδα τοῖς τυραννοῦσιν ἀντεπιτίθεται. καὶ χρὴ τοῦτον διαναστῆναι ὑπὲρ τοῦ φίλου καὶ πρὸς αὐτὸν ἐθελῆσαι πέμψαι ὅθεν δήποτε χρῆμα τούτῳ συνειλεγμένον. δεῖ δὴ γάρ, φησι, χρημάτων καὶ ἄνευ τούτων οὐδὲν ἔστι γενέσθαι τῶν δεόντων." ὁ δὲ χρήματα μὲν οὐκ ἔπεμψε, φιλοφρονησάμενος δὲ τοὺς πρέσβεις, γράμματα τούτοις ἐπιτίθησιν ἀντὶ χρημάτων, τοιόνδε νοῦν περιέχοντα, ὡς αὐτὸς μὲν εἰς C τὴν τήμερον τὴν ἀρχαίαν φιλίαν διαφυλάττοι καὶ εἰς τὸ ἑξῆς φυλάττειν κατεπαγγέλλοιτο· περὶ δὲ τοῦ ἐπιτεταγμένου χρυ-

2. ὡς ἄρα: ἀλλὰ G, ὡς om. C. 8. ἐν add. F. 9. dele ἐν. 10. τὰ G duobus punctis superimpositis, acsi deleri oporteret. vid. annotat. 15. διαστῆναι CG. 17. δὴ om. CG. 21. διαφυλάττειν G. καὶ add. F. 22. κατεπαγγέλλεται G.

niguissima consolatione dignatus est magnus domesticus Occidentis, quo nemo ad erigendum animum afflictum efficacior erat. postremo ubi deum talium iniuriarum ultorem pollicitus, Monomachatum rogavit, ut amicitiae, quae ei secum intercederet, ne oblivisceretur, hic Dyrrhachium abiit, Alexius in urbem reversus est. at Monomachatus cum Dyrrhachium pervenisset, nuntio hinc de Roberti apparatu, illinc de Alexii seditione accepto, caute suis rebus prospexit. ac palam quidem inimicum se ferebat utrique, sed altius animo consilium agitabat. etenim magnus domesticus litteris ei nuntiavit, quae evenissent. excaecationis periculum sibi insitisse. propter hanc necessitatem et affectatam ab inimicis imperium insurrexisse se adversus tyrannos. debere illum pro amico arma capessere et, quantam posset, pecuniae vim sibi mittere; nam pecunia, inquit, opus est, qua deficiente perfici non possunt, quae necessaria sunt." at ille opes non misit; sed legatis bene exceptis, litteras pro pecunia tradidit, iisque amicitiam et servasse se semper et in

σίου σφόδρα μὲν καὶ αὐτὸν γλίχεσθαι πέμπειν ὁπόσα γε βούλοιτο χρήματα. ἀλλὰ γὰρ ἐπέσχε με πρᾶγμα δίκαιον. καὶ γὰρ πρὸς τοῦ βασιλέως Βοτανειάτου πεμφθεὶς καὶ τὰς πίστεις τῆς δουλείας αὐτῷ δεδωκώς, οὐ καλὸς ἂν οὐδέ σοι δόξω καὶ εὔνους τὰ εἰς βασιλέας ἀνήρ, εἴγε τοῖς σοῖς ἐπιτάγμασιν ἐκ τοῦ σχεδὸν ὑπείξομαι. εἰ δὲ τὴν βασιλείαν σοι ἐπιβραβεύσειεν ἡ ἄνωθεν πρόνοια, ὡς πρῶτον φίλος ἐγὼ πιστὸς ἦν, καὶ μετὰ ταῦτα δοῦλος πιστότατος ἔσομαι." ταῦτα τοῦ Μονομαχάτου πρὸς τὸν ἐμὸν πατέρα σχεδιάσαντος καὶ ἐν ταὐτῷ αὐτόν τε ἅμα, λέγω δὴ τὸν ἐμὸν πατέρα, καὶ τὸν D Βοτανειάτην ὑποποιουμένου, πρὸς δὲ τούτοις καὶ πρὸς τὸν βάρβαρον Ῥομπέρτον γυμνοτέρους ποιησαμένου λόγους καὶ εἰς λαμπρὰν ἀποστασίαν ἀναρρηγνυμένου, πολλὰ κατηγορεῖν ἔχω. ἀλλ' ἔοικέ πως τὰ τοιαῦτα ἤθη τῶν ἀνθρώπων παλίμβολα καὶ πολλὰ χρώματα μεταλαμβάνοντα κατὰ τὰς τῶν πραγμάτων μεταβολάς, καὶ τῷ μὲν κοινῷ οἱ τοιοῦτοι πάντες ἀξύμφοροι, ἑαυτοῖς δέ εἰσιν ἀσφαλέστατοι τὰ κατ' αὐτοὺς καὶ μόνους ξυμφέροντα διοικονομούμενοι, καὶ ὡς τὰ πολλὰ P. 40 ἀποτυγχάνοντες. ταῦτα μὲν οὕτως ὁ τῆς ἱστορίας ἵππος τῆς λεωφόρου ἐξέδραμε· πάλιν δὲ τοῦτον εἰς τοὺς προτέρους δρόμους ἐπαναγάγωμεν, καὶ γεγονότα ἐξήνιον. ὁ γάρ τοι Ῥομπέρτος καὶ πρότερον σφαδάζων πρὸς τὴν καθ' ἡμῶν πε-

2. με om. CG, add. PF. 5. εἰς τὰ βασίλεια G. 8. ἦν PF, εἴην CG. 11. τούτοις om. G. 12. γυμνότερον CG. 13. ἀπορρηγνυμένου CG. 15. χρήματα καταλαμβάνοντα G. 17. ἑαυτοὺς P. 18. διακονούμενοι G.

posterum servaturum significavit; pecuniam autem imperatam quod attineret, cupivisse se ipsum, quantum poposcisset, mittere; sed iusta, inquit, causa me detinuit. nam cum in nomen imperatoris Botaniatae, qui me huc delegavit, iuraverim, ne tibi quidem iustus et bono erga imperatores animo esse viderer, si mandatis tuis statim obsecutus essem. quod si incepta tua deus fortunaverit, ego, ut fidus primum amicus fui, ita servus deinceps ero fidissimus." haec Monomachatum patri meo scripsisse et eodem tempore utriusque, et Alexii et Botaniatae, gratiam aucupatum esse, praeterea etiam cum Roberto egisse apertius ac palam defectionem attentasse, id non possum, quin graviter reprehendam. verum ita solent homines inconstantes quique fidem mutant, prout mutantur tempora. rei publicae eiuscemodi omnes parum prosunt; sibi ipsis nunquam desunt, privata tantummodo commoda sequentes. quanquam plerumque falluntur. sed aberravit historiae quasi equus a via; itaque rursus in priorem cursum convertendus est, licet effrenatus. Robertus igitur cum iam antea mira flagraret traiiciendi cupiditate et Dyrrhachium

ραίωσιν καὶ τὸ Δυρράχιον φανταζόμενος, τότε δὴ καὶ μᾶλλον ἐξεφλέγετο, καὶ χεῖρας καὶ πόδας ἀκάθεκτος ἦν πρὸς τὴν ναυστολίαν, καὶ τοὺς στρατιώτας ἐπέσπευδε καὶ λόγοις παροξυντικοῖς παρεθάρρυνεν. ὁ δὲ Μονομαχάτος ταῦτα κατασκευάσας, καὶ ἄλλην τινὰ τοιαύτην ἀσφάλειαν ἑαυτῷ ἐπῳκοδομεῖτο. τόν τε γὰρ Βοδῖνον καὶ τὸν Μιχαηλᾶν τοὺς
B ἐξάρχους τῶν Δαλματῶν διά τινων γραφῶν ἑαυτῷ ὑπεποιήσατο φίλους καὶ δωρεαῖς προκατείληφε τὰς γνώμας αὐτῶν, θύρας παντοδαπὰς ἑαυτῷ ὑπανοίγων. εἰ γὰρ τοῦ τε Ῥομπέρτου καὶ Ἀλεξίου ἀστοχήσειε καὶ ἀμφοτέρων ἀποκριθείη, εὐθὺ Δαλματείας ἐλάσειε, πρός τε Βοδῖνον καὶ Μιχαηλᾶν αὐτόμολος γενησόμενος. ἐχθρῶν γὰρ τούτων ἀναφανέντων, λοιπὸς ἄρα ὁ Μιχαηλᾶς κατηλπίζετο τούτῳ καὶ ἑτέρωθεν ὁ Βοδῖνος, πρὸς οὓς καὶ φυγεῖν παρεσκεύαστο, τῶν ἀπὸ τοῦ
V. 36 Ῥομπέρτου δηλονότι καὶ Ἀλεξίου ἀντιπνευσάντων αὐτῷ. ταῦτα μὲν ἐχέτω ταῦτα. καιρὸς δὲ ἤδη τραπέσθαι πρὸς τὴν
C βασιλείαν τοῦ ἐμοῦ πατρὸς καὶ ὅπως καὶ ἐξ οἵων ἀφορμῶν εἰς τὸ βασιλεύειν ἐλήλυθε, διηγήσασθαι. οὐ γὰρ τὰ πρὸ τῆς βασιλείας αὐτῷ ἐσκεψάμην ἐρεῖν, ἀλλὰ καὶ ὅσα βασιλεύων κατώρθωκεν ἢ ἐξήμαρτεν, εἴτε τέως σφαλέντα τοῦτον εὑρήσομεν ἐν ἅπασι δι' ὧν βαδιούμεθα. οὐ γὰρ ὡς πατρὸς φεισαίμην, εἴ γέ μοι παρασταίη τι τῶν ἐκείνῳ μὴ καλῶς πεπραγμένων· οὐδὲ διὰ τὴν ὑποτρέχουσαν ὑποψίαν, ὅτι πα-

5. τοιαύτην add. F. 10. εὐστοχήσειε CG. 13. τοῦτο G.
16. lege ἐχέτω ταύτῃ. 18. ἐλήλυθεν P. 19. εὑρεῖν CG.
22. περισταίη CG. ἐκείνου CG.

semper cogitaret, tum magis etiam incensus, manibus pedibusque expeditionem urgebat, et milites oratione confirmabat impellebatque. Monomachatus autem, rebus ita paratis, etiam aliud sibi perfugium ita prospexit. nam Bodinum et Michaelam, Dalmatiae exarchos, litteris muneribusque missis, sibi conciliavit, quo plures sibi salutis quasi ianuae paterent. si enim spe et in Roberto et in Alexio posita excideret et ab utroque reiiceretur, in Dalmatiam statim ad Bodinum et Michaelam transfugere placuit. nam illorum ubi animum hostilem cognovisset, reliquam spem cum in Michaela tum in Bodino collocabat; ad quos etiam fugiturus erat, Roberto et Alexio adversantibus. sed haec hactenus. iam enim tempus monet, ut ad patris mei imperium transeamus et quomodo quibusve de causis ad principatum evectus sit, exponamus. nam non solum, quae ante imperium egerit, referre nobis proposuimus, verum etiam, quae imperio potitus bene aut male gesserit, etiamsi in omnibus, quae enarranda nobis sunt, offendisse eum inveniamus. non enim parcam ut

τὴρ ἐστι, περὶ οὗ συγγράφομεν τὰ κατορθώματα, τοῦτο παραδραμούμεθα. ἐν ἑκατέροις γὰρ ἀδικήσομεν τὴν ἀλήθειαν. ἐμοὶ γὰρ τοῦτον ἐχούσῃ σκοπὸν ἄνωθεν, καθάπερ πολλάκις εἴρηται, ὑπόθεσις ὁ πατὴρ καὶ βασιλεὺς ὑποβέβληται. τὸν οὖν Ῥομπέρτον ἐκεῖσε καταλελοιπότες, οὗπερ ὁ λόγος αὐτὸν ἠγάγετο, τὰ κατὰ τὸν βασιλέα σκοπῶμεν ἤδη· τούς τε πολέμους καὶ τὰς μάχας τὰς πρὸς τὸν Ῥομπέρτον ἐν ἑτέρῳ λόγῳ ταμιευσόμεθα.

1. τούτῳ F. 3. ταύτην F. 4. ὁ βασιλεὺς G. 5. ἐκεῖσε FP, ἐκεῖνον CG. 6. τοὺς δὲ? 8. ταμιευσώμεθα G.

patri, si quid cognovero, quod minus bene ab eo gestum sit; nec ut suspicionem evitem, patrem esse, cuius res bene gestas conscribam, id omittam. utraque enim ratione veritatem contaminarem. hoc ego consilio, quemadmodum saepius significavi, res ab imperatore patre meo gestas scribere aggressa sum. Roberti igitur historia illic quo eam perduximus relicta, ad imperatorem Alexium iam animum convertam, bella et proelia adversus Robertum alio libro enarratura.

ΑΛΕΞΙΑΣ Β.

ALEXIADIS LIBER II.

ARGUMENTUM.

Comneni tres, Manuel, Isaacius, Alexius, rerum gestarum gloria insignes. Isaacii et Alexii apud imperatorem Botaniatem gratia. ab invidia Borili et Germani tutatur Maria Augusta, quae Alexium adoptat (1). *Synadenus quidam designatur regni successor, Constantino Mariae filio neglecto. matris inde moerorem Comneni levant foedusque cum ea ineunt* (2). *capta a Turcis Cyzico, Alexius operam suam imperatori pollicetur* (3). *Comnenorum excaecationem Germanus et Borilus moliuntur. quo illi cognito, rebellare statuunt. nocturna secessio* (4). *Anna Dalassena Comnenorum mater in monasterio Petriorum includitur imperatoris iussu* (5). *coniurati Tzurulum conveniunt. Caesar Iohannes Ducas ad Comnenos deficit, cuius hortatu Cpolin tendunt* (6). *deliberatio Schizis habita, uter Comnenorum eligendus imperator. Alexio repugnanti Isaacius ipse purpuram defert* (7). *Melisseni, imperium in Oriente affectantis, legatio artibus Manganis scribae ducitur* (8). *interea Cpolis velitationibus tentata. Botaniatis desperatio de rebus suis. immortales et Barangi fidissimi* (9). *Comnenorum ad Melissenum responsum. Cpolis capitur proditione* (10). *Botaniates Melissenum arcessit. Georgius Palaeologus ne id fiat impedit* (11). *eius pater Nicephorus, Botaniatae ad extr. num fidus, de pace Comnenos frustra adit. patriarcha Botaniatae persuadet, ut imperio cedat* (12).

P. 43 1. Ὅθεν μὲν οὖν ὁ αὐτοκράτωρ Ἀλέξιος ὥρμητο καὶ ἐξ
V. 39 οἵου γένους, τὸν βουλόμενον εἰδέναι εἰς τὰς τοὐμοῦ Καίσα-

ΑΛΕΞΙΑΔΟΣ Β G. 1. μὲν om. CG.

1. Unde et quo genere imperator Alexius ortus fuerit, qui nosse cupit, eum ad Caesaris mei historias remitto; indidem quae

ρος συγγραφὰς παραπέμπομεν· ἀλλὰ δὴ καὶ τὰ περὶ τοῦ βασιλέως Νικηφόρου τοῦ Βοτανειάτου ἐκεῖθεν ἑλκύσεται. Μανουὴλ μὲν οὖν τὸν πρωτότοκον ἀδελφὸν Ἰσαακίου καὶ Ἀλεξίου καὶ τῶν λοιπῶν τῶν ἐξ Ἰωάννου τοῦ Κομνηνοῦ καὶ πρὸς πατρὸς ἐμοῦ πάππου καταγομένων, στρατηγὸν αὐτοκράτορα ἡ Ἀσία εἶχεν ἅπασα, τοῦ προβεβασιλευκότος Ῥωμανοῦ τοῦ Διογένους τοῦτον προχειρισαμένου, αὖθις δὲ καὶ τὸν B Ἰσαάκιον δοῦκα ἡ Ἀντιόχου ἐκληρώσατο, πολλοὺς πολέμους καὶ μάχας ἀγωνισαμένους, πολλὰ δὲ καὶ τρόπαια κατὰ τῶν ἀντικειμένων στήσαντας. καὶ μετ' αὐτοὺς οὑμὸς πατὴρ Ἀλέξιος στρατηγὸς αὐτοκράτωρ προὐβέβλητο κατὰ τοῦ Οὐρσελίου παρὰ τοῦ τότε βασιλεύοντος Μιχαὴλ τοῦ Δούκα ἀποσταλείς. ὡς δὲ καὶ ὁ βασιλεὺς ὁ Νικηφόρος περιδέξιον τοῦτον περὶ τὰ πολεμικὰ ἐθεάσατο, ἀκηκοὼς δὲ καὶ ὅπως περὶ τὴν ἕω συνὼν τἀδελφῷ Ἰσαακίῳ ὑπὲρ τὸν αὐτοῦ χρόνον ἐν διαφόροις ἀγῶσιν ἐμπέπτωκεν ἀριστεὺς ἀναφανεὶς καὶ ὅπως τὸν Οὐρσέλιον κατετροπώσατο, διαφερόντως ἠγάπα καὶ τοῦ C Ἰσαακίου οὐκ ἔλαττον. καὶ ἐνστερνιζόμενος ἄμφω τἀδελφὼ ἱλαρὸν ἐνητένιζεν, ἔστιν οὗ καὶ αὐτῆς τῆς τραπέζης ἀξιῶν. ἀνέφλεγε τοῦτο τὸν κατ' αὐτῶν φθόνον καὶ μᾶλλον τῶν εἰρημένων δύο βαρβάρων Σθλαβογενῶν, τοῦ τε Βορίλου, φημὶ

2. ἐκεῖθεν : ἐκείνου C. 3. οὖν om. C. 4. τῶν prius add. GA. Ἰωάννη A. 5. κατηγμένων A et in margine CPG. 6. πᾶσα εἶχε AG. 8. δοῦκαν G. 9. ἀγωνισάμενον CG, ἀγωνισαμένου A. πολλὰ καὶ P. 10. στήσαντα CG. 15. τῷ ἀδελφῷ A. τοῦ αὐτοῦ χρόνου A. 19. τῆς αὐτῆς τρ. P. 20. αὐτὸν A. 21. Βορίλλα G.

ad Nicephorum Botaniatem imperatorem pertinent, petenda sunt. Manuel igitur, frater Isaacii et Alexii ceterorumque Iohannis Comneni, avi mei paterni, filiorum natu maximus, summa potestate Asiae universae praefuit: quam provinciam qui antea regno potitus erat Romanus Diogenes ei demandaverat; Isaacius autem dux Antiochiae erat. uterque multa proelia et pugnas commisit, multasque de hostibus reportavit victorias. post hos Alexius pater meus imperator summus adversus Urselium a Michaele Duca, qui tunc rebus praeerat, missus est. cuius ubi in rebus bellicis dexteritatem imperator Nicephorus cognovit audivitque, Alexium in Oriente sub Isaacii fratris auspiciis supra aetatem in variis certaminibus fortem se praebuisse, eiusdemque consilio Urselium oppressum esse, in praecipua eum nec minore quam Isaacium gratia habuit. cumque fratrem utrumque in sinu gestaret, benigno vultu eos adspiciebat, interdum ipsi mensae adhibebat. excitabat ea res cum aliorum in eos invidiam, tum maxime barbarorum, quos supra commemoravimus, Slavonici generis, Borilum

καὶ τοῦ Γερμανοῦ. ὁρῶντες γὰρ τὴν τοῦ βασιλέως ἐς αὐτοὺς εὐμένειαν καὶ ὅτι καθ' ὥραν ταῖς τοῦ φθόνου τοξείαις βαλλόμενοι ἄτρωτοι διαμένουσιν, ἐξετήκοντο. τὸν γὰρ Ἀλέξιον, κἂν οὔπω τὸν ἴουλον ἐπανθοῦντα εἶχεν, ἐν πᾶσιν εὐδοκιμοῦντα ὁρῶν ὁ βασιλεύς, στρατηγὸν αὐτοκράτορα τῆς ἑσπέ-
D ρας ἀναδείκνυσι, τῷ τῶν προέδρων τετιμηκὼς ἀξιώματι. ὅσα μὲν οὖν καὶ κατὰ τὴν ἑσπέραν οὗτος ἀνέστησε τρόπαια, καὶ ὁπόσους ἀποστάτας καταγωνισάμενος ζωγρίας ἦγε τῷ βασιλεῖ, ἀρκούντως προλέλεκται. ἀλλὰ ταῦτα τοῖς φθονοῦσιν οὐκ ἤρεσκεν, ἐξέκαε δὲ μᾶλλον αὐτῶν ἀναφλέγοντα τὸν φθόνον. οἳ καὶ πολλὰ μὲν ὑπετονθόρυζον βυσσοδομοῦντες κατ' αὐτῶν, πολλὰ δὲ καὶ κρύφια λέγοντες τῷ βασιλεῖ, τινὰ δὲ καὶ εἰς
P. 44 τοὔμφανές, ἄλλα δὲ καὶ δι' ἑτέρων, μεθοδείαις τισὶ χρώμενοι, ἐκποδὼν τούτους γενέσθαι παντοίως ἐσπούδαζον. ἀπορίᾳ γοῦν συνεχόμενοι οἱ Κομνηνοί, δέον ἐλογίσαντο τοὺς περὶ τὴν γυναικωνῖτιν ὑποποιήσασθαι καὶ δι' αὐτῶν τὴν τῆς βασιλίδος ἐπὶ πλέον εὐμένειαν ἐπισπάσασθαι. ἐπαγωγοὶ γὰρ οἱ ἄνδρες καὶ λιθίνην καταμαλάξαι ψυχὴν δυνάμενοι καὶ παντοίοις ἐπιχειρήμασι. τοῦτο ἤδη κατώρθου ὁ Ἰσαάκιος,
V. 40 πάλαι πρὸς αὐτῆς ἐπὶ τῇ ἰδίᾳ ἐξαδέλφῃ εἰς κῆδος προσληφθείς, ὁ γενναιότατος ὢν ἐν λόγοις καὶ πράξεσι καὶ τὰ πλεῖστα τοὐμῷ πατρὶ ἐμφερής. ἀλλ' ἐπεὶ τὰ περὶ αὐτὸν καλῶς

7. καὶ prius om. G. 8. ζωγρίαν A. 9. φθονοῦσιν : δούλοις A. 11. αὐτοῦ C, αὐτὸν A. 13. καὶ om. AF. 17. εὐμένειαν ἐπὶ πλέον G. 20. αὐτὸν CG. ἀδελφῇ A. 22. τῷμῷ? περὶ : πρὸς A.

dico et Germanum. qui cum Comnenos imperatoris gratia florere et, licet quavis occasione telis obtrectationis petitos, incolumes permanere animadverterent, contabescebant. quoniam enim Alexium, imberbem adhuc iuvenem, imperator feliciter omnia gerentem vidit, Occidentis exercitibus summo imperio eum praefecit, dignitate praesidis iam ornatum. qui quam multa in Occidente constituerit tropaea, quot tyrannos debellarit captosque ad imperatorem duxerit, abunde narravimus. ea res nequaquam inimicis placebat, sed ardescentem eorum invidiam magis etiam inflammabat. itaque clandestinis eos oppugnabant consiliis, multa imperatori secreto deferebant, quaedam palam, alia etiam per alios, artibusque variis usi, ad perniciem eorum incumbebant. in tali periculo Comneni eos, qui gynaecei curam habebant, conciliandos sibi duxerunt, quo se magis in gratiam Augustae insinuarent. persuadendo enim isti valent et vel saxeum animum flectere possunt idque variis modis. Isaacio eo melius res cessit, quod Augusta ei dudum ipsam ex sorore neptem in matrimonium dederat,

προκεχώρηκε, πολλὰ φροντίζων ἦν περὶ τἀδελφοῦ, καὶ ὅσον ἐκεῖνος τούτῳ εἰς τὴν τοῦ κήδους τότε συνήρετο ὑπόθεσιν, τοσοῦτον οὗτος ἐσπουδάκει μηδ' αὐτὸν τῆς βασιλίδος πορρωτέρω καθεστάναι. Ὀρέστην μὲν οὖν καὶ Πυλάδην φίλους ὄντας τοσοῦτον τὸν πρὸς ἀλλήλους πόθον ἔχειν φασίν, ὡς ἐν καιρῷ μάχης ἀμελεῖν μὲν ἑκάτερον τῶν καθ' ἑαυτοῦ πολεμίων, ἀμύνειν δὲ τοὺς ἐπιφερομένους θατέρῳ, καὶ προαρπάζειν ἅτερον τὰς πρὸς θάτερον ἐρχομένας τῶν ὀϊστῶν βολάς, τὰ στέρνα ὑπέχοντας. τοιοῦτον καὶ ἐπὶ τούτοις ἦν συνορᾷν. ἄμφω γὰρ τἀδελφὼ καὶ τοὺς κινδύνους προαρπάζειν ἐβούλοντο, καὶ τὰς ἀριστείας καὶ τὰς τιμὰς καὶ ἁπλῶς τἀγαθὸν θατέρου ἴδιον ἅτερος ἐλογίζετο, καὶ αὖ τοὐναντίον. τοσοῦτον τὸν πόθον πρὸς ἀλλήλους εἶχον. τὰ μὲν οὖν κατὰ τὸν Ἰσαάκιον οὕτως ἐκ θείας ᾠκονόμητο προνοίας· οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ οἱ περὶ τὴν γυναικωνῖτιν ταῖς τοῦ Ἰσαακίου ὑποθημοσύναις παραπείθουσι τὴν βασιλίδα υἱοθετήσασθαι τὸν Ἀλέξιον. πείθεται τούτοις, κἀπειδὴ περὶ τὰ βασίλεια κατά τινα κυρίαν ἡμέραν καὶ ἄμφω γεγόνατον, ἡ βασιλὶς υἱοθετεῖ τὸν Ἀλέξιον κατὰ τὸν παρακολουθήσαντα περὶ τῶν τοιούτων πάλαι τύπον. ἀνέσφηλε γοῦν τοῦ λοιποῦ τῆς πολλῆς φροντίδος ὁ μέγας τῶν ἑσπερίων στρατευμάτων δομέστικος. κἄκτοτε θαμὰ τοῖς βασιλείοις ἄμφω φοιτῶντες καὶ τὴν τοῖς

1. τ' ἀδελφοῦ AF, τοῦ ἀδελφοῦ PG. 8. πρὸς τὰς εἰς θάτερον CG. 9. ὑπέχοντα A. 10. ἀδελφὼ A. ἠβούλοντο A. 11. τε καὶ τιμὰς A. 12. θατέρους P. 16. πείθονται A.

quippe qui pacis bellique artibus unus omnium maxime floreret et pleraque patri meo similis esset. hanc igitur conditionis felicitatem nactus, ut frater se olim in impetrandis nuptiis adiuverat, ita ipse omni ope annitebatur, ne ille minore apud imperatricem in gratia esset. Orestem ferunt et Pyladem amicos tanto in se amore fuisse, ut in proelio alter alterum, suo quisque periculo neglecto, ab hostium impetu defenderet ac tela, quae alterum peterent, alter exciperet, suo oblato pectore. tale quid etiam in his cernere licuit. nam uterque frater cum pericula alterius praeripere paratus esset, tum praemia et honores et bona denique omnia alterius alter habebat sua, et vice versa: tanto in se invicem flagrabant amore. atque Isaacii quidem rebus divina providentia ita constitutis, brevi post gynaecei administri, Isaacio auctore, imperatrici suasere, ut Alexium adoptaret. quibus illa obtemperans, die constituto, cum ambo in palatio adessent, Alexium adoptat more solenni. idque in posterum maxima certe sollicitudine magnum occidentalium exercituum domesticum liberavit. frequenter exinde ad domum regiam uterque ventitabat et salutato-

βασιλεῦσι προσήκουσαν ἀποπληροῦντες προσκύνησιν καὶ μικρὸν ἐγκαρτεροῦντες, τῇ βασιλίδι προσήρχοντο. ταῦτα ἐπὶ πλέον τὸν κατ' αὐτῶν φθόνον ἐξέκαε. τοῦτο δὲ διὰ πολλῶν οἱ Κομνηνοὶ βεβαιούμενοι, δείσαντες, ἵνα μὴ ἀμφότεροι ταῖς πάγαις αὐτῶν ἁλόντες οὐδένα τὸν ἐπαρήγοντα ἔχωσι, τρόπον ἐζήτουν, δι' οὗ τὸ ἀσφαλὲς θεοῦ συλλαμβανομένου ἑαυτοῖς περιποιήσαιντο. πολλοὺς οὖν λογισμοὺς σύναμα τῇ μητρὶ
P. 45 ἀνελίξαντες καὶ πολλὰ πολλάκις διασκεψάμενοι, μίαν εὗρον κατὰ ἄνθρωπον σωτηρίας ἐλπίδα. ἣ δὲ ἦν τῇ βασιλίδι προσελθεῖν, ὁπηνίκα αἰτίαν τινὰ εὐπρόσωπον πρὸς τοῦτο σχοῖεν, καὶ τὸ ἀπόρρητον ἐξειπεῖν. εἶχον δὲ ὅμως ὑποβρύχιον τὴν βουλὴν καὶ οὐδενὶ τὸ παράπαν τὸ σκοπούμενον ἐξεκάλυπτον. προσεῖχον δὲ καθάπερ οἱ θαλάττιοι, μὴ τὸ θήραμα προσοβήσωσιν. ἀποδρᾶναι μὲν γὰρ ἐμελέτων, ἐπεφόβηντο δὲ ἄρα τοῦτο πρὸς τὴν βασιλίδα εἰπεῖν, μή πως ἐκείνη φθάσῃ τὰ κατ' αὐτοὺς παραδηλῶσαι τῷ βασιλεῖ, καὶ ἀμφοτέρων κηδο-
B μένη καὶ τοῦ βασιλέως καὶ τῶν ἀνδρῶν. τούτου τοίνυν κατεγνωκότες τοῦ σκέμματος, ἄλλοσε τρέπουσι τὴν βουλήν. δεινοὶ γὰρ τοῖς παραπεπτωκόσι καιροῖς ἀποχρήσασθαι.

2. Ἐπεὶ γὰρ ὁ βασιλεὺς τεκνογονεῖν διὰ τὸ γῆρας οὐκ ἐπεφύκει, δεδιὼς δὲ καὶ τὸ ἄφυκτον τῆς τοῦ θανάτου τομῆς, περὶ τοῦ διαδεξομένου διεσκοπεῖτο. ἦν δὲ τηνικαῦτα Συναδηνός τις

1. ἀναπληροῦντες G. 3. κατ' om. G. 4. ἵνα om. A. 5. οὐδὲ τὸν PA. 14. μὲν om. GA. 15. τῷ βασ. παραδηλ. τὰ κατ' αὐτοὺς P. 16. δηλῶσαι A. 19. περιπεπτωκόσι A. 21. τε καὶ G. 22. διαδεξομένου C, διαδεξαμένου PGA.

ut decet, imperatore, mox Augustam adibant. ea res inimicorum invidiam auxit. quod cum a multis Comneni rescivissent, veriti, ne si ambo circumventi essent insidiis, auxilio prorsus carerent, consultabant, quomodo incolumitatem deo iuvante servarent. postquam, multis deliberationibus cum matre habitis, varia dispexere, haec una humane aestimantibus salutis via visa est, ut imperatricem occasione oblata adirent et quid consilii ceperint, indicarent. tamen rem pectore reconditam servabant neque ulli omnino credebant, sed ut piscatores cavebant, ne praedam antea perterrefacerent. etenim fugae capessendae consilium ceperant; quod tamen cum Augusta communicare verebantur, ne imperatori renuntiaret, utpote de utrisque et viro et Comnenis sollicita. itaque hoc consilio omisso, alio se vertunt. nam ita comparati erant, ut temporum opportunitate optime uti possent.

2. Imperator procreando exacta aetate impar, cum mortem nemini non certam reformidaret, successorem imperii quaesivit. erat autem Synadenus quidam ex Oriente profectus, illustri genere, forma

ἐξ ἀνατολῶν ὁρμώμενος, ἐκ γένους λαμπροῦ, τὸ εἶδος ὡραῖος, τὴν φρένα βαθύς, ῥωμαλέος τὴν χεῖρα, τὴν ἡλικίαν εἰς μειράκιον παραγγέλλων καὶ ἄλλως δὲ προσήκων αὐτῷ κατὰ γένος· τῶν ἄλλων μᾶλλον ἐσκέπτετο διάδοχον αὐτὸν τῆς βα- C σιλείας καταλιπεῖν, καθάπερ τινὰ πάτριον κλῆρον τὸ κράτος αὐτῷ διδούς, κακῶς βουλευόμενος. ἐξὸν γὰρ αὐτῷ τὸ ἀσφα- V.41 λὲς μέχρι τέλους περιποιήσασθαι, ἅμα δὲ καὶ δίκαιόν τι σκοπεῖν τὴν αὐτοκράτορος ἐξουσίαν τῷ τῆς βασιλίδος υἱῷ Κωνσταντίνῳ καταλιπεῖν καὶ ὡς οἷόν τινα κλῆρον πρὸς πάππου καὶ πατρὸς αὐτῷ διαφέρουσαν, καὶ τὴν βασιλίδα μᾶλλον διὰ τοῦτο ἐπ' αὐτῷ θαρρεῖν καὶ τὸ εὔνουν ἐπαύξειν, λέληθεν ἑαυτὸν ὁ γηραλέος ἄδικά τε καὶ ἀξύμφορα διασκοπούμενος καὶ κατὰ τῆς ἑαυτοῦ κεφαλῆς τεκταίνων κακά. τούτων ὑποψιθυριζομένων ᾔσθετο ἡ βασιλὶς καὶ περίλυπος ἦν, τὸν D τοῦ παιδὸς κίνδυνον ὑφορωμένη. καὶ ἦν ἀθυμοῦσα μέν, οὐδενὶ δὲ τὴν λύπην ἐξορχουμένη. τοῦτο τοὺς Κομνηνοὺς οὐ διέλαθεν. εὐκαιρίαν οὖν, ἣν ἐζήτουν, εὑρηκότες, τῇ βασιλίδι προσελθεῖν ἐβουλεύσαντο. τῆς δὲ πρὸς αὐτὴν ὁμιλίας τὴν καταρχὴν ἡ μήτηρ τῷ Ἰσαακίῳ ἐπέτρεψε, συμπαρόντος αὐτῷ τἀδελφοῦ Ἀλεξίου. τῶν δὲ προσελθόντων τῇ βασιλίδι, ὁ Ἰσαάκιός φησι πρὸς αὐτήν "οὐχ ὡς χθὲς καὶ πρότριτα ὁρῶμέν σε, δέσποινα, ἔχουσαν, ἀλλ' ὡς ὑπὸ λογισμῶν ἀνεκ-

2. ἐς A. 4. μᾶλλον τοῦτον ἐσκ. διαδ. αὐτοῦ A. 11. ἐπ' αὐτῷ] δι' αὐτὸ τοῦτο A. ἐπάξειν C. 13. κατὰ om. P. 17. οὖν ἀνακαλύπτουσα ἐζήτουν καὶ εὑρηκότες G, οὖν ἐζήτουν καὶ εὑρηκότες A, ἀνακαλύπτουσαν P in margine. 22. ὦ δέσποινα A.

eximia, alto animo, manu fortis, aetate adolescentulus. huic, etiam necessitudine sibi iuncto, prae ceteris imperii tanquam paternam hereditatem tradere in animo erat, quanquam imprudenti consilio. cum enim incolumitate usque ad supremum diem frui licuisset et, sicut aequum erat, regnum Constantino imperatricis filio relinquere, ad quem patris avique quasi hereditate pertinebat: quo facto, ipsa quoque Augusta maiorem et fiduciam et benevolentiam erga maritum habuisset: senex, iniquo illo ac parum utili consilio inito, suo ipse capiti perniciem imprudens struxit. id ubi rumore imperatrix accepit, maximo dolore afflicta est, de filii salute timens. ceterum quamvis animo esset sollicito, nemini doloris causam detexit. nequaquam tamen Comnenos res fugit, qui opportunitatem quam expetiverant nacti, adire imperatricem statuunt. Isaacius sermonem, praesente Alexio, ordiri a matre iussus, cum Augustam convenissent, "quid est, inquit, domina, quod te non ut heri ac nudius tertius hilarem cernamus, sed tacitis curis anxiam, quasi neminem habeas satis fidum, quocum com-

φόρων δακνομένην καὶ σκεπτομένην, ὡς μὴ θαρρεῖν ἔχου- P.46 σαν, πρὸς ὃν ἂν ἐκκαλύψειας τὸ ἀπόρρητον." ἡ δὲ τέως μὲν ἐμφαίνειν οὐκ ἤθελε, βύθιον δέ τι στενάξασα "οὐ χρὴ" φησι "τοὺς ἀλλοτρίαν οἰκοῦντας ἐπερωτᾶν· αὐτὸ γὰρ τοῦτο εἰς λύπην αὐτοῖς ἀξιόχρεων. ἐμὲ δέ, φεῦ, οἷα ἐξ οἵων διεδέξατο καὶ ὁποῖά μοι, ὡς ἔοικε, μετ' οὐ πολὺ ταμιεύεται!" οἱ δὲ ἀποστάντες πλείω μὲν ῥήματα οὐ προσέθεντο· ἐς γῆν δὲ τοὺς ὀφθαλμοὺς ἐπερείσαντες καὶ περιστείλαντες ἄμφω τὼ χεῖρε, σύννους πρὸς μικρὸν εἱστήκεσαν, εἶτα τὴν συνήθη προσκύνησιν ποιησάμενοι, οἴκαδε ἀπῄεσαν ἀγωνιῶντες. τῇ δ' ὑστεραίᾳ πάλιν προσερησόμενοι ἥκουσιν. ἱλαρώτερον δὲ ἢ B πρώην ἀτενίζουσαν τούτοις ὁρῶντες, προσίασιν ἄμφω καί φασιν "σὺ μὲν δεσπότις, ἡμεῖς δὲ δοῦλοι εὐνούστατοι, πᾶν ὁτιοῦν ἑτοίμως ἔχοντες ὑπὲρ τῆς σῆς βασιλείας παθεῖν. καὶ μή σε λογισμός τις διαταραττέτω, εἰς διψυχίαν ὅλως εἰσάγων." ἐκ τούτων οὖν τῶν λόγων τὰ πιστὰ δεδωκότες τῇ βασιλίδι καὶ ἀπαλλάξαντες ἑαυτοὺς ὑποψίας ἁπάσης, τὸ ἀπόρρητον ἤδη συνίεσαν. ὀξεῖς δὲ ὄντες καὶ ἀγχίνοι καὶ δεινοὶ θηρᾶσαι ἀνθρώπων ἐξ ὀλίγων ῥημάτων βαθέως ἐγκειμένην γνώμην καὶ τέως ἀπόρρητον, καὶ αὐτίκα μάλα προσετίθεντό τε τῇ βασι- C λίδι καὶ ἐκ πολλῶν εὔνους αὐτοὺς φανερῶς κατεστήσαντο καὶ πᾶν εἰς ὅπερ ἂν αὐτοὺς προσκαλοῖτο, ἐκθύμως ἐπαμύνειν

2. ἂν ἐκκαλύψειας C, ἀνακαλύψειας P, ἀνακαλύψαι G. 3. ἐκφαίνειν A. 9. σύνους PG, recte CA. 10. δὲ G. 13. εὐγνώμονες A et in margine GP. 18. lege συνίεσαν, ὀξεῖς τε ὄντες, puncto post ἀπόρρητον posito. 20. τε τῇ A, τότε δὴ P, τότε τῇ G. 21. κατεστήσαντο G, καταστήσαντες PA.

municare rem possis?" illa tunc se aperire noluit, sed suspirans "non decet, inquit, qui peregre degunt, qua re angantur, rogare; nam hoc ipsum ad aegritudinem satis causae est. me vero, eheu, ut aliud ex alio afflixit; quam vereor, ne graviora mox inferantur mala." ad haec illi nihil amplius locuti; sed deiectis in terram oculis complicatisque manibus, postquam solliciti aliquamdiu adstitere, consueta salutatione perfuncti, domum abeunt. postridie iterum allocuturi veniunt; cumque hilariorem eius vultum cernerent, propius uterque accedit et "tu quidem domina, inquit, nostra es, nos servi fidissimi, quidvis pro maiestate tua parati perpeti. ne cura te ulla conturbet neve suspenso sis animo." his dictis, cum imperatrici fidem dedissent, omni suspicione amota, percipiunt iam, quod occultum habebat. quippe acuti erant et sagaces atque ex paucis verbis hominum sententiam mente reconditam necdum prolatam assequi poterant. ac statim imperatricis causam amplexi, prolixe de voluntate aperteque confirmant et quodcunque iuberet periculum libenter se propulsaturos promittunt, gavisuros se cum gaudente,

κατεπηγγείλαντο. συγχαίρειν τε χαιρούσῃ καὶ λυπουμένῃ συναγωνιᾶσθαι, τοῦτο δὴ τὸ ἀποστολικόν, μάλα προθύμως συνέθεντο. καὶ ὡς αὐθιγενεῖς ἠξίουν τούτους λογίζεσθαι καὶ συνήθεις κἀκεῖθεν ὁρμωμένους ὅθεν καὶ αὐτή, τοσοῦτον ἐπειπόντες, ὡς εἴ τι παρὰ τῶν φθονούντων αὐτῇ τε τῇ δεσποίνῃ καὶ τῷ αὐτοκράτορι κατ' αὐτῶν εἰσηγηθείη, τοῦτο αὐτοὺς μὴ διαλανθάνοι τὸ παραυτίκα, ἵνα μὴ λάθωσι ταῖς πάγαις τῶν ἐχθρῶν ἐμπεσούμενοι. τοῦτό τε ἠξίουν καὶ θαρρεῖν ἐκέλευον, ὡς σὺν θεῷ γε φάναι τὴν δυνατὴν μετὰ προθυμίας D
εἰσενεγκεῖν βοήθειαν, ὡς ἑαυτῶν γε ἕνεκα μὴ ἐκπεπτωκέναι V. 42
τῆς βασιλείας τὸν ταύτης υἱὸν Κωνσταντῖνον. καὶ δὴ καὶ δι' ὅρκων ἐμπεδοῦν ἤθελον τὰ συνδόξαντα· οὐδὲ γὰρ ἐνῆν διατρίβειν διὰ τοὺς ἐποφθαλμιῶντας. τῆς τε πολλῆς ἀνεκουφίσθησαν λύπης οἱ ἄνδρες καὶ ἐξανέφερον. καὶ τὸ ἀπὸ τοῦδε μεθ' ἱλαρωτέρου προσώπου τῷ βασιλεῖ διελέγοντο, ὁποδαποὶ ἐκεῖνοι καὶ μᾶλλον ἅτερος τούτων Ἀλέξιος συσκιάσαι ἀπόρρητον ἔννοιαν καὶ βυσσοδομευομένην ἐπιβουλὴν τοῖς φαινομέ- P. 47
νοις προσχήμασιν. ἐπεὶ δὲ ὁ φθόνος μᾶλλον εἰς πυρσὸν ἀνήπτετο μέγιστον, καὶ οὐδὲν τοῦ λοιποῦ τῶν πρὸς τὸν βασιλέα κατ' αὐτῶν λεγομένων αὐτοὺς διελάνθανε κατὰ τὰ πρώην συνδόξαντα, ἐγίνωσκον δὲ καὶ τοὺς δύο παραδυναστεύοντας δούλους βουλευομένους ἐκποδὼν τούτους ποιήσασθαι, οὐκέτι

1. κατεπηγγεῖλατο C. χαιρούσῃ A, συγχαιρούσῃ PG. 3. τούτοις G. 6. εἰσηγήσαιτο P, alterum G. 8. ἐκέλευεν (ε) G. 15. ὁποδαπὲς οἱ ἐκεῖνοι P, ὁποδαποὶ C, ὁποδαπος ἐκεῖνος G, ..ποδαποὶ ἐκεῖνοι A. 17. βυσσοδομεύειν A. 18. μᾶλλον om. A. 21. ἐγίνωσκε GC. 22. βουλομένους A.

cum flente fleturos, iuxta illud apostoli; quare se pro popularibus amicisque, eadem civitate ortis, haberet. id unum rogant, si quid inimici vel apud ipsam vel apud imperatorem adversus se proferrent, extemplo renuntiaret, ne insidiis eorum opprimerentur. ceterum bono animo sit, hortantur. deo iuvante se, quantum possent, alacriter auxilium laturos neque unquam passuros esse, ut Constantinus regno privaretur. atque etiam iureiurando, quae convenerant, firmare statuunt; diutius enim commorari apud eam non licuit, ne invidorum suspicionem moverent. ita aegritudine maximam partem liberati, hilariore iam fronte cum imperatore colloquebantur. erat enim uterque, maxime Alexius, peritus dissimulandi et quae animo volveret, speciose tegendi. at invidia in summum aestum exardescebat, neque quicquam in posterum eorum, quae barbari ad imperatorem deferrent, Comnenos ex pacto latebat. iam cum servos duo, qui in regni societatem irrepserant, se de medio tollendi consilium cepisse compe-

κατὰ τὸ σύνηθες ὁμοῦ τοῖς βασιλείοις ἐφοίτων, ἀλλ' ἑτερήμερος ἦν ἑκάτερος. τὸ δὲ σκέμμα σοφόν τε καὶ Παλαμήδειον, ἵν' εἰ γένοιτο τὸν ἕτερον τούτων κατασχεθῆναι διὰ τὰς λαθραίας ἐπιβουλὰς τῶν παραδυναστευόντων ἐκείνων Σκυ-
B θῶν, ἅτερος ἀποδράσειε, καὶ μὴ ἅμα καὶ ἄμφω ταῖς πάγαις τῶν βαρβάρων ἐμπεσοῦνται. ἀλλὰ τὸ μὲν σκέμμα τοιοῦτον ἦν. οὐ μὴν κατὰ τὴν ὑποψίαν ἐκείνων ἀπηντήκει τούτοις τὰ πράγματα. ἔφθασαν γὰρ κρείττους γενέσθαι τῶν ἐπιβουλευόντων ἀνδρῶν, ὡς ἔνθεν ὁ λόγος ἀφορμηθεὶς διὰ πάσης σαφηνείας δηλώσειε.

3. Τῆς πόλεως τοίνυν Κυζίκου κατασχεθείσης παρὰ τῶν Τούρκων, πυθόμενος τὴν τῆς πόλεως ἅλωσιν ὁ αὐτοκράτωρ, τὸν Κομνηνὸν αὐτίκα μετεκαλεῖτο Ἀλέξιον. ἔτυχε γὰρ κατὰ τὴν ἡμέραν ἐκείνην ὁ Ἰσαάκιος ἐληλυθώς. ὡς δὲ εἰσερχόμενον τοῦτον παρὰ τὴν συνθήκην ὁ ἀδελφὸς Ἰσαάκιος ἐθεάσατο, προσελθὼν ἠρώτα ὅτου χάριν παρεγένετο. ὁ δ' εὐθὺς τὴν αἰτίαν εἰρήκει, "ὅτι μέ" φησιν "ὁ αὐτοκράτωρ προσεκα-
C λέσατο." εἰσελθόντων οὖν ἀμφοῖν καὶ τὴν συνήθη προσκύνησιν ποιησαμένων, ἐπεὶ ἀρίστου καιρὸς ἤδη παρῆν, προσμεῖναι μικρὸν παρακελευσάμενος, προστάττει κοινῆς αὐτῷ τραπέζης μετειληχέναι. καὶ δὴ διαιρεθέντες ὁ μὲν περὶ τὸ δεξιὸν καθῆστο τῆς τραπέζης, ὁ δὲ περὶ τὸ εὐώνυμον, ἀντικρὺ ἀλλήλων. μετ' ὀλίγον δὲ τοῖς περιεστῶσιν ἐνατενίσαντες, μετὰ

1. τὸ om. A. 2. ἦν : an ᾔει? 3. ἵνα P. 9. ἀφορμισθεὶς A. 16. ὁ δὲ P. 17. παρεκαλέσατο G. 18. ἄμφω A. 20. κοινῆς αὐτῷ : τούτους κοινῆς A. 21. δεξιὸν μέρος τῆς τραπέζης P, δεξ. καθῆστο τραπέζης G, recte CA.

rissent, non ut antea consueverant, ambo simul, sed singuli alternis diebus aulam frequentabant. cuius sollertis et Palamedei consilii haec ratio erat, ut si alter Scytharum istorum dominantium insidiis interciperetur, alter fugeret neque uterque una in barbarorum laqueos incideret. sed longe aliter ac suspicabantur, res cecidit. nam prius superiores contra insidiatores evasere, quod iam accuratissime exponam.

3. Occupatae a Turcis Cyzici urbis nuntium cum imperator accepisset, Alexium Comnenum statim arcessivit. forte enim dies erat, quo in palatio aderat Isaacius; qui ut intrantem praeter pactum Alexium conspexit, propius accedens interrogavit, quam ob rem venisset. hic causam statim indicans, "imperator, inquit, me arcessivit." dein ingressos et solenni salutatione functos, quoniam prandii hora erat, morari paullisper et secum accumbere imperator iubet. ac seiuncti, alter dextra, alter sinistra, ex adverso accumbunt. paulo

σκυθρωπότητος ψιθυρίζοντας ἑώρων. δείσαντες οὖν μή τι κατ' αὐτῶν ὀξὺ μελετῶσιν οἱ δοῦλοι καὶ ὑπόγυιος αὐτοῖς ὁ κίνδυνος εἴη, λαθριδίοις βλέμμασιν ἀλλήλοις ἐνητένιζον, μὴ ἔχοντες ὅ τι καὶ δράσαιεν. ἐπεὶ δὲ πρὸ πολλοῦ τοὺς περὶ τὸν βασιλέα ἅπαντας μειλιχίοις λόγοις, προπομπαῖς τε καὶ D παντοίαις δεξιώσεσιν ἐσφετερίζοντο, καὶ αὐτὸν τὸν ὀψοποιὸν δεξιωσάμενοι ἱλαρὸν αὐτοῖς προσβλέπειν ἀνέπεισαν, τούτῳ προσελθών τις τῶν θεραπόντων Ἰσαακίου τοῦ Κομνηνοῦ φησίν "ἀπάγγειλον τῷ κυρίῳ μου τὴν τῆς Κυζίκου ἅλωσιν. γράμμα γὰρ ἐκεῖθεν ἥκει τοῦτο μηνύον." ὁ δ' εὐθὺς ἅμα τε ὄψα τῇ τραπέζῃ παρετίθει καὶ ἅπερ παρὰ τοῦ ὑπηρέτου ἀνεδιδάχθη, ἀνεδίδασκε τὸν Ἰσαάκιον ἠρεμαίᾳ φωνῇ. ὁ δὲ μικρὸν ὑποκινήσας τὰ χείλη ἐσήμανε τἀδελφῷ τὸ λεχθέν. ὀξὺς δὲ ὢν περὶ τὸ νοεῖν καὶ πυρὸς θερμότερος ὁ Ἀλέξιος, αὐτίκα ἥρπασε τὸ λεγόμενον. ἀνέπνευσαν οὖν καὶ ἄμφω τῆς κατασχούσης αὐτοὺς ἐννοίας. καὶ γεγονότες ἑαυτῶν ἐσκοποῦντο, P. 48 ἵν' εἴ πού τις αὐτοὺς ἔροιτο περὶ τούτου, ἑτοίμως ἀποκριθήσωνται, εἰ δὲ καὶ ὁ βασιλεὺς αὐτοὺς εἰς βουλὴν ἀγάγοι, προσηκόντως αὐτῷ βουλεύσοιντο. τοιαῦτα τούτων λογιζομένων, ὁ βασιλεὺς ἀπιδὼν πρὸς τοὺς ἄνδρας, ὡς δὴ ἀγνοοῦν- V. 43 τας αὐτοὺς τὰ κατὰ τὴν Κύζικον, τὴν ἅλωσιν αὐτῆς ἔλεγεν. οἱ δὲ (καὶ γὰρ ἦσαν ἕτοιμοι ψυχὴν θεραπεῦσαι κυμαι-

5. μειλιχίους λόγους G. 6. ἀξιώσεσιν et mox ἀξιωσάμενοι G. 9. ἅλωσιν: κατάσχεσιν A. 12. τῇ φωνῇ G. 15. προήρπασε P. ἀνένευσαν CGA. καὶ om. G. 18. αὐτοὺς om. G. 21. αὐτοῖς ἔλεγεν A. 22. ἕτυμοι G.

post ubi qui circumstabant moesto vultu invicem sibi insusurrantes conspexerunt, veriti, ne quid servi in se molirentur et periculum iam instaret, furtim nonnunquam se adspiciebant, incerti quid agerent. iam pridem autem omnes imperatoris administros blando alloquio, prosequendi honore et omni officiorum genere sibi conciliaverant, quin ipsum dapiferum his artibus, ut hilari vultu se intueretur, adduxerant. ad quem famulus Isaacii Comneni accedens, "nuntia, inquit, domino meo captam Cyzicum; id enim litterae inde allatae indicant." ille autem dum cibos mensae imponit, summissa voce Isaacio, quae a famulo acceperat, refert, isque exiguo motu labiorum fratri idem significat. hic ut erat promptus ad intelligendum et igne velocior, percipit statim, quae frater innuit. ita postquam a metu respirarunt, sui ipsorum compotes facti, rem secum reputabant, ut interrogati a quopiam, prompte respondere, aut si forte ipse imperator in consilium se adhiberet, bene consulere possent. quae dum cogitant, imperator Comnenos intuens, Cyzici cladem, ipsis, ut putabat, igno-

νομένην βασιλέως ἐπὶ πορθήσεσι πόλεων) ἀνήγειράν τε τὸ πεπτωκὸς τοῦ αὐτοκράτορος φρόνημα καὶ πρὸς ἐλπίδας ἀγα- B θὰς ἀνεθέρμηναν, ῥᾳδίως τὴν πόλιν ἐπανασωθῆναι κατεγγυώμενοι. "μόνον" φησὶ "τὸ σὸν κράτος ἐχέτω καλῶς· οἱ δέ γε πολιορκηταὶ τῆς πόλεως ἑπταπλάσιον εἰς τὸν κόλπον αὐτῶν ἀπολήψονται ὧν εἰργάσαντο." τότε μὲν οὖν ἠγάσατο τούτους ὁ βασιλεύς, καὶ τῆς εὐωχίας ἀπολύσας τὸ ἑξῆς τῆς ἡμέρας ἀπεριμερίμνως ἔσχε. τὸ ἀπὸ τοῦδε τοίνυν ἐπιμελὲς ἔσχον οἱ Κομνηνοὶ τοῖς βασιλείοις προσιέναι καὶ τοὺς περὶ τὸν βασιλέα ἔτι μᾶλλον ἐναγκαλίζεσθαι, καὶ αὐτοὺς μὲν μὴ διδόναι λαβὴν τὸ παράπαν τοῖς κατ' αὐτῶν μελετῶσι, μηδ' ἡντιναοῦν πρόφασιν ἀπεχθείας αὐτοῖς ὑπανοίγειν· πάντας C δὲ ἀναπείθειν στέργειν αὐτοὺς καὶ τὰ ὑπὲρ αὐτῶν φρονεῖν τε καὶ λέγειν. προσεμηχανῶντο δὲ πλέον ὑποποιεῖσθαι καὶ τὴν βασιλίδα Μαρίαν καὶ ὅλους αὐτοὺς ἐκείνην καὶ βλέπειν καὶ ἀναπνεῖν. ὁ μὲν γὰρ Ἰσαάκιος καὶ τὸ κῆδος τὸ ἐπὶ τῇ ἐξαδέλφῃ αὐτῆς προβαλλόμενος, τὴν παρρησίαν ξυνέτεινεν· ὁ δὲ ἐμὸς πατὴρ οὐχ ἧττον μὲν καὶ διὰ τὴν ἐξ ἀγχιστείας συγγένειαν, πλέον δὲ τὴν υἱοθεσίαν λαμπρὰν ὑπόθεσιν τῶν πρὸς τὴν βασιλίδα εἰσόδων ποιούμενος, παντάπασιν ἀνέμφαντος ἦν καὶ τὸν φθόνον τῶν πονηρευομένων αὐτῷ συνεσκίαζεν. οὐδὲ γὰρ ἐλάνθανεν αὐτὸν τὸ βαρύμηνι τῶν βαρβάρων ἐκεί- D νων δούλων καὶ τὸ τοῦ βασιλέως κουφότατον. καὶ εἰκότως

1. ἐνήγειραν CG. 3. ἐνεθέρμηναν G. 4. φασὶ coni. Hoeschel. 6. ἀπολείψονται G. 11. κατ' om. P. 14. τε om. A. προσεποιῶντο P. δέ τι πλέον A. καὶ om. G.

tam, enarravit. at illi (erant enim afflictum imperatoris ob expugnatas urbes animum lenire paratissimi) erigebant fractum et in meliorem spem excitabant. facile urbem recipi posse; modo salvus esset ipse, brevi barbaros illos septupli poenam daturos. hac oratione imperator delectatus, finito convivio, reliquum diei transegit cura vacuus. Comneni ab eo inde tempore longe antiquissimum habebant, aulam frequentare, imperatoris administros magis etiam amplecti, cavere ne ipsi adversariis sui perdendi ansam darent, neve odii praetextum ullum praeberent, quin potius omnes adducere, ut benevole de se et sentirent et loquerentur. praeterea id agebant, ut Mariam imperatricem arctius devincirent seque totos ipsam spirare et in oculis ferre confirmarent. Isaacius e matrimonio, cum sororis eius filia inito, liberioris consuetudinis veniam habebat; pater meus cum illa affinitate, tum vero maxime adoptionis necessitudine nisus, imperatricem visitabat sine suspicione cuiusquam et invidiam malevolorum obruebat. non enim latebant eum et barbarorum illorum implacabile

μὴ ἐκπεσεῖν τῆς ἐκείνης εὐνοίας ἐφρόντιζον, ἵνα μὴ ἐντεῦθεν τοῖς ἐχθροῖς παρανάλωμα γένοιντο. τὰ γάρ τοι κουφότατα ἤθη εὐμετάφορά πως καὶ Εὐρίπου δίκην ὡς ἐν παλιῤῥοίᾳ περιπλαζόμενα.

4. Ταῦτα ὁρῶντες οἱ δοῦλοι καὶ ὅπως οὐ κατὰ σκοπὸν αὐτοῖς τὸ πρᾶγμα προήει, οὐδὲ ἡ τῶν τοιούτων ἀνδρῶν ἀπώλεια εὐχερής ἐστιν αὐτοῖς, τῆς τοῦ αὐτοκράτορος ἐς αὐτοὺς εὐμενείας ὁσημέραι αὐξανούσης, πολλὰ μὲν εἰπόντες, πολλὰ δὲ καὶ ἀπειπόντες, ἐφ' ἑτέραν ἀτραπὸν ἐτράπησαν. τίς δὲ αὕτη; ἵνα ἐν μιᾷ νυκτὶ μετακαλεσάμενοι τούτους βουλῆς ἄτερ τοῦ κρατοῦντος, ἐκποδὼν τοὺς ἄνδρας ποιήσονται, τοὺς αὐτῶν ὀφθαλμοὺς ἐξορύξαντες, ψευδῆ αἰτίαν ἀναπλασάμενοι. P. 49 τοῦτο τοὺς Κομνηνοὺς οὐ διέλαθε. καὶ ἐπεὶ πολλὰ γνωσιμαχήσαντες ὑπόγυιον τὸν κίνδυνον ἔγνωσαν, μίαν σωτηρίας ἐλπίδα τὴν ἀποστασίαν ἐδόκουν, πρὸς ταύτην κατ' ἀνάγκην πολλὴν συνωθούμενοι. τί γὰρ δεῖ περιμένειν τὸν ἐπενεγκόντα μύδρον τοῖς ὄμμασι καὶ τὸν ἐν αὐτοῖς ἥλιον ἀποσβέσοντα; ὑποβρύχιον οὖν ἐν ταῖς ψυχαῖς τὴν γνώμην ταύτην εἶχον. ἐπεὶ δὲ μετ' οὐ πολὺ προσετέτακτο ὁ Ἀλέξιός τινα μερίδα τῆς στρατιᾶς εἰσαγαγεῖν μέλλουσαν ἐξοπλίζεσθαι κατὰ τῶν πορθησάντων τὴν πόλιν Κυζίκου Ἀγαρηνῶν, (ἔτυχε γὰρ τηνικαῦτα δομέστικος ὢν τῆς ἑσπέρας,) ἀφορμῆς εὐλόγου δρα- B ξάμενος, τοὺς εὔνως πρὸς αὐτὸν ἔχοντας τῶν τοῦ στρατοῦ

7. αὐτοῖς om. A. 11. ποιήσωνται G. 12. ἐναπλασάμενοι G.
21. Κυζίκου om. C. 22. μέγας δομέστικος A. ὢν : ἐν P.

odium et imperatoris levitas summa. itaque non sine causa se ad Augustam applicuerunt, ne illico ab adversariis interirent. levia enim ingenia facile mutant et Euripi instar quasi reciproco aestu fluctuantur.

4. Ita ubi servi isti res sibi nequaquam ex sententia procedere, neque eiusmodi hominibus facile perniciem parari posse animadverterent, crescente in dies imperatoris in eos benevolentia, post multa ultro citroque tentata, aliam tandem viam ingressi sunt. quaenam ea erat? statuunt eos una nocte arcessere, insciente imperatore, comprehensisque oculos effodere, falso conficto crimine. hoc Comnenos non latuit, cumque post deliberationem longam periculum proxime instare cognovissent, unam salutis spem in defectione sitam ducebant, eoque extrema necessitate protrudebantur. quid enim exspectare oportet, dum ferrum, oculis admotum, luce privet? consilium igitur reconditum habebant. brevi autem post cum Alexius iussus esset copiarum partem aliquam in urbem convocare, adversus Agarenos, qui Cyzicum urbem diripuerant, profecturam, (erat enim tum temporis domesticus Occi-

ἡγεμόνων μετὰ τῶν ὑπ' αὐτοὺς διὰ γραμμάτων μετεκαλέσατο. καὶ δὴ κινηθέντες ἅπαντες πρὸς τὴν μεγαλόπολιν ἠπείγοντο. ἐν τοσούτῳ δὲ εἰσελθών τις ἐξ ὑποθήκης θατέρου τῶν δούλων, τοῦ λεγομένου Βορίλου, ἤρετο τὸν βασιλέα, εἰ κατὰ γνώμην αὐτοῦ τὰς δυνάμεις ἁπάσας ὁ μέγας δομέστι-
V. 44 κος εἰς τὴν βασιλεύουσαν πόλιν εἰσάγει. ὁ δ' εὐθὺς μετακαλεσάμενος τοῦτον ἠρώτα, εἰ ἀληθές ἐστι τὸ λεγόμενον. καὶ
C ὃς αὐτίκα τοῦτο μὲν οὐκ ἠρνεῖτο, ὅτι στρατιά τις εἰσάγεται τῇ ἐκείνου κελεύσει, πρὸς δὲ τὸ πᾶσαν ἁπανταχόθεν ἐνταυθοῖ συναθροίζεσθαι, πιθανῶς παρεκρούετο. "ὁ γάρ τοι στρατός" φησιν "διεσπαρμένος ὢν ἁπανταχόθεν, ἄλλος ἄλλοθεν ἥκει λαβὼν τὸ ἐνδόσιμον· καὶ οἱ τούτους ὁρῶντες ἐκ διαφόρων μερῶν τῆς τῶν Ῥωμαίων ἡγεμονίας ἀθρόους ἀφικνουμένους, νομίζουσιν ὡς ἀπὸ συνθήματος πάντα τὸν στρατὸν ἐνταυθοῖ συναθροίζεσθαι, τῇ θέᾳ καὶ μόνῃ ἐξαπατώμενοι." καὶ τοῦ Βορίλου πολλὰ πρὸς τούτους τοὺς λόγους ἀνθυπενεγκόντος, ἰσχυρότερος καὶ οὕτως ἦν ὁ Ἀλέξιος καὶ ὅλαις ἐκράτει ψήφοις. ὁ δὲ Γερμανὸς ἁπλούστερος ὢν οὐ πάνυ τοῦ Ἀλε-
D ξίου κατέτρεχεν. ἐπεὶ δὲ οὐδὲ τὰ εἰσηγηθέντα ταῦτα κατὰ τοῦ δομεστίκου τὴν τοῦ βασιλέως ἐξετάραξε ψυχήν, καιροῦ λαβόμενοι καὶ ἀδείας, (ἑσπέρα δὲ ἦν,) τὴν κατὰ τῶν Κομνηνῶν ἐνέδραν ἐξήρτυον. ἔστι μὲν γὰρ ἄλλως φύσει τὸ δοῦλον τοῖς δεσπόταις πολέμιον, ὅταν δὲ τῶν δεσποτῶν ἀστο-

4. βουρίλα P. 6. βασιλεύουσαν om. A. ὁ δὲ G. 9. ἐνταυθοῖ : αὐτῇ A. 15. καὶ τοῦ : καίτοι τοῦ P. 16. ἀντεπενεγκόντος P. 18. δὲ om. G. 19. κατὰ τοῦ δομεστίκου om. CGA.

dentis,) capta occasione, quos maxime sibi fidos exercitus duces cognoverat, cum iis quibus praeerant, litteris scriptis convocavit. qui cum ad urbem festinarent, adiit imperatorem quidam ab altero servorum, Borilo nominato, subornatus, quaesivitque ex eo, num iussu eius universas in urbem copias magnus domesticus cogeret. imperator statim Alexium arcessitum interrogavit, verane nuntiata essent. ille partem quidem exercitus suo iussu in urbem coire professus, de universis copiis pernegat, idque ita, ut fidem faceret. nempe exercitu ubique disperso, alium aliunde accepto mandato convenire. quos qui ex diversis imperii Romani regionibus confluere cernerent, universum exercitum quasi de composito urbem petere opinari, sola specie inductos. contra haec licet Borilus multa disputaret, praevaluit tamen Alexii auctoritas, qui omnibus sententiis absolvebatur. Germanus natura simplicior minus tum Alexium lacessivit. igitur cum ne haec quidem delatio animum imperatoris commovisset, occasione ac fiducia arrepta, (erat autem vespera,) insidias Comnenis struunt. est

χήσῃ, ἐξουσίας δραξάμενον κατὰ τῶν ὁμοδούλων ἀνύποιστον
γίνεται. τοιούτου γοῦν ἐπειράθη καὶ ἤθους καὶ φρονήματος
τῶν εἰρημένων δούλων ὁ Κομνηνὸς Ἀλέξιος. ἐντεῦθεν οἱ ἤδη
ῥηθέντες οὐχ ὑπὲρ τοῦ αὐτοκράτορος κατὰ τῶν Κομνηνῶν
ἐμήνιον. ἀλλ' ἐβασιλεία μὲν ὁ Βορῖλος, ὥς τινες ἔφασαν,
ὁ δέ γε Γερμανὸς κοινωνὸς ὢν αὐτῷ τοῦ σκέμματος ἐπιμε-
λῶς σὺν αὐτῷ ἐνέδραν ἐξήρτυε. καὶ πρὸς ἀλλήλους τὰ βου-
λευόμενα διελέγοντο καὶ ὅπως ἂν αὐτοῖς κατὰ νοῦν ἀποβαίῃ P. 50
τὸ πρᾶγμα· καὶ εἰς τοὐμφανὲς ἤδη ἐξέφερον τὸ ὑπ' ὀδόντα
τέως λαλούμενον. ἠκροᾶτό τις τῶν λεγομένων Ἀλανὸς τὸ
γένος, μάγιστρος τὴν ἀξίαν, ἐκ πολλοῦ προσῳκειωμένος τῷ
βασιλεῖ κἀν τοῖς οἰκείοις διατελῶν. τηνικαῦτα γοῦν ἐξελθὼν
μέσης ἤδη φυλακῆς τῆς νυκτὸς ἐκτρέχει πρὸς τοὺς Κομνη-
νούς, ἀπαγγελῶν ἅπαντα τῷ μεγάλῳ δομεστίκῳ. τινὲς δέ
φασι, μηδὲ τὴν βασιλίδα τὴν πρὸς τοὺς Κομνηνοὺς τοῦ μα-
γίστρου ἄφιξιν παντάπασιν ἠγνοηκέναι. ὁ δὲ εἰσάγει τοῦτον
τῇ μητρὶ καὶ τἀδελφῷ. ἐνωτισθέντες δὲ τὴν ἀπευκταίαν B
ἐκείνην ἀγγελίαν, δέον ἐλογίσαντο τὸ τέως κρυπτόμενον εἰς
τοὐμφανὲς ἀγαγεῖν καὶ ξὺν θεῷ τὴν σφῶν σωτηρίαν περι-
ποιήσασθαι. ἐπεὶ δὲ μετὰ τὴν ἐπιοῦσαν ἐμεμαθήκει τὸ στρά-
τευμα καταλαβεῖν τὴν Τζουρουλόν, (πολίχνιον δὲ τοῦτο περί

2. ἤθους τε καὶ P, alterum G. 5. ἐμηνίων A. βορίλας CG, βόριλος A. 6. ὢν om. G. 10. τέως : κατὰ τῶν Κομνημῶν add. A. 12. ἐξελθὼν om. CGA. 14. ἀπαγγέλλων P, ἀπαγγελῶν C, καὶ τὸ σκέμμα ὑποδηλοῖ A. 21. Τζουρουλῶν G.

omne servorum genus dominis infensum, quibus si nocere nequiverint, ira in conservos versa, intolerabiles fiunt. talem naturam atque ingenium duorum, quos dixi, servorum Alexius Comnenus expertus est. etenim tantum aberat, ut propter imperatoris salutem Comnenis infensi essent, ut Borilus imperium affectare diceretur, quem Germanus, consilii particeps, diligenter in struendis insidiis adiuvabat. ac consilia inter se, quomodo ex sententia res sibi procederet, agitabant et iam palam eloquebantur, quae hucusque non nisi sub lingua immurmuraverant. quo factum est, ut Alanus quidam, magistri officio fungens, qui dudum inter familiares imperatoris numerabatur, consilium perciperet. is media nocte ad Comnenos properavit, magno domestico, quae comperisset, nuntiatum. sunt qui dicant, haud inscia imperatrice, magistrum ad Comnenos adiisse. Alexius igitur eum ad matrem fratremque ducit. accepto nefarii sceleris nuntio, omnes in eo consentiunt, iam perficienda consilia esse hucusque occulta et deo iuvante saluti consulendum. itaque cum domesticus copias tertio abhinc die Tzurulum, quod parvum in fini-

που τὴν Θρᾴκην κείμενον,) ὁ δομέστικος περὶ πρώτην φυλακὴν τῆς νυκτὸς φοιτᾷ πρὸς τὸν Πακουριανόν· ἀνὴρ δὲ οὗτος μικρὸς ἦν δέμας κατὰ τὸν ποιητήν, πλὴν ἀλλὰ μαχητής, γένους λαμπροῦ ἐξ Ἀρμενίων ὁρμώμενος· καὶ ἀνακοινοῦται τούτῳ τὰ πάντα, τὴν μῆνιν τῶν δούλων, τὸν φθόνον,
C τὴν ἐκ πολλοῦ κατ' αὐτῶν μελέτην καὶ τὴν ἐξ ὑπογυίου μελετωμένην τῶν ὀφθαλμῶν ἐκκοπὴν αὐτῶν, καὶ ὡς οὐ χρὴ ὡς ἀνδράποδα παθεῖν, ἀλλὰ δράσαντάς τι γενναῖον ἀπολέσθαι, εἰ καὶ τούτου δεήσειε· καὶ τοῦτο γὰρ ἴδιον μεγαλοψυχίας ἔλεγεν. ὁ δὲ ἅπαντα διακηκοὼς καὶ συνειδὼς ὡς οὐ χρὴ μέλλειν ἐν τοῖς τοιούτοις, ἀλλὰ ταχέως γενναιοτέρου ἔργου ἐφάπτεσθαί, φησιν "εἰ μὲν αὐγαζούσης τῆς αὔριον ἐξέλθῃς τῶν ἐνταυθοῖ, συνέψομαί σοι κἀγὼ προθύμως ἐπαγωνισόμενος. εἰ δὲ ἐς νέωτα φυλάξεις τὸ βουλευόμενον, ἀλλ' ἐμέ γ' ἴσθι αὐτὸν ἐμὲ προσελθόντα τῷ βασιλεῖ, παραυτίκα καὶ σοῦ
D καὶ τῶν σὺν σοὶ κατειπεῖν, μηδὲ μικρὸν ἀναβαλλόμενον." ὁ δὲ "ἐπεί σε τῆς ἐμῆς κηδόμενον ὁρῶ σωτηρίας, θεοῦ δὲ τοῦτο πάντως ἔργον, οὐκ ἀποστήσομαί σου τῆς βουλῆς, πλὴν ἀλλὰ χρὴ δι' ὅρκου τὸ ἀσφαλὲς ἑκάτερον ἔχειν." ἔνθεν τοι καὶ πίστεις πρὸς ἀλλήλους δι' ὅρκων ἐποιησάτην, ὡς ἄρα, εἰ εἰς τὸν βασίλειον θρόνον αὐτὸν ἀγάγῃ θεός, ἐκεῖνον εἰς τὴν τοῦ δομεστίκου ἀξίαν ἀναγάγῃ, ἣν νῦν αὐτὸς ἐν τῷ τέως κατεῖχεν.

3. μὲν ἔην τὸ δέμας A. 6. ὑπογύου C ubique. μεμελετωμένην G. 9. γὰρ om. G. 10. συνειδὼς A, συνειδὼν PG. 13. ἐπαγωνισάμενος A. 15. ἐμὲ om. A. 20. ἐπιστωσάτην A.

bus Thraciae oppidum est, perventuras didicisset, prima vigilia Pacurianum convenit. vir is erat exigua quidem, ut poeta ait, corporis mole, sed manu fortis et illustri genere ex Armenia ortus; cui enarrat omnia, iram atque invidiam servorum et quae dudum in se machinati essent: nunc excaecationis periculum instare. ceterum non serviliter pati, sed fortiter agendo, si ita necesse fuerit, mori oportere; hoc esse magnorum animorum proprium. quibus Pacurianus cognitis, cum non cunctandum in eiusmodi rebus, sed acriter audendum esse probe intelligeret, "si cras mane, inquit, hinc profecturus es, et ego sequar teque defendam; sin autem in posterum rem differs, me ipsum scias imperatorem aditurum, protenus tua tuorumque consilia indicatum." cui Alexius "quoniam salutem, respondit, meam cordi tibi esse video, quod non dubito dei erga me benevolentiae tribuere, obsequar consilio tuo; prius tamen firmari utrimque fidem oportet iureiurando." ita fide data et accepta, spondent, si regium solium deus Alexio dedisset, in illum magni domestici digni-

ἐξελθὼν οὖν ἐκεῖθεν ὁ Κομνηνὸς Ἀλέξιος καὶ τοῦ Πακου- V. 45 ριανοῦ ἀπαλλαγείς, πρὸς ἕτερον ἄνδρα καὶ αὐτὸν Ἀρειμάνιον τὸν Οὐμπερτόπουλον ἄπεισι καὶ τούτῳ τὸν ἴδιον ἀπαγγέλλει σκοπὸν καὶ τὴν αἰτίαν παρίστησι, καθ' ἣν διαδρᾶναι βουλόμενος εἰς συμμαχίαν καὶ αὐτὸν προσκαλεῖται. ὁ δ' εὐθὺς κατενενεύκει· "κἀμὲ δ'" ἔφη "πάντως ἕξεις εὐψύχως σου καὶ μάλα προκινδυνεύοντα." προσέκειντο δὲ καὶ τῷ Ἀλεξίῳ μᾶλλον οἱ εἰρημένοι ἄνδρες τά τε ἄλλα, καὶ διότι ἀνδρείᾳ καὶ συνέσει τῶν ἄλλων διέφερε· φιλοδωρότατόν τε ὄντα καὶ τὴν χεῖρα, εἴπερ τις ἄλλος, περὶ τὰς δόσεις εὐκίνητον λίαν ὑπερηγάπων, καίτοι μὴ πάνυ τι πλούτῳ περιρρεόμενον. οὐ γὰρ ἦν τῶν ἁρπαζόντων P. 51 καὶ πρὸς τὸ πλουτεῖν διακεχηνότων. τὸ γὰρ ἐλευθέριον οὐκ ἐν πλήθει παροχῆς χρημάτων κρίνεσθαι εἴωθεν, ἀλλὰ γνώμῃ ταλαντεύεσθαι πέφυκεν. ἔστι γὰρ τὸν ὀλίγα κεκτημένον καὶ πρὸς λόγον τῶν ἐνόντων καταβαλόντα ἐλευθέριον εἶναι, τὸν δέ γε πλοῦτον πολὺν ἔχοντα καὶ τῇ γῇ κατορύττοντα ἢ μὴ κατὰ λόγον τοῦτον τῷ δεομένῳ παρέχοντα ἄλλον Κροῖσον ἢ χρυσομανῆ Μίδαν, κίμβικά τε καὶ γλίσχρον καὶ ἕνα τῶν διαπριόντων τὸ κύμινον εἰπὼν ἄν τις οὐ διαμάρτοι τοῦ δέοντος. πάσαις τοίνυν ἀρεταῖς κεκοσμημένον τὸν Ἀλέξιον οἱ ἤδη ῥηθέντες ἄνδρες ἀνέκαθεν καὶ πάλαι γινώσκοντες, τὴν B

2. ἀρειμάνειον PG, alterum A. 6. δὲ G. 8. δὲ τῷ μᾶλλον Ἀλεξίῳ P, δὲ μᾶλλον καὶ τῷ Ἀ. G, δὲ καὶ τῷ Ἀ. μᾶλλον C. 12. τι : γε P. 15. πέφυκεν om. A. 18. κατὰ : πρὸς C. τῷ δεομένῳ add. C. 20. διαμάρτῃ A. 22. τὴν ἀνάρρησιν τούτου ἐπηύχοντο A.

tatem collatum iri, qua modo ipse fungeretur. ab hoc digressus Comnenus Alexius Ubertopulum adiit, virum et ipsum imprimis fortem, consilium cum eo communicavit causamque exposuit, propter quam defecturus, ab eo quoque auxilium petendum existimaret. hic statim annuens, "etiam me, inquit, promtissimum habebis salutis tuae propugnatorem." horum autem virorum amicitias Alexius sibi paraverat cum aliunde, tum fortitudine prudentiaque singulari. idem munificentia, si quis alius, utebatur. quanquam non admodum circumfluebat opibus, quippe qui minime avarus divitiisque inhians esset. nec enim liberalitas multitudine donorum aestimari solet, sed largientis animo. ita fieri potest, ut qui modicis opibus praeditus, pro facultate largitur, liberalis sit; qui autem Croeso Midaque ditior thesauros in terram defodit, nec, quantum res patitur, egentibus suppeditat, eum siquis sordidum et avarum et de cumini sectoribus unum appellaverit, a veritate non aberret. his virtutibus omnibus cum viri, quos dixi, Alexium dudum ornatum cognovissent, ut imperium nancisceretur,

ἀνάρρησιν αὐτοῦ καὶ ἠγάπων καὶ ἐπηύχοντο. ὁ δὲ Ἀλέξιος καὶ ἐξ αὐτοῦ αἰτήσας ὅρκον καὶ λαβών, δρομαῖος ἄπεισιν οἴκαδε καὶ πάντα ἀνακοινοῦται τοῖς οἰκείοις αὐτοῦ. νὺξ δ' ἦν ἡ τῆς τυροφάγου κυριακῆς, καθ' ἣν οὑμὸς πατὴρ ταῦτα ἐσκέπτετο. τὴν δὲ μετ' αὐτὴν ὄρθρου βαθέος μετὰ τῶν ἀμφ' αὐτὸν ἐξεληλύθει τῆς πόλεως. ἔνθεν τοι καὶ τὸ πλῆθος ἀποδεξάμενον τῆς ὁρμῆς τὸν Ἀλέξιον καὶ τῆς ἀγχινοίας, ἐξ αὐτῶν τῶν πραγμάτων ᾀσμάτιον αὐτῷ ἀνεπλέξαντο, ἐξ ἰδιώτιδος μὲν συγκείμενον γλώττης, αὐτὴν δὲ τὴν τοῦ πράγματος ἐπίνοιαν ἐμμελέστατα ἀνακρουόμενον καὶ παρεμφαῖνον τήν τε προαίσθησιν τῆς κατ' ἐκείνου ἐπιβουλῆς καὶ τὰ παρ' αὐτοῦ C μεμηχανημένα. τὸ δὲ ᾀσμάτιον αὐταῖς λέξεσιν εἶχεν οὕτως· "τὸ σάββατον τῆς τυρινῆς, χαρεῖς Ἀλέξιε ἐνόησές το, καὶ τὴν δευτέραν τὸ πρωῒ εἶπα καλῶς γεράκιν μου." εἶχε δὲ ὧδέ πως ἐννοίας τὸ διαφημιζόμενον ἐκεῖνο ᾀσμάτιον· ὡς ἄρα κατὰ μὲν τὸ τυρώνυμον σάββατον ὑπέρευγέ σοι τῆς ἀγχινοίας, Ἀλέξιε! τὴν δὲ μετὰ τὴν κυριακὴν δευτέραν ἡμέραν καθάπερ τις ὑψιπέτης ἱέραξ ἀφίπτασο τῶν ἐπιβουλευόντων βαρβάρων.

5. Ἐπεὶ δὲ ἡ μήτηρ Κομνηνῶν ἡ Δαλασσηνὴ Ἄννα γαμβρὸν ἔφθασεν εἰσποιήσασθαι ἐπὶ τῇ θυγατρὶ Μανουὴλ

1. ὁ δὲ Ἀλέξιος : ὅρκον οὖν καὶ ἀπὸ τοῦ οὑμπερτοπούλου λαβὼν A. 2. δρομαίως A. 3. οἰκείοις add. A. δ' add. A. 5. βαθέος : ταχέως C. 6. αὔτων PG, correxi. 8. τῶν om. P. ἀνεπλήξαντο G. 9. μὲν : δὲ C. γλώττης om. C. αὐτὴν δὲ — ἀνακρουόμενον add. A. 10. κατεμφαῖνον CGA. 15. ὡς om. A. 16. τυρώνιον C, τυρώμενον G. 17. ἡμέραν om. P. 18. ἀφίπτασο A, ἀφίπτατο PG. 21. τῇ add. C.

admodum optabant. verum Alexius, ubi etiam Ubertopulum iureiurando obstrinxit, festinatione omni domum properat suisque cuncta enarrat. qua nocte pater meus haec gessit, ea diei dominicae erat, quam tyrophagum nuncupant. insequente die primo diluculo urbe cum suis egreditur. quo vulgus cognito, Alexium ob consilii calliditatem praedicans, ex ipsis rebus cantiunculam contexuit, quae vulgari quidem sermone, ipsam tamen rei rationem praesensionemque insidiarum et quae ipse molitus fuerit, elegantissime significat. sententia eius haec fere erat: "sabbato, a caseo nuncupato, quam callide egisti, Alexi! altero vero post dominicam die velut praepes accipiter evolasti ex cassibus insidiantium barbarorum."

5. Anna autem Dalassena, Comnenorum mater, cum Botaniatae imperatoris nepoti filiam Manuelis, filii natu maximi, in matrimo-

τοῦ πρωτοτόκου τῶν υἱῶν αὐτῆς τὸν τοῦ Βοτανειάτου ἔγγο- D νον, πτοηθεῖσα μὴ ὁ παιδαγωγὸς αὐτοῦ γνοὺς τὴν ἐπιβουλὴν προσαγγείλῃ τῷ βασιλεῖ, βουλὴν ἀρίστην βουλεύεται. καὶ δὴ προσκυνήσεως χάριν τῶν τοῦ θεοῦ ἁγίων ἐκκλησιῶν ἀθροισθῆναι κελεύει πάντας ἑσπέρας. ἦν γὰρ αὐτῇ σύνηθες εἰς τὰ ἱερὰ τεμένη φοιτᾶν. γίνεται τοῦτο. καὶ δὴ πάντες, ὡς ἔθος, παρῆσαν, ἐξῆγόν τε τοὺς ἵππους τῶν ἱπποστάθμων, ἐπιμελῶς στρωννύειν σχηματιζόμενοι τὰς γυναιξὶ πρεπούσας ἐφεστρίδας. ὁ δέ γε τοῦ Βοτανειάτου ἔγγονος σὺν τῷ παιδαγωγῷ ὕπνωττον· ἀπομεμέριστο γάρ τι τούτοις οἴκημα ἴδιον. περὶ πρώτην δὲ φυλακὴν τοὺς πυλεῶνας κλείσαντες οἱ Κομνηνοὶ μέλλοντες ἤδη ἐξοπλίζεσθαι καὶ τῆς βασιλευούσης πόλεως ἀφίπτασθαι, τῇ μητρὶ παρέσχον τὰς κλεῖς, ἔκλεισάν τε ἀψοφητὶ καὶ τὰς θύρας τοῦ δώματος, ἐν ᾧ ὁ ἐπ' ἐγγόνῃ γαμ- V. 46 βρὸς αὐτῆς ὁ Βοτανειάτης ἀφύπνωττεν, οὐ μέντοι ἀκριβῶς κατασφαλισάμενοι ὡς ἐφαρμόσαι ταύτας ἀλλήλαις, ἵνα μὴ P. 52 ψόφος τις γεγονὼς διυπνίσῃ αὐτόν. τούτων οὕτω γινομένων, τὸ πλεῖστον παρῳχήκει τῆς νυκτός. πρὸ ἀλεκτοροφωνίας οὖν πρώτης τοὺς πυλεῶνας ἀνοίξαντες, τήν τε μητέρα καὶ τὰς ἀδελφὰς καὶ τὰς σφῶν γυναῖκας καὶ τὰ παιδία συμπαραλαβόντες μέχρι τοῦ Κωνσταντινιανοῦ φόρου ὁμοῦ πεζῇ συναπῄεσαν. κἀκεῖθεν συνταξάμενοι ταύταις, ἐκεῖνοι μὲν πρὸς

1. τὸν : τῶν P. ἔκγονον CG. 2. αὐτῆς CG. 10. ὕπνῳ βαρούμενος PG, alterum P in margine. 11. πυλῶνας C. 12. ὁπλίζεσθαι P. 14. ἐν ᾧ ἦν ὁ G. ἐκγόνῃ G. 21. Κωνσταντίνου A. πεζοὶ C.

nium collocasset, verita, ne, comperta defectione, paedagogus adolescentuli rem imperatori nuntiaret, dolum finxit callidissimum. edixit vespere praesto esse omnes, tanquam ad adorationem, in sanctis dei ecclesiis pro more faciendam, proditura. aderant mox omnes, ut solebant, educebantque ex stabulis equos, quos diligenter matronis vecturis sternere simulabant. Botaniatae nepos dormiebat cum paedagogo in domicilio, quo seorsim habitabant. circa primam autem vigiliam cum Comneni in eo iam essent, ut armis instructi fugam ex urbe capesserent, portis clausis, matri tradunt claves. occludunt etiam sine strepitu fores aedificii eius, in quo neptis sponsus dormiebat Botaniates; neque tamen satis apte valvas committere licuit, ne puer edito strepitu expergefieret. inter quae maior noctis pars abierat. paulo igitur ante gallicinium primum, apertis vestibuli portis, cum matre, sororibus, coniugibus liberisque ad Constantini usque forum pedibus eunt. ubi postquam salutem sibi invicem dixerunt, ipsi ad Blachernarum palatium, mulieres ad magnae Sophiae templum properant. sed Botania-

τὰ ἐν Βλαχέρναις βασίλεια μάλα ὀξέως ἐξέδραμον· αὗται δὲ πρὸς τὸν τῆς μεγάλης Σοφίας νεὼν σὺν σπουδῇ ἔθεον. ὁ B δὲ τοῦ Βοτανειάτου παιδαγωγὸς διυπνισθεὶς καὶ γνοὺς τὸ γενόμενον, ἔξῄει πρὸς αὐτούς, δᾷδα ταῖν χεροῖν ἔχων, φθάνει τε κατὰ τάχος αὐτούς, τοῦ τῶν ἁγίων τεσσαράκοντα τεμένους ἐγγὺς μήπω κατειληφότας. θεασαμένη δὲ τοῦτον εὐθὺς ἡ Δαλασσηνὴ καὶ μήτηρ τῶν ἀριστέων ἐκείνων παίδων φησί "κατεῖπον ἡμῶν τινές, ὡς ἐπυθόμην, τῷ βασιλεῖ. ἄπειμι γοῦν εἰς τὰς ἁγίας ἐκκλησίας, τῇ αὐτῶν χρωμένη, καθὼς ἂν δυναίμην, ἐπαρωγῇ· κἀκεῖθεν αὐγαζούσης ἡμέρας ἀπελεύσομαι πρὸς τὰ βασίλεια. ἄπιθι τοίνυν αὐτός, ἵν' ὁπηνίκα οἱ πυλωροὶ ἀνοίξωσι, περὶ τῆς ἡμῶν αὐτοῖς ἀπαγγείλῃς ἐλεύσεως." ὁ δ' εὐθὺς πρὸς τὸ κελευσθὲν ἠπείγετο. αἱ δὲ φθάνουσι πρὸς C τὸ τοῦ ἱεράρχου Νικολάου τέμενος, ὃ Προσφύγιον μέχρι τῆς δεῦρο εἰώθασιν ὀνομάζειν, ἀγχοῦ τῆς μεγάλης ἐκκλησίας καὶ πρῴην ἐνιδρυμένον πάλαι ἐπὶ σωτηρίᾳ τῶν ἐπ' ἐγκλήμασιν ἁλισκομένων, ὡς μέρος τυγχάνον τοῦ μεγάλου τεμένους καὶ ἐπίτηδες, οἶμαι, κατασκευασθὲν τοῖς ἀρχαίοις, ἵνα πᾶς ὁ ἐπ' ἐγκλήματι ἁλοὺς καὶ φθάσας εἴσω τούτου γενέσθαι, τῆς ἐκ τῶν νόμων τηνικαῦτα ἐλευθεροῦται ποινῆς. οἱ γὰρ πάλαι βασιλεῖς τε καὶ καίσαρες πολλῆς προμηθείας ἠξίουν τὸ ὑπήκοον. ὁ δέ γε ἐν τῷ τοιούτῳ τεμένει προσμένων ταχέως αὐταῖς οὐκ ἀπεζύγου τὰς θύρας, ἀλλ' ἐπυνθάνετο, τίνες καὶ ὅθεν εἶεν.

1. βασίλεια : παλάτια CG. παρέδραμον G. 2. σὺν : ἐν CG. 10. ἐπαγωγῇ G. 13. εὐθὺ G. 18. ἀρχείοις coni. Ducangius.

tae paedogogus ubi experrectus, quid actum esset, cognovit, face arrepta, domo se proripit fugientesque paulo ante assequitur, quam ad quadraginta sanctorum aedem pervenissent. quem conspicata Dalassena, fortissimorum filiorum mater, "delatum, inquit, ad imperatorem falsum de nobis crimen audivi; confugio igitur ad sanctas ecclesias, quarum auxilio, quantum potero, utar. inde prima luce in regiam me conferam. quare praeї illuc, ut cum primum ianitores fores aperient, eos de adventu nostro certiores facias." ille sine mora, quod iussus erat, exsequitur. mulieres ad episcopi Nicolai aedem properant, quod Refugium etiamnunc solet appellari, prope magnam ecclesiam dudum ad salutem eorum aedificatam, qui criminibus tenentur. ea magni templi veluti pars quaedam de industria, opinor, a maioribus exstructa est, ut quicunque, scelere commisso, eo confugisset, poena legitima liberaretur. prisci siquidem imperatores et caesares magna cura rationibus subditorum prospiciebant. verum eius templi custos, non illico reclusis portis, qui et undenam essent, percontabatur. hic aliquis ex comitibus "mulieres, inquit, ex Oriente;

εἷς δέ τις τῶν σὺν αὐταῖς "γυναῖκές" φησιν "ἐξ ἀνατολῶν. D
τὰ δὲ πρὸς χρείαν ἅπαντα δαπανήσασαι, ἐπισπεύδουσι τὴν προσκύνησιν, οἴκαδε ἐθέλουσαι ἐπανελθεῖν." ὁ δ' εὐθὺς ἀποζυγώσας τὰς θύρας παραχωρεῖ αὐταῖς τῆς εἰσόδου. τῇ δ' ἐπαύριον ἐκκλησιάσας ὁ αὐτοκράτωρ τὴν σύγκλητον, ἐπειδὴ τὰ κατὰ τοὺς ἄνδρας ἐμεμαθήκει, τὰ εἰκότα πρὸς τούτους ἐδημηγόρησεν, καταδρομὴν τοῦ δομεστίκου ποιούμενος. ἐκπέμπει δὲ τηνικαῦτα πρὸς τὰς γυναῖκας τόν τε καλούμενον Στραβορωμανὸν καί τινα Εὐφημιανὸν τὴν κλῆσιν, μετακαλούμενος αὐτὰς εἰς τὰ βασίλεια. ἡ δὲ Δαλασσηνὴ πρὸς αὐτοὺς "εἴπατέ" φησι "πρὸς τὸν αὐτοκράτορα· οἱ παῖδες οἱ ἐμοὶ δοῦλοί εἰσι πιστοὶ τῆς σῆς βασιλείας, καὶ προθύμως ἐξυπηρετοῦντες αὐτῇ ἐν πᾶσιν, οὐκ ἐφείσαντο οὔτε ψυχῶν P. 53
οὔτε σωμάτων, ἀεὶ προκινδυνεύοντες ἐκθύμως ὑπὲρ τοῦ σοῦ κράτους. ὁ δὲ κατ' αὐτῶν φθόνος μὴ φέρων τὴν εἰς αὐτοὺς εὔνοιάν τε καὶ κηδεμονίαν τῆς σῆς βασιλείας, μέγαν τὸν κίνδυνον κατ' αὐτῶν καθ' ὥραν ἐξήρτυεν· ὡς δὲ καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐξορύττειν ἐμελέτησαν, τοῦτο αἰσθόμενοι καὶ μὴ φέροντες τὸν τοιοῦτον ἄδικον κίνδυνον, οὐχ ὡς ἀποστάται ἐξῆλθον τῆς πόλεως, ἀλλ' ὡς δοῦλοι πιστοί, ἅμα μὲν τὸν ὑπόγυιον ἀποδιδράσκοντες κίνδυνον, ἅμα δὲ τὰ κατ' αὐτῶν μελετώμενα τὸ κράτος σου ἀναδιδάξοντες καὶ τὴν ἀπὸ τῆς σῆς βασιλείας

2. δὲ om. A. 3. *ἐπανελθεῖν θέλουσαι* A. 4. *ταύταις* A. δὲ A. 6. *μεμαθήκει* A. 7. *πέμπει δὲ πρὸς* A. 19. *κίνδυνον ἄδικον ὄντα* A. 20. *τῆς πόλεως οὐχ ὡς ἀποστ. ἐξῆλθον* A. 21. *ἅμα δὲ καὶ τὰ* A. 22. *ἀναδιδάξαντες* PA, alterum CG. *καὶ τὸν — ἐξαιτησάμενοι ἔλεον* A.

quae, consumto viatico, adoratione defungi cupiunt, ut quam primum domum repetant." quibus ille auditis, fores aperuit intromisitque. postridie convocato imperator senatu, postquam illorum fugam cognovit, graviter, ut res postulabat, adversus eos dixit inque domesticum maxime invectus est. tum ad matronas misit quosdam, Straboromanum et Euphemianum nomine, qui eas in palatium adducerent. quibus Dalassena "renuntiate, inquit, imperatori, filios meos eius maiestati obedientissimos esse, et lubenti in omnibus animo inservientes, nec vitae, nec corporibus unquam pepercisse, nullis pro ea periculis non promtissime susceptis. at invidia, tuam in eos benevolentiam favoremque non ferens, occasionem eos in discrimen adducendi captare non desiit, atque adeo luce privare ipsos statuit. quod cum cognovissent, nec tantum periculi immerito sibi parari ferrent, urbe profugerunt, non ut defecturi, sed ut servi fideles, qui et imminens malum effugiant, et consilia istorum maie-

V. 47 ἐξαιτησόμενοι βοήθειαν." οἱ δὲ ἐπέκειντο σφόδρα μετακα-
B λούμενοι ταύτην· ἀγανακτήσασα δὲ ἡ γυνή φησι πρὸς αὐτοὺς
"παραχωρήσατέ μοι εἰς τὴν τοῦ θεοῦ ἐκκλησίαν εἰσελθεῖν
προσκυνῆσαι. ἄτοπον γάρ ἐστιν εἰς τοὺς πυλεῶνας αὐτῆς
φθάσασαν, μὴ εἰσελθεῖν καὶ μεσίτιδι τῇ παναχράντῳ δε-
σποίνῃ καὶ θεομήτορι χρήσασθαι εἴς τε τὸν θεὸν καὶ τὴν τοῦ
βασιλέως ψυχήν." τὴν εὔλογον οὖν αἴτησιν τῆς γυναικὸς
αἰδεσθέντες οἱ πρέσβεις, παραχωροῦσιν αὐτῇ τῆς εἰσόδου. ἡ
δὲ βραδεῖ ποδὶ στείχουσα ὡς οἷον ἀπὸ τῆς λύπης καὶ τοῦ
γήρως κεκμηκυῖα, μᾶλλον δὲ καὶ τὸν κεκμηκότα ὑποκρινο-
μένη, περί τε αὐτά που τὰ εἰσόδια τοῦ ἱεροῦ βήματος πε-
λάσασα καὶ γονυκλισίας δύο ποιησαμένη, περὶ τὴν τρίτην κα-
θεσθεῖσα χαμαί, ἀπρὶξ τῶν ἁγίων εἴχετο θυρῶν, ἐπιβοω-
C μένη ὡς "εἰ μὴ τὰς χεῖρας ἀποτμηθείην, οὐκ ἂν τοῦ ἱεροῦ
τεμένους ἐξέλθοιμι, εἰ μὴ τὸν τοῦ βασιλέως ὥσπερ ἐχέγ-
γυον τῆς σωτηρίας δεξαίμην σταυρόν." ἐκβαλὼν δὲ ὁ Στρα-
βορωμανὸς ὅνπερ ἐπεφέρετο σταυρὸν ἐγκόλπιον ἐδίδου. ἡ δὲ
"οὐκ ἀφ' ὑμῶν τὴν πληροφορίαν αἰτῶ, ἀλλ' ἐξ αὐτοῦ τοῦ
βασιλέως ἐπιζητῶ τὴν εἰρημένην βοήθειαν. καὶ οὐδ' ἁπλῶς
ἐν μικρῷ μεγέθει τὸν διδόμενον ἂν σταυρὸν δεξαίμην, ἀλλ'
ἀξιόλογον τὸ μέγεθος ἔχοντα." (τοῦτο δὲ ἐπεζήτει, ἵνα κατα-
φανὲς πρὸς ἐκείνην τὸ ὅρκιον γένοιτο· ἐν μικρῷ γὰρ σταυ-
ρίῳ τῆς ὑποσχέσεως γενομένης, τάχα ἂν τοὺς πολλοὺς τὰ

10. κεκμηυῖα G. 14. ἀποτμηθείην C, ἀποτμηθείη PG. 18. ἡμῶν A.

statl tuae patefaciant auxiliumque implorent." nihilominus instabant illi ad imperatorem eam evocare. id Anna moleste ferens, "sinite, me, inquit, dei ecclesiam, ut ibi adorem, ingredi. parum enim decet, cum ad portas venerim, recedere, priusquam immaculatae dominae et deiparae opem invocaverim ad deum et imperatoris animum mihi conciliandos." cuius postulati aequitatem legati reveriti, intrare eam siverunt. itaque illa tarde incedens, ut quae et dolore et aetate confecta esset, vel potius infirmitatem simularet, postquam ad ipsum fere aditum sacri bematis processit, genu bis flexo, cum tertium procumberet, humi subsedit sacrisque portis comprehensis, nisi manus, clamat, sibi abscinderentur, templo se non ante discessuram, quam crucem imperatoris tanquam salutis pignus accepisset. Straboromanus, quam de collo pendentem gestabat, crucem ei obtulit; verum illa "non a vobis, inquit, fidem mihi dari cupio, sed ab ipso imperatore quam dixi cautionem postulo; neque omnino minutam talem crucem accipiam, sed magnitudinis idoneae." (hoc ideo flagitavit, ut iusiurandum sibi praestitum palam fieret. si enim in parva cruce promissio facta

ἐμπεδούμενα διελάνθανον.) „ἐκείνου τοίνυν τὴν κρίσιν καὶ τὸν ἔλεον ἀνακαλοῦμαι. ἄπιτε, ἀπαγγείλατε αὐτῷ.“ ἡ δὲ D ἐπὶ τῷ Ἰσαακίῳ νύμφη αὐτῆς (προέφθασε γὰρ εἰς τὸν ναὸν εἰσελθεῖν ἅμα τῷ τὰς πύλας ἀνεῳχθῆναι διὰ τὸν ὄρθριον ὕμνον) τὴν ἐπικαλύπτουσαν ὀθόνην τὸ πρόσωπον περιελοῦσά φησι πρὸς αὐτούς „αὕτη μέν, εἰ βούλεται, ἀπερχέσθω· ἡμεῖς δὲ πληροφορίας ἄτερ τοῦ ἱεροῦ οὐκ ἐξερχόμεθα, κἂν θανεῖν ἡμᾶς πρόκειται.“ ἰδόντες οὖν τὸ ἐνστατικὸν τῶν γυναικῶν καὶ ὅπως ἀναισχυντότερον αὐτοῖς ἢ πρότερον προσεφέροντο, καὶ πτοηθέντες μὴ θόρυβος γένηται, ἀπελθόντες ἀπήγγειλαν πάντα τῷ P. 54 βασιλεῖ. ὁ δὲ φύσει ἀγαθὸς ὤν, ἐπικαμφθεὶς καὶ τῆς γυναικὸς λόγοις, ἀποστέλλει τὸν ἐπιζητούμενον σταυρὸν πρὸς αὐτήν, πᾶσαν ἀφροντησίαν αὐτῇ διδούς. καὶ οὕτω τῆς τοῦ θεοῦ ἁγίας ἐκκλησίας ἐξελθοῦσαν περιορισθῆναι παρακελεύει μετά τε τῶν θυγατέρων καὶ τῶν νυμφῶν αὐτῆς εἰς τὴν ἀγχοῦ τῆς Σιδηρᾶς διακειμένην γυναικείαν μονὴν τῶν Πετρίων. μετάκλητον δὲ ποιεῖται καὶ τὴν συμπενθέραν αὐτῆς τὴν τοῦ καίσαρος Ἰωάννου νύμφην (πρωτοβεστιαρία δὲ ἦν αὕτη τὸ ἀξίωμα) ἀπὸ τοῦ ἐν Βλαχέρναις τεμένους, ὃ ἐπ' ὀνόματι τῆς δεσπότιδος ἡμῶν θεομήτορος ᾠκοδόμητο, καὶ εἰς τὴν ῥηθεῖσαν μονὴν τῶν Πετρίων καὶ αὐτὴν εἶναι παρακελεύεται. καὶ B προστάττει τούς τε πιθῶνας καὶ σιτῶνας αὐτῶν καὶ πάντα τὰ ταμεῖα τηρεῖσθαι ἀμειαγώγητα. καθ' ἑκάστην οὖν

2. ἄπιθε P. 3. προέφθασε C, ἔφθασε PG. 6. βούλεται C, βούλοιτο PGA. 8. ἐντατικὸν C. 13. ἀφροντισίαν CA. 14. περιορίσθεισαν C et in margine G. 15. θυγατρῶν G. πρωτοβεστιαρέα C semper.

esset, multitudinem facile lateret.) „illius igitur, pergit, iudicium atque misericordiam imploro. ite et nuntiate haec ei.“ atque Isaacii uxor, eius nurus, quae aedem ante intraverat, cum primum portae ob horas matutinas reclusae essent, velo, quo faciem obnupserat, demto, „illa quidem, inquit, abeat, si lubet. nos certe, nisi fide accepta, templo non egrediemur, vel mortis conditione proposita.“ legati, perspecta constantia mulierum, quae audacius iam, quam antea, sese gerebant, veriti, ne tumultus oriretur, redeunt ad imperatorem eique cuncta narrant. qui, ut erat natura comis, matronae oratione commotus, crucem, quam petierat, misit ac plenam securitatem dedit. ita cum templo egressa esset, eam cum filiabus nuribusque includi iussit in Petriorum monasterium feminarum, prope Sideram situm. etiam consoceram eius Caesaris Iohannis coniugem, protovestiariam dignitate, ex dominae nostrae deiparae in Blachernis aede arcessitam, in eodem esse iussit Petriorum monasterio. ceterum cellas vinarias et penarias omnemque rem familiarem integram serva-

πρωΐαν ἄμφω τοῖς φυλάττουσι προσερχόμεναι ἐπυνθάνοντο, εἴ τι ἀπὸ τῶν παίδων αὐτῶν μεμαθήκεσαν. οἱ δὲ ἁπλοϊκώτερον αὐταῖς προσφερόμενοι, ἀπήγγελλον ἅπαν τὸ ἀκουσθέν. ἡ δὲ πρωτοβεστιαρία ἐλευθέρα καὶ χεῖρα καὶ γνώμην οὖσα, βουλομένη τε τοὺς φυλάσσοντας σφετερίσασθαι, ἐπέταττεν αὐτοῖς ἀναλαμβάνεσθαι ἀπὸ τῶν βρωσίμων εἰς ἰδίαν χρῆσιν ὁπόσα καὶ βούλοιντο· ἐφεῖτο γὰρ αὐτοῖς ἀπαρεμποδίστως εἰσάγεσθαι τὰ πρὸς χρείαν. ἐντεῦθεν προ- C θυμότεροι πρὸς τὰς ἀπαγγελίας οἱ φύλακες ἐγεγόνεισαν, κἄκτοτε ἔκφορα πάντα ποιούντων ἐκείνων, οὐδὲν αὐτὰς διελάνθανε.

6. Τὰ μὲν οὖν κατὰ τὰς γυναῖκας τοιαῦτα. οἱ δέ γε Κομνηνοὶ φθάσαντες τὴν περὶ τὸ βραχιόνιον τῶν Βλαχερνῶν ἱσταμένην πύλην καὶ τὰς κλεῖς κατεάξαντες, ἀδεῶς ἐξεληλύθεισαν εἰς τοὺς βασιλικοὺς ἱπποστάθμους. καὶ τοὺς μὲν τῶν V. 48 ἵππων αὐτοῦ που καταλιμπάνουσι, πρότερον τοὺς ὄπισθεν πόδας ἀπ' αὐτῶν τῶν μηρῶν τῷ ξίφει ἀποτεμόντες, τοὺς δ' ἀναλαβόμενοι ὅσοι τούτοις ἔδοξαν χρησιμώτεροι, ἐκεῖθεν ταχέως τὸ ἀγχοῦ που τῆς μεγαλοπόλεως μοναστήριον, ὃ Κοσμίδιον ἐπωνόμασται, καταλαμβάνουσι. καὶ γάρ, ἵνα μεταξύ D πως ἐπιδιηγησαίμην καὶ σαφέστερον ἡμῖν ὁ λόγος προΐῃ, τὴν εἰρημένην ἄνωθεν πρωτοβεστιαρίαν, πρινὴ τὸν βασιλέα ταύτην μετακαλέσασθαι, ὡς ὁ λόγος φθάσας ἐδήλωσε, κεῖθι κα-

2. μεμαθηκέτωσαν CG. 3. ἀπήγγειλον G. 5. φυλάττοντας G. 6. ἐνέταττεν G. βροσίμων PG, recte C. 13. Κομνηνοὶ : ἀποστάται A. Βλαχερνῶν : βρόχων P in margine. 17. δὲ A. 19. πω G. 23. καταλαβόντες : καταλαβὼν τὰ G.

vit. quotidie mane adibant ambae custodes, ecquid de filiis audivissent, sciscitantes. illi, qui simplicius cum iis agerent, enarrabant quaecunque perceperant. quos ut sibi magis adiungeret protovestiaria, animo ingenuo ac summa liberalitate mulier, iussit eos, quantum cibi vellent, de sua copia capere. quae enim ad victum pertinebant, quo minus importarentur, nihil obstabat. unde custodes tam faciles dehinc ad narranda omnia, quaecunque audiverant, habebant, ut nihil quidquam eas lateret.

6. Hactenus de mulieribus. Comneni porta, quae ad propugnaculum Blachernarum erat, occupata clavibusque fractis, tutum ad imperatoria stabula exitum habuere; unde abductis equis, qui utiliores viderentur, reliquorum posterioribus pedibus ab ipsis femoribus ferro recisis, celeriter ad monasterium prope urbem, Cosmidium nomine, se contulerunt. namque, ut hic nonnihil addam, quo narratio

ταλαβόντες, ταύτῃ τε συνετάττοντο ἐπὶ τῷ ἐξελαύνειν ἐκεῖθεν καὶ Γεώργιον τὸν Παλαιολόγον ἀνέπειθον μεθ' ἑαυτῶν συλλαβεῖν καὶ συναπαίρειν αὐτοῖς κατηνάγκαζον. οὔπω γὰρ ἦσαν ἔκφορα τὰ κατ' αὐτοὺς θέμενοι πρὸς τὸν ἄνδρα δι' ὑποψίαν εὐπρόσωπον. ἦν γὰρ ὁ πατὴρ τοῦ Γεωργίου τουτουῒ τῷ βασιλεῖ εὐνούστατος ἐς τὰ μάλιστα, καὶ τῆς τοιαύτης βουλῆς πρὸς τοῦτον ἀπογύμνωσις οὐκ ἀκίνδυνος. τὰ μὲν οὖν πρῶτα ὁ Παλαιολόγος πρὸς τούτους οὐκ εἶχεν εὐαγώγως, πολλά τε ἀντιτεινόμενος καὶ προσονειδίζων τὸ εἰς ἐκεῖνον τούτων βούλημα καὶ ὅτι ὕστερον, τοῦτο δὴ τὸ πεπαροιμιασμένον, νοῦν οἴσαντες καὶ τοῦτον ἀνακαλοῦνται. ἐπεὶ δὲ καὶ ἡ πρωτοβεστιαρία ἡ τοῦ Παλαιολόγου πενθερὰ βαρεῖα ἐνέκειτο τούτῳ συνεξελθεῖν καὶ ἀπειλοῦσα αὐτῷ τὰ δεινότατα, μαλακώτερος γίνεται. φροντίζει δὲ τὸ ἐντεῦθεν περὶ τῶν γυναικῶν, τῆς P. 55
τε αὐτοῦ γαμετῆς Ἄννης καὶ Μαρίας τῆς πενθερᾶς αὐτοῦ, τὰ πρῶτα τοῦ γένους ἐκ τῶν Βουλγάρων ἐχούσης, κάλλους δὲ τοσοῦτον ἐπισυρομένης καὶ εὐαρμοστίας μελῶν καὶ μερῶν, ὥστε μηδεμίαν φανῆναι κατ' ἐκεῖνο καιροῦ τὴν ταύτης ὡραιοτέραν. οὐκ ἄνευ οὖν φροντίδος ἦσαν τὰ κατ' αὐτὴν τῷ Παλαιολόγῳ καὶ Ἀλεξίῳ. ταύτῃ τοι καὶ γνώμης ἔσχον οἱ ἀμφὶ τὸν Ἀλέξιον, ἐκεῖθεν ἀνελόμενοι ταύτας, οἱ μὲν εἴς τι φρούριον ἀπαγαγεῖν, ὁ δὲ Παλαιολόγος εἰς τὸ ἐν Βλαχέρναις τέμενος

2. συλλαβεῖν om. P. 3. αὐτοὺς P. 8. οὐχ P. 12. τοῦτο G. 14. τῆς ἑαυτοῦ P. 17. εὐαρμοστίαν G. 18. τὴν om. G. 20. γνώμην C.

fiat dilucidior, protovestiariam, cuius mentionem feci, priusquam imperator eam, ut supra enarravimus, arcessivisset, ibi convenerunt eique hinc profecturi vale dixerunt; et Georgium Palaeologum in partes suas traxerunt atque, ut secum deficeret, adegerunt. prius consilia cum eo communicare ausi non erant, cum merito esset suspectus. nam pater Georgii studiosissimus imperatoris erat, ut non sine periculo aperiri tale consilium posset. ac primo Palaeologus haud se facilem praebuit; quin multum obnitens, reprehendit illorum contra imperatorem inceptum et quod, deteriore inito consilio, se quoque in societatem vocarent. sed cum etiam protovestiaria, Palaeologi socrus, ut una proficisceretur, instaret et gravissima minitaretur, animo flectebatur. nec nisi de mulieribus iam sollicitus erat, Anna uxore et Maria socru, nobilissimo inter Bulgaros loco orta, tanta pulchritudine ac concinnitate totius corporis, ut omnium illius temporis mulierum formosissima haberetur. quas ut in tuto collocarent, cum Palaeologo et Alexio cordi esset, hoc quidem loco eas amovendas censebant; sed alter in arce quapiam, alter in deiparae aede in Blachernis sita

B τῆς θεομήτορος. καὶ κρατεῖ ἡ τοῦ Γεωργίου γνώμη. εὐθὺς οὖν ἀπελθόντες μετ' αὐτῶν παρέθεντο ταύτας τῇ πανάγνῳ μητρὶ τοῦ τὰ πάντα συνέχοντος λόγου. αὐτοὶ δὲ παλινοστήσαντες ὅθεν ἐξῄεσαν, ἐσκόπουν ὅ τι δὴ καὶ ποιήσαιεν. ὁ δὲ Παλαιολόγος "ὑμᾶς μὲν" φησιν "ἀπέρχεσθαι χρή· ἐγὼ δὲ τάχιον ὑμᾶς καταλήψομαι, τὰ προσόντα μοι χρήματα συνεπιφερόμενος." ἔτυχε γὰρ πᾶσαν τὴν ἐν κινητοῖς αὐτοῦ θεωρουμένην περιουσίαν ἔχων ἐγκειμένην ἐκεῖσε. μὴ μελήσαντες γοῦν εὐθὺς τῆς προκειμένης ὁδοιπορίας εἴχοντο· ἐκεῖνος C δὲ τοῖς τῶν μοναχῶν ὑποζυγίοις ἐπεισάξας τὰ ἑαυτοῦ, ὄπισθεν αὐτῶν ἤλαυνε. καὶ φθάσας σὺν τούτοις εἰς Τζουρουλόν, (κώμη δὲ καὶ αὕτη Θρᾳκικὴ διασώζεται,) κἀκεῖσε τυχαίως τῷ ἐξ ἐπιταγῆς τοῦ δομεστίκου καταλαβόντι στρατεύματι ἡνώθησαν ἅπαντες. δέον οὖν κρίναντες περὶ τῶν συμπεσόντων αὐτοῖς δηλῶσαι τῷ Δούκᾳ Ἰωάννῃ τῷ καίσαρι ἐν τοῖς ἰδίοις κτήμασι τῶν Μωροβούνδου αὐλιζομένῳ, ἀπεστάλκασι τὸν τὴν πρᾶξιν ἐκείνων μηνύσοντα. φθάσας δὲ ὁ τὴν ἀγγελίαν ἐκείνην κομίζων περὶ δείλην ἑῴαν, ἔξω τῶν οὐδῶν τῆς αὐλίδος εἱστήκει τὸν καίσαρα ἀναζητῶν. ἰδὼν δὲ τοῦτον ὁ ἔγγο- D νος αὐτοῦ Ἰωάννης, νέος ἔτι ὢν καὶ μήπω μειράκιον καὶ διὰ τοῦτο ἀδιασπάστως συνὼν τῷ καίσαρι, δρομαῖος εἴσεισι καὶ

3. τὰ add. C. 6. καταλείψομαι G. 8. lege μελλήσαντες. 13. ἐπιταγκος G. καταλαβόντι C, καταλαμβάνοντες A, καταλαμβάνοντι PG. 14. ἡνώθεσαν G. κρίνοντες A. 16. τῶν : an τοῖς? Μοροβούνδου G, Μοροβίσδου coni. Wilken. Hist. Comn. p 84. vid. annotat. ἐπεστάλκασι A. 17. πρᾶξιν : ἀποστασίαν A. ἐκείνων CG, ἐκείνῳ PA. μηνύσοντα A, μηνύσαντα PG. 21. δρομαίως C.

collocandas existimabant. vicit tandem Georgii sententia. statim igitur feminas hinc abductas sanctissimae Verbi omnia continentis matri credebant; ipsi reversi, unde profecti erant, quid facto opus esset, consultabant. Palaeologus "vos, inquit, praeire oportet; ego mox sequar, rem meam familiarem mecum allaturus." forte enim omnia sua bona, quae moveri poterant, illic deposuerat. itaque Comneni nihil cunctati viam ingrediuntur; ille vero, postquam monachorum iumentis bona imposuit, eodem pergit. cumque Tzurulum, qui est vicus Thraciae, una cum iis advenisset, percommode accidit, ut exercitus a domestico convocatus adesset. iam ad Ducam Iohannem Caesarem, in praediis suis Morobundianis commorantem, miserunt, qui de iis, quae sibi accidissent, certiorem faceret. accelerato nuntius itinere, diluculo extra aedium limina constitit atque ad Caesarem aditum petiit. quem conspicatus Iohannes, Caesaris nepos, qui adhuc puerulus

καθεύδοντα τοῦτον διυπνίσας, ἀπαγγέλλει τὸ παρὰ τῶν Κομνηνῶν γινόμενον. ὁ δ' εὐθὺς πληγεὶς τῇ ἀκοῇ ῥαπίζει τὸν υἱὸν κατὰ κόρρης, καὶ μὴ τοιαῦτα ληρεῖν ἐπειπών, ἀπώσατο. κἀκεῖνος μετὰ μικρὸν πάλιν εἰσελθών, τὴν αὐτὴν ἀγγελίαν κομίζει, προσθέμενος καὶ τὸν ἀπὸ τῶν Κομνηνῶν πρὸς αὐτὸν ἀποτοξευόμενον λόγον. εἶχε δὲ ὁ λόγος μεταξύ που καί τι ἀστειότατον, τὴν τοιαύτην πρᾶξιν αὐτοῦ συναινιττόμενον· ὡς "ἡμεῖς μὲν" φησιν "ὄψον μάλα καλὸν ηὐτρεπίσαμεν καὶ καρυκείας οὐκ ἄτερ· σὺ δὲ ἀλλ' εἰ βούλει τῆς εὐωχίας μεταλαβεῖν, τὴν ταχίστην ἧκειν τῆς πανδαισίας μεταληψόμενος." V. 49 ἀνακαθίσας οὖν καὶ ἐπὶ τοῦ δεξιοῦ ἀγκῶνος ἑαυτὸν ἐπερείσας, εἰσαγαγεῖν τὸν ἐκεῖθεν ἐλθόντα κελεύει. τοῦ δὲ πάντα τὰ κατὰ τοὺς Κομνηνοὺς διηγησαμένου, "φεῦ μοι" ὁ καῖσαρ εἰπών, εὐθὺς ἐπιβάλλει τὰς χεῖρας ταῖς ὄψεσιν· ἐπὶ μικρὸν δὲ καὶ τῆς ὑπήνης περιδραξάμενος, οἷον ἐν τοσούτῳ P. 56 λογισμοὺς πολλοὺς ἀνελίττων, εἰς ἓν τοῦτο ἤρεισεν ἑαυτόν, συνακολουθῆσαι κἀκεῖνον τῷ τούτων θελήματι. εὐθὺς οὖν μετακαλεσάμενος τοὺς ἱπποκόμους καὶ τοῦ ἵππου ἐπιβάς, τῆς πρὸς τοὺς Κομνηνοὺς φερούσης ἥψατο. καὶ Βυζαντίῳ δέ τινι καθ' ὁδὸν ἐντυχὼν χρυσοῦ βαλάντιον ἱκανὸν ἐπιφερο-

3. υἱωνὸν P in margine. 6. ὁ λόγος : ἡ ἀγγελία A. 7. ἀστειότερον A. τοιαύτην πρᾶξιν : τυραννίδα P in margine et A. 9. μεταλαβεῖν CG, μεταλαχεῖν PA. 10. ἧκειν A, ἧκε PG. πανδοσίας G. μεταληψάμενος G. 14. ταῖς ὄψεσιν om. CG. 15. καὶ om. G. 17. συναποστατῆσαι τούτοις κἀκεῖνος προέθετο A. 19. φερούσης πορείας A. καὶ om. A. 20. βαλάντια ἱκανὰ A.

erat nec eam ob causam a Caesaris latere unquam discedebat, accurrit dormientemque excitans, defecisse Comnenos nuntiat. Caesar hac voce perculsus, puerum alapa inflicta, ut nugari desineret, admonuit aspulitque. at ille, paulo post iterum ingressus, eundem nuntium refert, ipsa Comnenorum ad eum adhortatione addita. in qua quidem inerat sententia lepidissime expressa, qua simul quid factum esset ab Alexio, ita significabatur: "nos opsonium paravimus opulentum nec sine condimentis; tu, si adhiberi ad convivium vis, fac quam primum adsis, lautissimi epuli particeps futurus." Iohannes, erectus in dextrum cubitum, introduci nuntium iubet, a quo cum audivisset, quae a Comnenis gesta erant, "heu mihi" exclamat, manus obtendens oculis. ac barba parumper prehensa, ut qui multa secum interea reputaret, in hoc tandem animum defixit, ut et ipse voluntati eorum obsequendum duceret. statim igitur equisonibus arcessitis et equo conscenso, ad Comnenos proficiscitur. in via obviam factus Byzantio, qui satis magnam vim auri Cpolim portabat, Homericis illis verbis eum interrogat, quis et unde gentium esset; cumque cognovisset, multum

μένῳ καὶ πρὸς τὴν μεγαλόπολιν ἀπιόντι, ἤρετο αὐτόν, τοῦτο δὴ τὸ Ὁμηρικόν, "τίς πόθεν εἰς ἀνδρῶν;" καὶ ἐπειδὴ παρ' αὐτοῦ ἐμάνθανεν, ὅτι τε πολὺν χρυσὸν ἐπιφέρεται ἀπό τινων εἰσπράξεων καὶ ὅτι πρὸς τὸν κοιτῶνα τοῦτον διακομίζει, βιάζεται τοῦτον συγκαταλῦσαι αὐτῷ, ὑπισχνούμενος ὡς ἅμα B ἡμέρᾳ οὗπερ ἂν βούλοιτο, βαδιεῖται. τοῦ δὲ ἐνισταμένου καὶ βαρέως φέροντος τοῦτο, ὁ καῖσαρ σφοδρότερον ἐπετίθετο καὶ ἔπεισε λέγων, ὁποῖος ἐκεῖνος ἐπιτρόχαλος ἐν λόγοις καὶ δεινὸς ἐν νοήμασι, πειθώ τε ἐν γλώττῃ φέρων, ἧπερ Αἰσχίνης ἄλλος ἢ Δημοσθένης. συμπαραλαβὼν οὖν τὸν τοιοῦτον, καταλύει ἔν τινι δωματίῳ καὶ παντοίως φιλοφρονησάμενος τραπέζης τε ἀξιώσας καὶ διαναπαύσας καλῶς παρακατέσχε τὸν ἄνδρα. κατὰ τὸ περίορθρον δὲ ἤδη, ὅτε καὶ ὁ ἥλιος τὸν ἀνατολικὸν ὁρίζοντα καταλαμβάνειν ἐπείγεται, ὁ μὲν Βυζάντιος ἐπιθέμενος τὰς ἐφεστρίδας τοῖς ἵπποις εὐθὺ Βυζαντίδος C ἐλαύνειν ἠπείγετο. τοῦτον δὲ ὁ καῖσαρ θεασάμενος, "ἔα" φησί "καὶ συμπορεύου μεθ' ἡμῶν." ὁ δὲ μηθ' ὅπου πορεύεται γινώσκων, παντάπασι δὲ καὶ τὴν αἰτίαν δι' ἣν τῆς τοιαύτης φιλοφροσύνης ἠξίωται ἀγνοῶν, πάλιν δυσανασχετῶν ἦν καὶ ὑπόπτως εἶχε πρὸς τὸν καίσαρα καὶ τὰς φιλοφροσύνας τοῦ καίσαρος. ὁ δὲ ἐπέκειτο ἕλκων αὐτόν· ὡς δ' οὐχ ὑπήκουε, μεταβαλὼν τραχυτέροις πρὸς τοῦτον ἐκέχρητο ῥήμασιν, εἰ μὴ τὸ προσταττόμενον ποιήσειε. μὴ ὑπακούοντος δέ, προσ-

4. εὐπράξεων G. 5. αὐτὸν τούτῳ συγκαταλῦσαι A. 10. τὸν τοιοῦτον : αὐτὸν A. 16. τοῦτο? 22. μεταλαβὼν G. 23. παραταττόμενον PG, alterum CA et PG in margine.

eum pecuniae vectigalis ad cubiculum imperatoris ferre, flagitat, ut secum divertat; postridie, quo vellet, abire passurum. cunctanti illi ac moleste ferenti institit vehementius, donec impetravit. quippe miro erat orationis cursu sententiarumque gravitate, ac persuadendo valebat quasi Aeschines alter vel Demosthenes. cum hoc igitur diversoriolum quoddam ingressus, omni comitate et accumbere secum eum iussit et nocte ut commode cubaret, curavit. sub diluculum, cum sol orbem conscendere properat, properavit etiam Byzantius, equis stratis, in urbem pergere. quo conspecto, Caesar "desiste, inquit, et nobiscum veni." sed ille, qui nec, quo proficisceretur, sciret, neque omnino causam, quamobrem tam benigne ab illo exceptus esset, teneret, iterum abnuebat, Caesarem eiusque blanditias suspectans. is contra instare, reluctantem trahere et graviora minari, nisi, quae iussus esset, faceret. ubi ne sic quidem obtemperavit, sarcinas eius omnes suis adiungi et iter continuari iussit; ipsi, quocunque liberet, veniam eundi dedit. qui cum neque regiam auderet adire, veritus ne in cu-

τάττει τὰ μὲν προσόντα αὐτῷ ἅπαντα τοῖς ἰδίοις ἑνωθῆναι ὑποζυγίοις καὶ τὴν προκειμένην πορεύεσθαι, ἐκείνῳ δὲ ἄδειαν δίδωσιν ὅπη βούλοιτο ἀπιέναι. ὁ δὲ τὴν μὲν εἰς τὰ βασίλεια D
εἴσοδον παντελῶς ἀπαγορεύσας, ἅτε δεδιὼς μὴ καὶ ἔμφρουρος γένηται διὰ τὸ κεναῖς χερσὶν τοῖς ἀμφὶ τὸν βασιλικὸν κοιτῶνα ὀφθῆναι, παλινδρομῆσαι δὲ μὴ θέλων διὰ τὴν τοῖς πράγμασιν ἐπεισπεσοῦσαν ἀκαταστασίαν καὶ σύγχυσιν ἐκ τῆς ἀνακυψάσης ἤδη τῶν Κομνηνῶν ἐπιχειρήσεως, καὶ μὴ βουλόμενος συνείπετο τῷ καίσαρι. γίνεται δέ τι κατὰ συντυχίαν τοιοῦτον. ἀπερχόμενος ὁ καῖσαρ περιέτυχε Τούρκοις ἄρτι διαπερῶσι τὸν Εὖρον καλούμενον ποταμόν. ἀνασειράσας οὖν τὸν χαλινόν, ἐπυνθάνετο ὅθεν καὶ ὅποι πορεύονται, ἅμα δὲ καὶ ὑπισχνεῖτο χρήματά τε πολλὰ δώσειν καὶ παντοίας θεραπείας ἀξιῶσαι, εἰ πρὸς τὸν Κομνηνὸν σὺν αὐτῷ φοιτήσουσι. συντίθενται οὖν τηνικαῦτα. καὶ ὃς ὅρκον ἐκ τῶν ἡγεμόνων αὐτῶν ἀπαιτεῖ, ἐμπεδῶσαι τὰς συνθήκας διὰ τούτου βουλόμενος. οἱ δ' εὐθὺς κατὰ τὸ εἰθισμένον αὐτοῖς τὸν ὅρκον ἐπλήρουν, συμμαχῆσαι τῷ Κομνηνῷ μάλα προθύμως διαβεβαιούμενοι. ἄπεισι τοίνυν συμπαραλαβὼν καὶ τοὺς Τούρκους πρὸς τοὺς Κομνηνούς. οἱ δὲ πόρρω τοῦτον θεασάμενοι καὶ τὴν καινὴν ἄγραν ὑπεραγασάμενοι καὶ μάλιστα τούτων P. 57
οὑμὸς πατὴρ Ἀλέξιος, οὐκ εἶχον ὑφ' ἡδονῆς ὅ τι καὶ δράσαιεν. προϋπαντήσας δὲ καὶ περιπλακεὶς τὸν καίσαρα κατη-

2. δὲ om. G. 4. ἔμφρουρος G, ἐμφρούριος P. 6. δὲ πάλαι μὴ P, πάλαι om. G. an δὲ πάλιν? 11. ποταμὸν om. CG. 12. καὶ om. A. ὅπη G. ἅμα A, ἀλλὰ PG. 14. φοιτήσωσι A. 15. συντίθεται GA. ὅρκων P. 16. τούτου A, τοῦτο PG.

studiam traderetur, si ad quaestores sine pecunia venisset, neque rursus propter rerum motum ac perturbationem, ex emergente iam Comnenorum coniuratione ortam, domum reverti vellet, Caesarem vel invitus secutus est. forte autem contigit, ut Caesar, cum iter hinc pergeret, Turcis obviam fieret, qui modo Eurum fluvium traiecerant. adductis igitur habenis subsistens, postquam unde et quo tenderent, interrogavit, magnam iis mercedem et omnis generis beneficia promisit, si ad Comnenos secum proficiscerentur. ubi annuerunt, ille iusiurandum a ducibus eorum exegit, quo pactum confirmaretur. hi statim consuetudine sua iureiurando dato, Comneno se auxilio fore, alacriter pollicentur. itaque Caesar cum Turcis ad Comnenos processit; quem cum procul illi conspexissent, nova praeda incredibiliter laetati, maxime Alexius pater meus, prae gaudio, quid agerent, nesciebant, progressusque obviam Alexius, Caesarem amplexus et osculatus est. quid deinde? ingrediuntur, Caesare

σπάζετο. τί τὸ ἐντεῦθεν; τῆς πρὸς τὴν βασιλεύουσαν ἀπαγούσης ἥψαντο, τοῦ καίσαρος τοῦτο ὑποθεμένου καὶ ἐπισπεύδοντος. ἅπαντες οὖν οἱ κατὰ τὰς κωμοπόλεις αὐτόμολοι προσερχόμενοι ἐφήμιζον τοῦτον βασιλέα, πλὴν τῶν κατὰ τὴν Ὀρεστιάδα. ἐκεῖνοι γὰρ ἐγκοτοῦντες πάλαι αὐτῷ διὰ τὴν τοῦ Βρυεννίου κατάσχεσιν, τῷ μέρει τοῦ Βοτανειάτου προσέ-
V. 50 κειντο. καταλαβόντες οὖν τὸν Ἀθύραν κἀκεῖσε διαναπαυσά-
B μενοι, τὴν μετ' αὐτὴν ἐκεῖθεν ἀπάραντες, τὰ Σχιζὰ κατέλαβον, (κώμη δὲ καὶ τοῦτο Θρᾳκική,) κεῖθι τὸν χάρακα πηξάμενοι.

7. Μετέωροι δὲ ἦσαν ἅπαντες καραδοκοῦντες τὸ μέλλον καὶ τὸν ἐλπιζόμενον ἀναρρηθῆναι βασιλέα ἐπιποθοῦντες ἰδεῖν. οἱ πλείους δὲ Ἀλεξίῳ τὸ κράτος ἐπηύχοντο, ἀλλ' οὐδ' οἱ περὶ τὸν Ἰσαάκιον ἀναπεπτώκεσαν, ὡς ἐνόν, ἅπαντας μεταχειριζόμενοι. στάσις δὲ ἦν ἀσύμβατος κατὰ τὸ φαινόμενον, τῶν μὲν τοῦτον, τῶν δ' ἐκεῖνον οἰακοστρόφον τῆς βασιλικῆς περιωπῆς ἱμειρομένων γενέσθαι. παρῆσαν δὲ τότε καὶ οἱ ἐξ ἀγχιστείας τῷ Ἀλεξίῳ προσήκοντες, ὁ ἄνωθεν μνημονευθεὶς
C καῖσαρ Ἰωάννης ὁ Δούκας, ἀνὴρ καὶ βουλεύσασθαι ἱκανὸς καὶ καταπράξασθαι περιδέξιος, ὃν κἀγὼ ἐπ' ὀλίγον φθάσασα τεθέαμαι, καὶ Μιχαὴλ καὶ Ἰωάννης οἱ τούτου ἔγγονοι, ναὶ μὴν καὶ ὁ τούτων ἐπ' ἀδελφῇ γαμβρὸς Γεώργιος ὁ Παλαιο-

2. ἐπισπεύσαντος A. 4. τοῦτον : τὸν Ἀλέξιον A. 6. Βοτανιάτου GA. 7. δ' ἱκανὰ παυσάμενοι G. 8. αὐτῇ A. 11. δ' G. πάντες G. 12. ἰδεῖν om. CG. 14. ἅπαντες G. 17. ἡμειρομένων P. 22. καὶ om. G.

suasore et impulsore, viam, quae in urbem ducit. passim ex oppidis homines ultro affluebant imperatoremque salutabant Alexium, praeter Orestiadis incolas; qui cum pridem ei propter captum Bryennium infensi essent, a Botaniatis partibus stabant. Athyrae unum diem ad sedandam lassitudinem morati, Schiza perrexere, qui et ipse vicus Thraciae est, ibique castra posuerunt.

7. Suspenso autem animo omnes, quid futurum esset, exspectabant, dum pro suo quisque studio imperatorem deposcunt. plerique Alexio eam dignitatem optabant. sed nec Isaacii quidem familiares otiosi erant; quin omnes, quantum poterant, sollicitabant. ita res vix conventura videbatur, alteris hunc, alteris illum ad imperii gubernacula provehi cupientibus. aderant tum temporis, qui affinitate cum Alexio coniuncti erant, Caesar Iohannes Ducas, quem supra memoravi, promptus excogitandis, acer exsequendis rebus, quem et ego per breve tempus olim vidi; praeterea Michael et Iohannes nepotes eius et qui horum sororem in matrimonio habebat, Georgius Palaeo-

λόγος, συμπαρόντες αὐτοῖς καὶ ἀγωνιῶντες καὶ τὰς ἁπάντων πρὸς τὸ αὐτοῖς βουλητὸν διαστρέφοντες γνώμας, καὶ πάντα κάλων, ὅ φασι, κινοῦντες καὶ πᾶσαν μηχανὴν εὐφυῶς τεχναζόμενοι, ὥστε τὸν Ἀλέξιον ἀναῤῥηθῆναι. τοιγαροῦν καὶ τὰς ἁπάντων πρὸς τὸ αὐτοῖς βουλητὸν μετέφερον γνώμας. ἔνθεν τοι καὶ τοὺς τῷ Ἰσαακίῳ προσανέχοντας κατὰ βραχὺ ἐλαττοῦσθαι συνέβαινεν. ὅπου γὰρ Ἰωάννης ὁ καῖσαρ ἦν, οὐδεὶς τῶν ἁπάντων ἀντέχειν ἠδύνατο. ἦν γὰρ ἀπαράμιλλος D οὗτος κατά τε φρονήματος ὄγκον καὶ σώματος μέγεθος καὶ μορφὴν τυράννῳ προσήκουσαν. τί μὲν οὐκ ἔπραττον οἱ Δοῦκαι; τί δὲ οὐκ ἔλεγον; τί δὲ οὐχ ὑπισχνοῦντο ἀγαθὸν ἔσεσθαι τοῖς τε λογάσι καὶ τῷ κοινῷ τοῦ στρατοῦ, εἰ ἐπὶ τὴν βασίλειον περιωπὴν Ἀλέξιος ἀναβαίνῃ; φάσκοντες ὡς "μεγίσταις ὑμᾶς δωρεαῖς καὶ τιμαῖς ἀνταμείψεται, ὡς ἑκάστῳ προσήκει καὶ οὐχ ὡς ἔτυχε, καθάπερ οἱ ἀμαθεῖς καὶ ἄπειροι τῶν ἡγεμόνων, διὰ τὸ καὶ στρατοπεδάρχης ὑμῶν χρόνον ἤδη πολὺν χρηματίσαι καὶ μέγας τῆς ἑσπέρας δομέστικος, καὶ κοι- P.58 νῶν ἁλῶν ὑμῖν μετασχεῖν, ἐν λόχοις τε καὶ τοῖς κατὰ συστάδην πολέμοις γενναίως ὑμῖν συναγωνιζόμενος, μὴ σαρκῶν, μὴ μελῶν, μηδὲ τῆς ψυχῆς αὐτῆς ὑπὲρ τῆς ὑμῶν φειδόμενος σωτηρίας, ὄρη τε καὶ πεδιάδας μεθ' ὑμῶν πολλάκις διελθών, τὰς ἐκ τῶν μόθων κακοπαθείας ἐπιστάμενος, καὶ ἀκριβῶς ἅπαντας ὁμοῦ καὶ καθ' ἕνα γινώσκων, Ἀρηΐφιλός τε ὢν καὶ

18. λόχοις P in margine, λόγοις PG. 19. ἡμῖν G. 20. φεισάμενος P. 21. ἐλθὼν P. 22. μόχθων CG. καὶ κακοπαθείας G.

logus. hi sibi invicem adesse, laborare, multitudinem ad suam sententiam traducere, omnem, quod aiunt, movere funem, omnem callide adhibere machinam, ut Alexius renuntiaretur. ita versa hominum sententia, numerus eorum, qui Isaacio favebant, paulatim imminutus est. etenim nemo unus resistere potuit, ubi Iohannes Caesar erat, qui et ingenio et corporis proceritate et forma regia omnes longe superabat. quid autem a Ducis non factum, quid non dictum, quid non promissum cum singulis ducibus, tum universo exercitui, si Alexius imperatoris dignitate ornaretur? "maximis, inquibant, donis honoribusque vos afficiet pro cuiusque merito, nec forte quadam, quemadmodum imperiti et ignari duces solent; propterea quod tam diu dux vester est et magnus Occidentis domesticus, eadem vobiscum mensa usus et, sive insidiandum sive acie pugnandum erat, periculorum socius fortissimus; qui nec corpori, nec vitae ipsi pepercit, ubi salus agebatur vestra; qui montes agrosque saepe vobiscum peragravit et quanti in militia labores ferendi sint, ipse expertus est; qui ut uni-

τοὺς γενναίους τῶν στρατιωτῶν ἐξόχως ποθῶν." ἀλλὰ ταῦτα
μὲν οἱ Δοῦκαι· ὁ δέ γε Ἀλέξιος πολλῆς τιμῆς ἠξίου τὸν
Ἰσαάκιον, ἐν πᾶσιν αὐτὸν προτιμώμενος, εἴτε διὰ τὸ φίλτρον
B τῆς ἀδελφότητος ἢ καὶ μᾶλλον, ὃ καὶ λεκτέον, ἐπειδὴ ἡ μὲν
στρατιὰ ξύμπασα πρὸς τοῦτον ξυνέρρει καὶ τὴν αὐτοῦ βασι-
λείαν κατέσπευδε, πρὸς δὲ τὸν Ἰσαάκιον οὐδ' ὁπωστιοῦν
ἐπεστρέφετο, ἔχων ἐκεῖθεν τὸ κράτος καὶ τὴν ἰσχὺν καὶ κατ'
ἐλπίδας αὐτῷ τὸ πρᾶγμα γινόμενον ὁρῶν, παρεμυθεῖτο τὸν
ἀδελφὸν τῇ πρὸς τὴν βασιλείαν ὑποποιήσει, πρᾶγμα οὐδὲν
ἐκ τούτων πάσχων ἀβούλητον, εἰ αὐτὸς μὲν παρὰ τῆς στρα-
τιᾶς ἁπάσης εἰς τοὺς ὑπερηφάνους ἄξονας ἀναρπάζοιτο, ὁ
δὲ λόγοις ὑποσαίνοι τὸν ἀδελφὸν καὶ πρόσχημα ποιοῖτο τὴν
τοῦ κράτους δῆθεν ἐκχώρησιν. τοῦ καιροῦ γοῦν οὕτω τριβο-
C μένου, συνείλεκτο τὸ ὁπλιτικὸν ἅπαν περὶ τὴν σκηνήν, με-
τέωροι ὄντες καὶ τὴν ἰδίαν ἕκαστος ἐπιθυμίαν εὐχόμενος τε-
V. 51 λεσθῆναι. ἀναστὰς δὲ ὁ Ἰσαάκιος καὶ λαβὼν τὸ φοινικοβα-
φὲς πέδιλον ὑποδιδύσκειν τὸν ἀδελφὸν ἐπειρᾶτο· ὡς δὲ ἐκεῖ-
νος πολλάκις ἀνένευεν, "ἔα" φησίν, "ὁ θεὸς διὰ σοῦ τὸ γέ-
νος ἡμῶν ἀνακαλέσασθαι βούλεται." ἀναμνήσας καὶ ὧν ὁ
φανείς ποτε περί που τὰ Καρπιανοῦ λεγόμενα, ἐκ τῶν βα-
σιλείων οἴκαδε ἀπερχομένων ἀμφοτέρων τῶν ἀδελφῶν, πρὸς
αὐτὸν ἀπεφοίβασεν. ἐκεῖσε γὰρ γενομένοις ἀνήρ τις τούτοις

2. γε om. G. 3. τὸ om. G. 10. τούτου G. 12. ὑποσαίνει C. 17. δ' A. 20. Καρπιανοῦ CG, Καρπιανῶν P, καρπιανὰ A. vid. annotat. 21. ἀμφοτέρων om. A. 22. γενόμενος G.

versos, ita unumquemque vestrum bene novit et cum ipse forti animo sit, strenuos milites plurimi facit." haec quidem Ducae; Alexius autem fratrem summo in omnibus rebus honore habebat, vel propter fraterni amoris vim, vel potius, (nam et hoc dicendum est,) cum universus exercitus ad Alexium se converteret et ut imperium acciperet urgeret, Isaacio autem ne tantulum quidem studeret, tanquam imperio sibi certo et rebus ad voluntatem fluentibus, consolabatur fratrem spe imperio potiundi, nihil incommodi inde capturus, si ipse ab universo exercitu ad summos honores quasi abreptus, fratri subblandiretur verbis et cedentis speciem prae se ferret. ita cum tempus trivissent, milites ad praetorium convocantur, magna exspectatione et sua quisque vota rata ut fiant optantes. surrexit Isaacius purpureumque calceum fratri induere conatur. quo saepius recusante, "sine, inquit; per te deus genus nostrum ad pristinam dignitatem revocare vult." simul oraculum in mentem ei revocat, quod olim ad locum, qui Carpiani vocatur, cum ex regia uterque frater domum redibat, proditum erat. nam eo cum pervenissent, obviam fit homo

ὑπηντηκώς, εἴτε τῶν κρειττόνων τις ὢν ἢ ἄλλως ἄνθρωπος, τῶν μελλόντων, ὡς ἀληθῶς εἰπεῖν, διορατικώτατος· ἐδόκει δ' οὖν ἱερεὺς τὸ φαινόμενον, ἀπὸ γυμνῆς τῆς κεφαλῆς προσ- D
ερχόμενος, πολιὸς τὴν τρίχα, τὸ γένειον λάσιος· ἐπιλαμβάνεται τῆς κνήμης τοῦ Ἀλεξίου καὶ πρὸς ἑαυτὸν πεζὸς ὢν ἱππότην ἐφελκυσάμενος, πρὸς τὸ οὖς τοῦτο δὴ τὸ τῆς Δαυιτικῆς ἀνεφθέγξατο λύρας "ἔντεινε καὶ κατευοδοῦ καὶ βασίλευε ἕνεκεν ἀληθείας καὶ πρᾳότητος καὶ δικαιοσύνης," καὶ προσεῖπε τῷ λόγῳ "αὐτόκρατορ Ἀλέξιε." ταῦτα εἰπὼν καὶ οἷον προμαντευσάμενος ἀφανὴς ᾤχετο. οὐδὲ γὰρ ἦν τῷ Ἀλεξίῳ ἁλώσιμος, καίτοι πανταχόσε περιπαπταίνοντι, εἴ που καὶ τοῦτον θεάσαιτο, καὶ δὴ καὶ ὅλους λύσαντι χαλινοὺς καὶ τοῦτον μεταδιώκοντι, εἴ που καταλάβοιτο, ἵνα τίς τε εἴη καὶ ὁπόθεν ἀκριβέστερον μάθοι. ἀλλ' ὅμως ἀφανέστατον ἦν τὸ θεαθέν. ἐκεῖθεν δὲ ὑποστρέψαντα ὁ ἀδελφὸς Ἰσαάκιος πολλά τε περὶ τοῦ φανέντος ἐξεπυνθάνετο καὶ τὸ ἀπόρρητον ἠξίου παραγυμνοῦν· ὡς δὲ ἐνέκειτο ἀπαιτῶν ὁ Ἰσαάκιος, ὁ Ἀλέξιος τὸ ἐντεῦθεν τὰ πρῶτα μὲν ἀναβαλλομένῳ ἐῴκει, μετὰ ταῦτα δὲ καὶ τὸ λαληθὲν μυστικῶς πρὸς αὐτὸν ἐξωρ- P. 59
χεῖτο. αὐτὸς μὲν τοῖς ἔξωθεν λόγοις καὶ πρὸς τὸν ἀδελφὸν πλάσμα τὸ λεχθὲν ἐπεξηγούμενος καὶ φενάκην εἶναι ἐφθέγγετο, κατὰ νοῦν δὲ ἕλκων τὸν φανέντα ἐκείνῳ ἱεροπρεπῆ ἀν-

1. ἀπηντηκὼς P. ἄλλος A. 7. ἔντειναι C. 9. αὐτόκρατορ C, αὐτοκράτωρ PGA. Ἀλέξιος A. 12. δὴ om. C. καὶ tertium om. G. 13. εἴπω G. ante καταλάβοιτο add. καὶ P. 17. ἠξίουν GP, recte C. 21. εἶναι ἐφθέγγετο add. A. 22 ἐκεῖνον minus recte coni. Hoeschel.

an homine aliquis maior, futurarum rerum certe scientissimus; qui sacerdotis quidem specie, nudo capite, coma cana, barba horrida, pedes ad equitem Alexium accessit et crure comprehensum ad se attraxit insusurravitque Davidicum illud "intende, prospere procede, regna propter veritatem et mansuetudinem et iustitiam." quibus adiunxit "imperator Alexi." haec locutus et quasi vaticinatus, evanuit Alexiumque effugit, licet omnia circumspiceret, atque adeo habenis effusis persequeretur, an forte a deprehenso, quis et unde esset, perdisceret. nihilo tamen minus latebat visus. reversum Isaacius frater multum de iis quaesivit, quae vidisset, et ut arcanum sibi aperiret, rogavit; cumque instaret Isaacius, Alexius primo tergiversatus est, dein quid secreto sibi dictum esset, detexit. id licet palam et cum fratre colloquens, pro figmento et praestigiis haberet, tamen cum sancti, quem viderat, viri speciem mente reputaret, retulisse is theologum, tonitrui filium, Alexio videbatur. haec senis oracula et quae verbis ab eo significata erant, ubi Isaacius re ipsa

δρα, εἰς τὸν τῆς βροντῆς υἱὸν θεολόγον παρείκαζεν. ἐπεὶ δὲ τὰ τοῦ γέροντος προμαντεύματα καὶ ἅπερ εἶπεν ἐκεῖνος ἐν λόγοις, ὁ Ἰσαάκιος ἐν τοῖς πράγμασιν ἐθεᾶτο, ἐνίστατό τε ἀνδρικώτερον αὐτὸν βιαζόμενος καὶ τὸ ἐρυθροβαφὲς ἐνδιδύσκει ὑπόδημα, καὶ μᾶλλον ὁρῶν τοῦ ὁπλιτικοῦ παντὸς τὴν διάπυρον ἐπιθυμίαν πρὸς τὸν Ἀλέξιον. καὶ τὸ ἐντεῦθεν ἐξ-
B ῆρχον οἱ Δοῦκαι τῆς εὐφημίας, τά τε ἄλλα τὸν ἄνδρα καὶ οὗτοι ἀποδεχόμενοι καὶ διότι ἡ τούτων προσγενὴς Εἰρήνη καὶ μήτηρ ἐμὴ κατὰ νόμους συνῆπτο τῷ ἐμῷ πατρί. σύναμα δὲ τούτοις καὶ οἱ ἐκ τοῦ αἵματος συμφυεῖς αὐτῶν ἀναβλαστήσαντες τὸ αὐτὸ προθύμως ἐποίουν. τὸ δέ γε λοιπὸν τοῦ στρατοῦ διαδεξάμενον τὴν εὐφημίαν, σχεδὸν εἰς αὐτὸν τὸν οὐρανὸν ἀνέπεμπον τὰς φωνάς. καὶ ἦν ἰδεῖν καινόν τι τηνικαῦτα συμβαῖνον, τοὺς πρότερον διῃρημένους τὰς γνώμας καὶ θάνατον ἑλέσθαι μᾶλλον ἢ τῆς σφῶν ἐπιθυμίας ἀποτυχεῖν βουλομένους, ὁμογνώμονας ἐν μιᾷ καιροῦ ῥοπῇ γεγονότας, καὶ τοσοῦτον, ὡς μηδ' εἴ ποτε στάσις μεταξὺ τούτων ὅλως ἦν ἐπιγινώσκεσθαι.

C 8. Ἐν ὅσῳ ταῦτα ἐτελεῖτο, φήμη τις περὶ τοῦ Μελισσηνοῦ διέτρεχε, φθάσαι τοῦτον μηνύουσα περὶ τὴν Δάμαλιν μεθ' ἱκανῆς στρατιᾶς, εὐφημεῖσθαί τε ὡς βασιλέα ἤδη καὶ ἁλουργὰ ἠμφιεσμένον· οἱ δὲ τῷ λεγομένῳ πιστεύειν τέως

1. παρείκαζεν om. C. ἐπὶ P. 2. προφοιβάσματα A. εἶπεν om. A. 3. ὁ : καὶ A. ἐθεάσατο G. 6. τὸ ἐντεῦθεν γοῦν A. 8. καὶ om. C. 9. τῷ ἐμῷ πατρί : αὐτῷ A. 12. εἰς A, ἐφ' GP, ἐς P in margine. τὸν om. A. 13. τε om. G. 22. ἁλουργὸν GA.

comprobata vidit, vehementius fratri institit ac paene vi coegit, ut calceos purpureos indui sibi sineret, praesertim cum universi exercitus ardentissima in Alexium studia nosset. tunc initium acclamandi Ducae fecerunt, cum aliis de caussis Alexio et ipsi cupientes, tum maxime quod propinqua eorum, Irene mater mea, rite ei nupserat. idem, qui sanguine cum iis coniuncti erant, simul alacriter faciebant; quos cetera multitudo excipiens, ad coelum usque voces efferebat. ac mirum quid eo tempore contigit, ut qui modo discordes inter se, mortem obire maluerant, quam sententia sua decedere, consentirent momento, idque ita, ut dissidium inter eos unquam fuisse, cognosci non posset.

8. Quae dum peraguntur, rumor differebatur, Melissenum cum exercitu satis magno Damalim usque progressum, imperatorem acclamatum purpuraque indutum esse. cui famae tunc fidem habere non

οὐκ εἶχον. τὰ δὲ κατ' αὐτοὺς κἀκεῖνος μαθὼν πρέσβεις ταχὺ πρὸς αὐτοὺς ἐξαπέστειλεν. οἳ καὶ καταλαβόντες ἤδη τὰς πρὸς αὐτοὺς γραφὰς ἐνεχείριζον, οὑτωσί πως διεξιούσας. "ὁ θεός με μέχρι Δαμάλεως μετὰ τῆς ὑπ' ἐμὲ στρατιᾶς ἀσινῆ διεσώσατο. μεμάθηκα δὲ καὶ τὰ ὑμῖν ξυμπεσόντα καὶ ὡς τῆς κακονοίας τῶν δούλων ἐκείνων καὶ τῶν δεινῶν καθ' ὑμῶν ἐπιχειρημάτων θεοῦ προμηθείᾳ ῥυσθέντες, τῆς ἑαυτῶν πεφροντίκατε σωτηρίας. ἐπεὶ δὲ κἀγὼ τῇ μὲν σχέσει θεοῦ D νεύσει ἐξ ἀγχιστείας ὑμῖν προσῳκείωμαι, τῇ δὲ γνώμῃ καὶ τῇ πρὸς ὑμᾶς ἀρρήκτῳ διαθέσει οὐδενὸς τῶν καθ' αἷμα προσηκόντων ὑμῖν ἀποδέω, ὡς ὁ τὰ πάντα κρίνων οἶδε θεός, δέον ἡμᾶς κοινῶς σκοπήσαντας περιποιήσασθαι ἑαυτοῖς τὸ V. 52 ἀσφαλές τε καὶ ἀκατάσειστον, ὅπως μὴ παντὶ ἀνέμῳ περιφερώμεθα, ἀλλὰ καλῶς τὰ τῆς βασιλείας ἰθύνοντες, ἐπ' ἀσφαλοῦς βαίνωμεν τῆς κρηπῖδος. τοῦτο δὲ πάντως ἡμῖν ἔσεσται, εἰ θεοῦ νεύσει τῆς πόλεως παρ' ἡμῶν ἑαλωκυίας, ὑμεῖς μὲν τὰ τῆς ἑσπέρας διεξάγοιτε πράγματα, ἐμοὶ δὲ τὰ τῆς ἑῴας ἀποκληρωθῆναι ἐκχωρήσετε στεφηφοροῦντι καὶ ἁλουργὰ περιβεβλημένῳ καὶ ἀναγορευομένῳ, ὡς ἔθος τοῖς βασιλεῦσίν ἐστιν, σὺν τῷ ἀναρρηθέντι ἐξ ὑμῶν, ὥστε κοινὴν τὴν ἡμῶν εὐφημίαν γίνεσθαι, κἂν οἱ τόποι καὶ τὰ πρά- P. 60

2. καὶ om. C, δὲ G. ἤδη om. A. 3. πως A, πω C, που PG. post διεξιούσας C add. περὶ τῶν τοῦ Μελισσηνοῦ πρεσβέων. eundem titulum G in margine habet. 4. ἐπ' ἐμὲ P. 8. τῇ μετασχέσει A. 10. ἡμᾶς A. ἀῤῥήτῳ G. αἷμα A, αἵματος PG. 11. ὁ πάντα PG, recte CA. 13. μεταφερώμεθα C. 16. ὑμῶν C. 18. ἑώας A, Ἀσίας PG. ἐκχωρήσετε A, ἐκχωρήσητε C, ἐκχωρήσοιτε PG. 21. ἡμῶν om. A. τὰ om. C.

poterant. verum ille, de rebus a Comnenis gestis et ipse certior factus, legatos celeriter ad eos misit. qui cum advenissent, litteras tradiderunt, in quibus haec fere scripta erant. "deus me usque Damalim incolumem cum exercitu servavit. vobis quoque quid acciderit cognovi et quomodo a servorum illorum malignitate dirisque insidiis dei providentia vindicati, saluti vestrae consulueritis. quoniam autem et affinitate, id quod in divini beneficii parte pono, vobiscum iunctus sum, et voluntate immutabilique in vos animo ne consanguineorum quidem vestrorum (deum rerum omnium iudicem testor) ulli concedo, in commune consulendo salutis nostrae stabilitatem confirmare nos oportet, ne omni vento huc illuc agitemur, sed bene constitutis imperii rebus, satis firmo fundamento innitamur. id sine dubio continget, si urbe a nobis deo annuente capta, vos Occidentis res administretis, mihi Orientem regendum concedatis, corona atque purpura induto et, quemadmodum imperatoribus mos est,

γματα ἡμῖν ἀπομεμέρισται, τήν τε γνώμην μίαν καὶ τὴν αὐτὴν εἶναι. καὶ οὕτως ἡμῶν ἐχόντων, ἀστασίαστα δι' ἀμφοῖν διεξάγοιτο ἂν τὰ τῆς βασιλείας." ταῦτα οἱ πρέσβεις ἀπαγγείλαντες, ἀπόκρισιν μὲν αὐτοτελῆ τηνικαῦτα οὐκ ἐδέξαντο. τῇ δὲ μετ' αὐτὴν μετακαλεσάμενοι τούτους, διὰ πολλῶν τὸ ἀδύνατον τῶν παρὰ τοῦ Μελισσηνοῦ μηνυθέντων ἐδείκνυον· τὰ δέ γε δοκοῦντα τούτοις ἐς νέωτα γνωρίσαι αὐτοῖς ἐπηγγέλλοντο διὰ Γεωργίου τοῦ καλουμένου Μαγγάνη, ᾧ καὶ τὴν αὐτῶν θεραπείαν ἀνέθεντο. τούτων οὕτω γινομέ- B νων, οὐδὲ τῆς πολιορκίας κατερρᾳθύμουν παντάπασιν, ἀλλὰ δι' ἀκροβολισμῶν, ὡς ἐνόν, τῶν τειχῶν ἀπεπειρῶντο τῆς πόλεως. τῇ δὲ μετ' αὐτὴν μετακαλεσάμενοι τούτους, τὰ αὐτοῖς εἶπον δοκοῦντα. τὰ δὲ ἦν τιμηθῆναι τὸν Μελισσηνὸν τῷ τοῦ καίσαρος ἀξιώματι καὶ ταινίαις ἀξιωθῆναι καὶ εὐφημίαις καὶ τῶν ἄλλων, ὅσα τῷ τοιούτῳ προσήκει ἀξιώματι, δοθῆναι δέ οἱ καὶ τὴν Θετταλοῦ μεγίστην πόλιν, ἐν ᾗ καὶ ὁ ἐπ' ὀνόματι τοῦ μεγάλου μάρτυρος Δημητρίου ναὸς περικαλλὴς ᾠκοδόμηται, ὅπου καὶ τὸ μύρον ἐκ τῆς ἐκείνου τιμίας σοροῦ βλύζον ἀεὶ μεγίστας ἰάσεις τοῖς μετὰ πίστεως προσιοῦσι πα- C ρέχει. οἱ δὲ δυσχεραίνοντες ἐπὶ τούτοις, ἐπεὶ ἐφ' οἷς μὴ ἔλεγον οὐκ εἰσηκούοντο, ἑώρων δὲ πολλὴν τὴν κατὰ τῆς πό-

1. ὑμῖν A. 2. καὶ add. G. 3. ἐξάγοιτο CG. 4. ἀπόκρισιν μὲν τηνικαῦτα οὐκ A. 7. ἐν νέωτα PG, recte CA. 8. Μαγγάνη C ubique, Μαγκάνη PGA. 12. μετακαλεσάμενος CG. τούτους om. G, τοὺς πρέσβεις A. 14. lege καὶ ταινίας ἀξιωθῆναι καὶ εὐφημίας. 18. τιμίας add. C et in margine P. 20. μὴ : lege μέν.

simul cum nomine illius vestrum, cui imperium deferetur, renuntiato. ita et acclamatio communis fiet et licet, locis negotiisque disiuncti, animo tamen uno eodemque erimus ac summa pace a duobus imperium administrabitur." haec cum legati retulissent, nihil in praesens certi responsum. postridie iis arcessitis, Comneni multis verbis, ea quae Melissenus proposuisset, fieri non posse, demonstrarunt; ceterum quid consilii de ea re cepissent, brevi ipsis indicatum iri per Georgium Manganem cognomine, cui legatorum quoque curam demandaverant. inter quae nec urbis oppugnationem negligebant omnino, sed velitationibus, quantum poterant, muros tentabant. postero autem die arcessiverunt eos et quid sibi placuisset, docuerunt. caesaris dignitatem et taeniam et acclamationem et qui reliqui eius dignitatis honores essent, Melisseno se concedere; praeterea attribuere se eidem Thessalonicam urbem maximam, in qua etiam praestantissima aedes in nomine magni martyris Demetrii condita est, ubi unguentum, e venera-

λεως τούτων παρασκευὴν καὶ παμπληθῆ τὴν ὑπ' αὐτὸν στρατιὰν οὖσαν καὶ τὸν καιρὸν ἤδη αὐτοῖς ἀποστενούμενον, δεδιότες μὴ τῆς πόλεως ἁλούσης τεθαῤῥηκότες οἱ Κομνηνοί, οὐδ' ἅπερ νῦν ὑπισχνοῦνται θελήσωσι περατῶσαι, διὰ χρυσοβούλλου λόγου ταῦτα γίνεσθαι δι' ἐρυθρῶν βεβαιωθέντος γραμμάτων ᾐτοῦντο. κατανεύει πρὸς τοῦτο ὁ Ἀλέξιος ὁ ἀρτιφανὴς βασιλεύς. καὶ μετακαλεσάμενος εὐθὺς Γεώργιον τὸν Μαγγάνην, ὃς καὶ ὑπογραφεὺς αὐτῷ ἐχρημάτιζεν, ἀνατίθεται τούτῳ τὴν τοῦ χρυσοβούλλου γραφήν. ὁ δὲ ἐπὶ τρισὶν D ἡμέραις ὑπερετίθετο, ἄλλοτε ἄλλας αἰτίας συνείρων, ποτὲ μὲν λέγων, ὡς ἄρα κατάκοπος γεγονὼς κατὰ τὴν ἡμέραν ὅλην, τῆς νυκτὸς μὴ δύνασθαι γραφὴν ξυντελέσαι, ἄλλοτε δ' ὅτι τὰ γεγραμμένα νυκτὸς σπινθὴρ ἐμπεσὼν ἀπετέφρωσε. τοιαῦτα καὶ ἄλλ' ἄττα ὁ Μαγγάνης προφασιζόμενος καὶ οἷον μαγγανευόμενος ἄλλοτε ἄλλως ὑπερετίθετο. ἀπάραντες δ' ἐκεῖθεν οἱ Κομνηνοί, καταλαμβάνουσι ταχὺ τὰς λεγομένας Ἀρετάς. τόπος δὲ οὗτος ἀγχοῦ τῆς πόλεως διακείμενος, ὑπερκείμενος μὲν τῆς πεδιάδος καὶ τοῖς κάτωθεν ἱσταμένοις καὶ πρὸς τοῦτον ὁρῶσιν εἰς λοφιὰν ἀνατεινόμενος, καὶ τὴν ἑτέραν μὲν πλευρὰν πρὸς θάλατταν ἀπονεύων, κατὰ δὲ τὴν ἑτέραν πρὸς τὸ Βυζάντιον, ταῖς δέ γε λοιπαῖς δυσὶ πρὸς ἄρκτον καὶ

1. ὑπ' αὐτὸν C, ἐπ' αὐτῶν PG. 4. χρυσοβούλλων λόγων — βεβαιωθέντων CG. 6. ἀρτιφανεὶς PG, ἀρτιφανὴς A. 9. χρυσοβουλλίου A. δ' ἐπὶ A. 14. ἄλλα τε codices, correxi. 17. δ' οὗτος A. 18. ἐνισταμένοις G.

billi eius loculo semper scaturiens, maximas sanationes iis adfert, qui cum fide accedunt. has conditiones quamvis aegre ferrent legati, tamen improbatis quae contra monebant, cum multum eorum ad oppugnandam urbem apparatum et magnas Alexii copias viderent ac temporis angustiis iam premerentur, veriti, ne capta urbe Comneni etiam magis sibi confidentes, ne ea quidem, quae nunc promitterent, concessuri essent, postularunt, ut bulla aurea, rubris litteris subscripta, haec sibi confirmarentur. annuit Alexius, novus imperator, et statim Georgio Mangani, qui ab epistolis erat, arcessito, ut bullam auream conscriberet, mandavit. verum is triduo rem distulit, aliud alio tempore praetexens; modo diurno se labore defessum noctu litteras perficere non potuisse causabatur, modo perfectas noctu scintilla, quae incidisset, conflagrasse. haec atque alia talia Manganes praetendens et quasi mangonizans alias aliter rem procrastinavit. interim Comneni ulterius progressi, Aretas quae dicuntur celeriter occupant. est is locus prope urbem situs, leniter ex planitie editus et infra stantibus collis speciem praebens, altero latere ad mare, altero

δύσιν, παντὶ ἀνέμῳ καταπνεόμενος, διειδὲς δὲ ὕδωρ καὶ πότιμον ἔχων ῥέον ἀεί, φυτῶν δὲ καὶ δένδρων παντάπασιν P. 61 *ἀμοιρῶν· εἴπες ἂν ὑπό τινων δρυτόμων ἐκπεφαλακρῶσθαι τὸν λόφον. διὰ γοῦν τὸ τοῦ τόπου ἐπιτερπὲς καὶ εὔκρατον καὶ Ῥωμανὸς ὁ Διογένης ὁ αὐτοκράτωρ ῥᾳστώνης μικρᾶς* V. 53 *χάριν οἰκήματα λαμπρὰ καὶ ἀποχρῶντα βασιλεῦσιν ἀνήγειρεν. ἐκεῖσε τοίνυν γενόμενοι, πέμποντες ἀπεπειρῶντο τοῦ τείχους, οὐ δι' ἑλεπόλεων ἢ μηχανῶν ἢ πετροβόλων τῶν ὀργάνων, ἐπεὶ μηδ' ὁ καιρὸς ἐδίδου, ἀλλὰ διὰ πελταστῶν καὶ ἐκηβόλων καὶ δορυφόρων καὶ καταφράκτων ἀνδρῶν.*

9. *Ὁ δέ γε Βοτανειάτης τὴν τῶν Κομνηνῶν τοιαύτην ἐπιχείρησιν ὁρῶν πολυπληθῆ τε καὶ ἐκ παντοίων συνειλεγμένην ἀνδρῶν καὶ πρὸς ταῖς πύλαις τῆς πόλεως ἐπειγομένην* B *ἤδη ἐγγίσαι, τὸν δέ γε Μελισσηνὸν Νικηφόρον περὶ τὴν Δάμαλιν φθάσαντα οὐχ ἧττω τούτων δύναμιν ἔχοντα καὶ τῆς βασιλείας ὡσαύτως ἀντιποιούμενον, μὴ ἔχων ὅ τι καὶ δράσειε, μηδ' ἀντιπαλαμᾶσθαι δυνάμενος πρὸς ἄμφω τὰ μέρη, ὑπὸ τοῦ γήρως ὑπόψυχρός τε ὢν καὶ μᾶλλον περιδεής, κἂν ἐν νεότητι ἀνδρικώτατος ἦν, τοσοῦτον μόνον τότε ἀνέπνει, ὁπόσον αὐτὸν ἡ τοῦ τείχους περιβολὴ διεζώννυε, καὶ ἀπενενεύκει μᾶλλον πρὸς τὸ τῆς βασιλείας ἐκστῆναι. ἔνθεν τοι καὶ ἔκπληξις κατεῖχε καὶ θόρυβος ἅπαντας, καὶ ἁλώσιμα*

3. *ὑπέρ* G. 4. *τοῦ* om. G. 6. *ἀνέγειρεν* P. 10. *καὶ* tertium om. G. 11. *γε* om. A. *Κομν. ἀποστασίαν ὁρῶν* A. 13. *ἐπαγομένην* CG, *ἐγγίζουσαν* A. 19. *τότε μόνον* P. *ἀνέπνει* em. Diesterwegius, codices *ἀπέπνει*. 20. *αὐτῷ* A.

ad Byzantium vergens, reliquis duobus ad septentrionem et occidentem spectantibus, omni vento expositus, liquidae et bibendo idoneae aquae fontes habens perennes, plantis autem atque arboribus adeo infecundus, ut a lignatoribus abrasum diceres. ibi imperator Romanus Diogenes, amoenitatem loci et coeli temperiem secutus, brevis rusticationis causa magnifica et regibus apta aedificia exstruxit. quo cum pervenissent, miserunt qui muros tentarent urbis, non turribus aut machinis, cum id ne per tempus quidem liceret, sed peltastis, iaculatoribus, hastatis et gravis armaturae militibus missis.

9. Sed Botaniates, cum et Comnenos magno ac variis ex hominibus conflato exercitu ad ipsas urbis portas iamiam appropinquasse, et Melissenum Nicephorum Damalim pervenisse haud minoribus copiis parique principatus invadendi consilio cognosset, animi anxius et utrique obsistendo impar, ad hoc propter senectutem ignavus atque timidior, licet adolescens fuisset fortissimus, tantum a metu tum respirabat, quantum moenibus circumseptus erat, nec ab imperio

πάντα ἐδόκει γενήσεσθαι πάντοθεν. ὡς δὲ δυσχερὴς ἡ τῆς πόλεως ἅλωσις τοῖς Κομνηνοῖς κατεφαίνετο, (αἱ δὲ δυνάμεις ἐκ διαφόρων ξενικῶν τε καὶ ἐγχωρίων συνελέγοντο· ὅπου δὲ C πληθὺς διάφορος, ἐκεῖ καὶ τὸ τῆς γνώμης διάφορον καταφαίνεται,) βλέπων ὁ τὸ νέον ἐνδεδυκὼς πέδιλον Ἀλέξιος τὸ δυσάλωτον τῆς πόλεως καὶ τὸ τῶν στρατιωτῶν παλίμβολον ὑποτοπάζων, εἰς ἑτέραν ἐτράπετο γνώμην, ἵνα θωπείαις τισὶ καὶ ὑποσχέσεσιν ὑποποιησάμενός τινας τῶν φυλαττόντων τὰ τείχη καὶ κλέψας αὐτῶν τὴν γνώμην, οὕτως αἱρήσῃ τὴν πόλιν. ταῦτα δι' ὅλης τῆς νυκτὸς μελετήσας, εἰς τὴν σκηνὴν τοῦ καίσαρος ἅμα πρωῒ παραγίνεται, ἀπαγγέλλων τὰ σκοπηθέντα καὶ ἀξιῶν ἅμα συνέψασθαί οἱ καὶ κατασκοπῆσαι τὰ τείχη καὶ τὰς ἐπάλξεις ἀναθεωρῆσαι καὶ τοὺς φυλάσσοντας D (ἦσαν γὰρ ἐκ διαφόρων) καὶ διαγνῶναι, ὅπως δυνατόν ἐστιν ἁλῶναι τὴν πόλιν. ὁ δὲ βαρέως τοὐπίταγμα ἔφερεν, ἅτε τὸ μοναχικὸν οὔπω πρῴην περιβεβλημένος ἀμφίον, καὶ συνεὶς ὅτι καταγελῷτο ἂν ὑπὸ τῶν περὶ τὸ τεῖχος ἱσταμένων καὶ τὰς ἐπάλξεις, εἰκότως τὸν πλησιασμὸν τῶν τειχῶν ἀνεδύετο. ὅπερ καὶ πέπονθεν. ὡς γὰρ βιασθεὶς τῷ Ἀλεξίῳ συνηκολούθηκεν, εὐθὺς αὐτὸν ἀπὸ τῶν τειχῶν ἑωρακότες τὸν P. 62 ἀββᾶν μετά τινος προσθήκης ὑβριστικῆς διετώθαζον. ὁ δὲ

2. δὲ : an γάρ? 5. ἐνδεδυμένος G, ἐμβεβηκὼς A. 10. ταῦτα δὲ ὅλης P, δι' G, καὶ δὴ δι' ὅλης A. τῆς add. A. 12. συνέψεσθαί A. 16. οὐ πάνυ πρῴην A. βεβλημένος A. 18. τὸν om. G. 21. ἀβᾶν A.

abdicando abhorrebat. quo factum est, ut etiam cives trepidarent, et expugnari omnia undique posse viderentur. at Comnenis cum urbem vi capere difficillimum videretur, (nam copiae eorum ex omni genere peregrinorum aeque atque indigenarum collectae erant; ubi autem multitudo varia est, ibi varia etiam apparent studia,) itaque cum Alexius, novus imperator, urbem haud facile capi posse intelligeret et militum inconstantiam pertimesceret, consilio mutato, blanditiis ac promissis nonnullos ex iis, qui moenia defenderent, sibi conciliare eorumque voluntatem quasi furari statuit; quorum auxilio urbem caperet. quod cum tota nocte animo versasset, primo mane in Caesaris tentorium se confert, consilium cum eo communicat rogatque, ut moenia et propugnacula eorumque custodes, qui varii erant generis, secum exploratum iret et quomodo urbe potiri posset, specularetur. sed is aegre adduci poterat. cum enim monachi vestem haud ita pridem induisset, merito verebatur, ne si moenibus accederet, risui esset iis, qui in muro turribusque consisterent. neque id eum fefellit. cum enim invitus Alexium secutus esset, statim conspicati ex muro, patrem eum irridendo salutabant, opprobrio quodam ad-

ἐπισυνάξας τὸ ἐπισκύνιον καὶ ἔνδοθεν ὑβριζόμενος παρ' οὐδὲν
ἐλογίζετο, πρὸς δὲ τὸν προκείμενον σκοπὸν ὅλον εἶχε τὸν
νοῦν. εἰώθασι γὰρ οἱ φρόνημα στάσιμον ἔχοντες ἐμμένειν
ἐφ' οἷς ἂν κρίνωσι, τῶν δ' ἔξωθεν ἐπισυμβαινόντων κατα-
φρονεῖν. ἐπυνθάνετο γοῦν, τίνες ἂν εἶεν οἱ ἑκασταχοῦ τοὺς
πύργους φυλάσσοντες. ὡς δὲ ἐνταῦθα μὲν ἐφεστάναι τοὺς
ἀθανάτους λεγομένους ἐμάνθανε, (στράτευμα δὲ τοῦτο τῆς
Ῥωμαϊκῆς δυνάμεως ἰδιαίτατον,) ἐκεῖσε δὲ τοὺς ἐκ τῆς Θού-
B λης Βαράγγους, (τούτους δὴ λέγω τοὺς πελεκυφόρους βαρβά-
ρους,) ἀλλαχόσε δὲ τοὺς Νεμίτζους, (ἔθνος δὲ καὶ τοῦτο
βαρβαρικὸν καὶ τῇ βασιλείᾳ Ῥωμαίων δουλεῦον ἀνέκαθεν,)
φησὶ πρὸς τὸν Ἀλέξιον παραινῶν, μήτε τοῖς Βαράγγοις ἐμβα-
λεῖν, μήτε τοῖς ἀθανάτοις προσεμβαλεῖν. οἱ μὲν γὰρ αὐτό-
χθονες ὄντες τῷ βασιλεῖ, πολλὴν τὴν εἰς αὐτὸν ἐξ ἀνάγκης
V.54 ἔχοντες εὔνοιαν, θᾶττον ἂν τὰς ψυχὰς παραδοῖεν ἢ πονηρόν
τι κατ' αὐτοῦ μελετῆσαι πεισθήσονται· οἱ δέ γε ἐπὶ τῶν
ὤμων τὰ ξίφη κραδαίνοντες πάτριον παράδοσιν καὶ οἷον πα-
ρακαταθήκην τινὰ καὶ κλῆρον τὴν εἰς τοὺς αὐτοκράτορας πί-
C στιν καὶ τὴν τῶν σωμάτων αὐτῶν φυλακὴν ἄλλος ἐξ ἄλλου
διαδεχόμενοι, τὴν πρὸς αὐτὸν πίστιν ἀκράδαντον διατηροῦσι
καὶ οὐδὲ ψιλὸν πάντως ἀνέξονται περὶ προδοσίας λόγον. τῶν
δέ γε Νεμίτζων ἀποπειρώμενος, ἴσως οὐ πόρρω βαλεῖ σκοποῦ,
ἀλλ' εὐτυχήσει τὴν εἴσοδον ἀπὸ τοῦ ὑπ' αὐτῶν τηρουμένου πύρ-

1. ἐπισκήνιον A. 2. πρὸς δὲ : ἀλλ' ἐπὶ A. 4. κρίνωσιν P. 11. δουλεύων PG, correxi. 18. καὶ κλῆρον om. CG. 22. ἀποπειρώμενον — βάλλειν A.

dito. at ille attracto in frontem cucullo, ubi se intus abdidit, convicia nihili duxit, toto animo ad ea, quae agenda erant, intentus. solent enim, qui constanti sunt animo, perseverare in proposito et quae extrinsecus interveniunt, contemnere. explorabat igitur, quinam quibusque turribus praesidio essent.. cumque immortales quos dicunt, (est ea maxime peculiaris exercitus Romani pars) hic praesidere cognovisset, illic Barangos Thule oriundos, (barbaros dico securibus armatos) alibi Nemitzos, gentem et ipsam barbaram et dudum Romanis servientem, suasit Alexio, ut neque Barangos neque immortales aggrederetur. hos enim, utpote indigenas, necessario summa erga imperatorem voluntate esse et mortem potius oppetituros, quam ad aliquid in eum moliendum adducerentur; qui autem securim humero ferrent, tanquam pignus et hereditatem a maioribus traditam accepisse in imperatores fidem eorumque custodiam, quam inviolatam servarent neque ullam omnino proditionis mentionem ferrent. at Nemitzos si adiret, nequaquam fortasse a spe destitutum iri, sed aditum per

γου. πείθεται τοίνυν τὸ ἐντεῦθεν Ἀλέξιος τοῖς τοῦ καίσαρος λόγοις, ὥσπερ ἐκ θείας ὀμφῆς τούτους δεξάμενος. διά τινος οὖν ἀποσταλέντος παρ' αὐτοῦ τὸν ἡγεμόνα τῶν Νεμίτζων κάτωθεν ἐπιμελῶς ἀνεζήτει· ὁ δὲ ἄνωθεν προκύψας, πολλά τε εἰπὼν καὶ ἀκούσας, συντίθεται ταχὺ προδοῦναι τὴν πό- D λιν. ἧκεν οὖν τὴν ἀγγελίαν ταύτην κομίζων ὁ στρατιώτης. ἀκούσαντες δὲ οἱ ἀμφὶ τὸν Ἀλέξιον τὸ παρ' ἐλπίδας, περιχαρεῖς γενόμενοι, μάλα προθύμως ἐπιβαίνειν τοῖς ἵπποις ἡτοιμάζοντο.

10. Ἅμα δὲ τούτοις καὶ οἱ τοῦ Μελισσηνοῦ πρέσβεις σφοδρῶς ἐπέκειντο ἀπαιτοῦντες τὸν ὑπεσχημένον χρυσόβουλλον λόγον. καὶ ὁ Μαγγάνης εὐθὺς μετεκαλεῖτο κομίσων αὐτόν. ὁ δὲ τὸν μὲν χρυσόβουλλον λόγον γεγραμμένον ἔχειν ἔλεγε, τὸ δέ γε χρησιμεῦον σκεῦος εἰς τὰς βασιλικὰς ὑπογραφὰς αὐτῇ γραφίδι ἀπολωλεκέναι διισχυρίζετο, κρυψίνους ὢν ἀνὴρ καὶ δεινὸς τὸ μέλλον ῥᾷστα προϊδεῖν καὶ ἐκ μὲν τοῦ P.63 παρεληλυθότος θηρᾶσαι τὸ συνοῖσον, τὸ δέ γε ἐνεστὸς ἀκριβῶς διαγνῶναι καὶ πρὸς ὅπερ ἂν βούλοιτο εὐφυῶς μετενεγκεῖν, ἐπισκιάσαι τε πράγματα, εἰ μόνον θελήσῃ. ἀνεβάλλετο γὰρ τὴν τοῦ χρυσοβούλλου γραφὴν ὁ Μαγγάνης, μετεώρους τὰς ἐλπίδας διδοὺς τῷ Μελισσηνῷ. ἐδεδίει γάρ, μὴ τοῦ χρυσοβούλλου τάχιον ἢ προσήκει καταπεμφθέντος αὐτῷ, ᾧ

2. τούτους C, τοῦτο A, τούσδε PG. 7. ἐλπίδα A. 14. εἰς: πρὸς C. 15. αὐτῇ A, σὺν τῇ PG. ἀπολολωκέναι PG, recte A. κρυφίνους P. 17. τὸ συν. G, τι P. 19. τε C, τὸ PG. πράγματα P in margine, πρᾶγμα PG. μόνον C et in margine P, μὴ PG. 22. προσῆκε P. ᾧ G, ὃ P, ὃς A.

turrem, quam tuerentur, nacturum. haec velut oraculo edita Alexius accipiens, misit, qui Nemitzorum ducem sub murum diligenter quaereret. illo deorsum prospectante, post multa ultro citroque verba habita, de urbe prodenda convenit. quem nuntium cum ex insperato miles attulisset, Alexius quique eum comitabantur, magnopere gavisi, alacriter ad equos conscendendos se pararunt.

10. Quae dum geruntur, Melisseni legati bullam auream promissam flagitarunt. Manganes statim arcessitus qui afferret, scriptam quidem bullam esse dixit, verum vas, quo ad subscribendum imperatori opus esset, cum ipso stilo se perdidisse affirmavit. etenim callidus erat homo, futura facile prospiciebat, ex praeteritis, quid utile esset, captabat, praesentia diiudicabat verissime atque ad voluntatem suam callide transferebat, miro praeditus artificio, res, dummodo vellet, tegendi. itaque differebat litteras conscribere, quo suspensas Melisseni spes teneret. ad quem si bulla aurea, qua caesaris dignitatem

τὴν τοῦ καίσαρος ἀξίαν τούτῳ κατεχαρίζετο, τὸν καίσαρα μὲν ἀποπέμψαιτο, τῆς δὲ βασιλείας ὅλως ἐξέχοιτο, καθάπερ καὶ πρὸς τοὺς Κομνηνοὺς διαμεμηνυκὼς ἦν, καὶ σπου- B δάσειέ τι θρασύτερον. καὶ τοῦτο ἦν ἡ τέχνη καὶ τὸ μαγγάνευμα τοῦ Μαγγάνη περὶ τὴν ἀναβολὴν τοῦ χρυσοβούλλου λόγου τοῦ καίσαρος. τούτων οὕτω τελουμένων καὶ τοῦ καιροῦ κατεπείγοντος τὴν πρὸς τὴν πόλιν εἴσοδον, ὑποτοπάζοντες οἱ πρέσβεις τὸ δρᾶμα, σφοδρότερον ἐνέκειντο, ἐξαιτούμενοι τὸν χρυσόβουλλον λόγον. οἱ δὲ Κομνηνοί φασι πρὸς αὐτοὺς "ἐπεὶ ἐν χερσὶν ἤδη τὴν πόλιν ἔχοντες ἄπιμεν, θεοῦ ἐπαρήγοντος, ἐφ' ᾧ κατασχεῖν αὐτήν, ἀπελθόντες ἀπαγγείλατε ταῦτα τῷ δεσπότῃ καὶ κυρίῳ ὑμῶν," καὶ τοῦτ' ἐπειπόντες, ὡς "εἴ γε κατ' ἐλπίδας ἡμῖν ἀπαντήσει τὰ πράγματα, C σοῦ πρὸς ἡμᾶς παραγενομένου, πάντα κατὰ ῥοῦν ἀκολουθήσεις καὶ κατὰ τὸ ἡμῖν καὶ σοὶ βουλητόν." ἀλλὰ ταῦτα μὲν πρὸς τοὺς πρέσβεις. τὸν μέντοι Γεώργιον τὸν Παλαιολόγον πρὸς τὸν ἡγεμόνα τῶν Νεμίτζων Γιλπράκτον ἐξέπεμψαν, ἀπόπειραν ποιήσασθαι τῆς γνώμης Γιλπράκτου, καὶ εἰ διαγνοίη προθυμούμενον δέξασθαι κατὰ τὴν ὑπόσχεσιν τοὺς Κομνηνούς, τὸ δοθὲν αὐτῷ σύνθημα ποιῆσαι, ὅπερ αὐτοὶ μὲν θεασάμενοι ἐπισπεύσουσι τὴν εἰσέλευσιν, αὐτὸς δὲ εἰς τὸν πύρ-

1. χαρίζετο P, ἐχαρίζετο A, κατεχαρίζετο CG. 2. ἀποπέμψοιτο CA, ἀποπέμψατο G. ὅλος C. 4. μαγγάνωμα G. 5. τοῦ χρυσ. : τῷ C. χρυσοβουλλίου A. 8. σφοδρώτερον PG, recte A 9. χρυσοβούλλιον A. 11. κατασχεῖν αὐτὴν θεοῦ ἐπαρήγοντος C, θεοῦ ἐπαρ. ἐφ' ᾧ κατασχεῖν G. 12. ἡμῶν A. 13. γε om. GA. ἀπαντήσει CA, ἀπαντήσῃ PG. 14 πρᾴου γενομένου C et in margine PG. 18. Γιλπράκτου : αὐτοῦ A. 21. ἔλευσιν G.

ei largiretur, celerius, quam necesse erat, perveniret, verebatur, ne contemto hoc honore, imperium omnino, quemadmodum ipse Comnenuis significaverat, appeteret et in facinus aliquod audax prorumperet. hoc igitur consilium et mangonium erat Manganis, cum bullam auream caesaris conscribere procrastinaret. tempore autem instante, quo Comneni in urbem invasuri erant, ubi legati dolum suspectarunt, vehementius instabant bullam auream poscere. quibus Comneni haec fere respondent. "quoniam in manibus urbs est, quam ut iuvante deo recipiamus, iam movemus, ite atque hoc ipsum domino vestro renuntiate, illudque addite, si prospere res procedant, facile omnia, cum ipse ad nos venerit, ex utriusque nostrum sententia conventura." legatis ita dimissis, Georgium Palaeologum ad ducem Nemitzorum Gilpractum miserunt, animum eius exploraturum. quem si paratum, ut promiserat, ad intromittendos Comnenos cognovisset, signum condictum daret; eoque conspecto

γον ἀνελθὼν, θᾶττον αὐτοῖς τὰς πύλας ὑπανοίξει. ὁ δὲ μάλα προθύμως τὴν πρὸς τὸν Γιλπράκτον ὁδοιπορίαν ἀνεδέξατο, πρόθυμος ὢν ἀνὴρ εἰς τὰς πολεμικὰς πράξεις καὶ πό- V. 55 λεων ἐκπορθήσεις, καὶ τοῦτ' αὐτὸ τειχεσιπλήτης αὐτόχρημα D εἶπες ἄν, ὃ περὶ Ἄρεος Ὅμηρος. οἱ δὲ Κομνηνοὶ ὁπλισάμενοι καὶ τὸ ὁπλιτικὸν ἅπαν ἐμπείρως πάνυ καταστησάμενοι, βραδεῖ ποδὶ στείχοντες, ἰλαδὸν πρὸς τὴν πόλιν ἀπῄεσαν. ἑσπέρας οὖν πελάσας τῷ τείχει ὁ Παλαιολόγος Γεώργιος καὶ σύνθημα ἀπὸ τοῦ Γιλπράκτου λαβών, ἄνεισιν ἐπὶ τὸν πύργον μετὰ τῶν ἀμφ' αὐτόν. οἱ δέ γε ἀμφὶ τὸν Ἀλέξιον τέως μὲν ὀλίγον τι πρὸ τῶν τειχῶν γεγονότες, χάρακά τε βάλλονται καὶ στρατοπεδεύουσι λαμπρῶς. καὶ βραχύ τι μέρος τῆς νυκτὸς ἐπ' αὐτοῦ αὐλισάμενοι, τὸ λοιπὸν αὐτοὶ τὸ μεσαίτατον εἶχον τῆς φάλαγγος ἅμα τοῖς τῶν ἱππέων ἐπιλέκτοις καὶ τῇ κρείττονι στρατιᾷ, τότε ψιλὸν διατάξαντες, βάδην τε προ- P. 64 ϊόντες, κατ' αὐτὸ τὸ περίορθρον πρὸ τῶν τειχῶν ἀθρόον καθίστανται. καὶ πολέμου σχῆμα διατυπώσαντες, ἐσιδηροφόρουν ξύμπαντες, ἵνα τοὺς ἐντὸς καταπλήξαιεν. σύνθημα δὲ ἄνωθεν δόντος αὐτοῖς τοῦ Παλαιολόγου καὶ τὰς πύλας ἀνοίξαντος, συμμίγδην εἰσῄεσαν, οὐ σὺν εὐταξίᾳ στρατιωτικῇ, ἀλλ' ὡς ἔτυχεν ἕκαστος, ἀσπίδας καὶ τόξα καὶ δόρατα φέροντες. ἡ δὲ ἡμέρα πέμπτη ἦν ἡ μεγάλη, καθ' ἣν τὸ μυστικὸν πάσχα θύομεν ἅμα καὶ ἑστιώμεθα, ἐπινεμήσεως τετάρτης

2. μάλα om. P. ἐδέξατο A. 3. ὁ ἀνὴρ A. τὰς om. CA. 11. πρὸς G. 12. βραχύ PG, ὀλίγον A. 15. lege τό τε. 19. αὐτοῖς om. A. ἀνοίξαντος, αἳ τῆς χαρσίου κικλήσκονται A. 23. ἅμα : τε A. ἐπὶ νεμήσεως PG, recte A.

ipsi sine mora in urbem festinarent, Georgius autem, celeriter turri ascensa, portas aperiret. libentissime hic ad Gilpractum iter suscepit, quippe qui promptus ad bellica facinora et urbium expugnationes esset, ut illud ipsum τειχεσιπλήτης, quod de Marte Homerus dicit, quadrare in eum videretur. Comneni, universo exercitu instructo et perite ordinato, lente progressi, ad urbem turmatim accesserunt. vespere autem Georgius Palaeologus ad muros appropinquavit et, signo a Gilpracto accepto, in turrim ascendit cum suis. interim Alexius, haud procul ab urbe vallum iecit castraque bene metatus est. postquam exiguam noctis partem ibi consedit, presso gradu incedens, (ipse cum lectis equitibus et militum flore mediam aciem tenebat, velitibus in agmina partitis,) diluculo ipso sub moenibus copiis omnibus constitit. milites in speciem praelii erant armati, ut qui intus erant, percellerentur. verum ubi Palaeologus signum de muro dedit portasque aperuit, promiscue irruunt, non servato ordine, sed te-

ἔτους ͵ςφπθ' μηνὸς Ἀπριλλίου. καὶ οὕτως ἅπαν τὸ στρατό-
B πεδον ἐκ ξενικῆς τε καὶ ἐγχωρίου δυνάμεως, ἐκ τ' αὐτοχθόνων καὶ τῶν παρακειμένων χωρῶν συνεληλυθός, τὴν πόλιν ἐκ πολλοῦ παντοίοις εὐθηνοῦσαν εἴδεσιν, ἐξ ἠπείρου τε καὶ θαλάσσης συνεχῶς ἀρδομένην γινώσκοντες, ἐν βραχεῖ χρόνῳ διὰ τῆς Χαρσίου πύλης εἰσεληλύθασιν, ἁπανταχοῦ σκεδασθέντες περί τε τὰς λεωφόρους περί τε τὰς τριόδους καὶ ἀμφόδους, μὴ οἰκιῶν, μὴ ἐκκλησιῶν, μηδὲ αὐτῶν τῶν ἱερῶν ἀδύτων τὸ παράπαν φειδόμενοι, ἀλλὰ λείαν πολλὴν ἐκεῖθεν ἐπισυνάγοντες, τοῦ μέντοι ἀποκτείνειν μόνον ἀφιστάμενοι, τὰ δ' ἄλλα πάντα ἰταμῶς πάντῃ καὶ ἀναισχύντως ποιοῦντες. τὸ δὲ
C δὴ χεῖρον, ὅτι οὐδὲ οἱ αὐτόχθονες τῶν τοιούτων ἀφίσταντο πράξεων, ἀλλ' οἷον ἐκλαθόμενοι ἑαυτῶν καὶ τὰ σφῶν ἤθη ἐπὶ τὸ χεῖρον ἀμείψαντες, ἀνερυθριάστως καὶ αὐτοί, ἅπερ οἱ βάρβαροι, ἔπραττον.

11. Ταῦτα δὲ ὁ βασιλεὺς Νικηφόρος ὁρῶν καὶ ὡς τὰ κατ' αὐτὸν ἐν στενῷ κομιδῇ κατήντηκεν, ἀπό τε τῆς δύσεως πολιορκουμένης τῆς πόλεως, ἀπό τε τῆς ἕω Νικηφόρου τοῦ Μελισσηνοῦ περὶ τὴν Δάμαλιν ἤδη αὐλιζομένου, μὴ ἔχων ὅ τι καὶ δράσειε, τῷ Μελισσηνῷ προτεθύμητο τῶν πρωτείων μᾶλλον παραχωρῆσαι. κατασχεθείσης δὲ τῆς πόλεως

1. ἔτους ͵εφπα' A. μηνὶ ἀπριλλίῳ CG. Ἀπριλίου P. στράτευμα A. 6. καρσίου P, διὰ τῆς εἰρημένης πύλης A. εἰσηληλύθασιν διὰ — πύλης P. 7. περὶ alterum : διὰ A. 10. μόνου P. 12. ἀφιστάντες A. 16. δὲ om. A. 17. τῶν δύσεων A. 18. ἀπό τε τῆς ἕω om. C. 19. ἤδη om. G.

mere, ut fors ferebat, clypeis, arcubus hastisque instructi. erat dies quintus magnae hebdomadis, quo mysticum pascha et sacrificamus et comedimus, indictione quarta, anni 6589 mense Aprili. ita universus exercitus, peregrinis indigenisque militibus constans, in urbem, quam dudum omnis generis opibus ac terra marique continuo importatis divitiis refertam norant, celeriter per Charsiae portam invasere et per omnes plateas, per trivia et bivia vagantes, non a domibus, non ab ecclesiis, nec ab ipsis quidem locis, quae adire nefas est, abstinebant, opulenta inde praeda capta. modo a caedibus temperabant; ceterum audacia et libidine grassabantur. quodque peius erat, ne indigenae quidem ab eiusmodi facinoribus se continebant; sed sui quasi obliti et moribus in peius mutati, impudenter eadem, quae barbari, perpetrabant.

11. Haec cum Nicephorus videret et quantis difficultatibus circumventus esset perspiceret, Comnenis ab Occidente instantibus et ab Oriente Melisseno prope Damalim iam considente, consilii inops Melisseno maluit de principatu cedere. obsessa autem iam urbe a

ἤδη παρὰ τῶν Κομνηνῶν, μετακαλεσάμενός τινα τῶν πιστοτέρων θεραπόντων αὐτοῦ, παρεκελεύετο διὰ τοῦ στόλου τὸν Μελισσηνὸν εἰσάγειν εἰς τὰ βασίλεια, ᾧτινι συνείπετο καὶ D σπαθάριός τις ἀνὴρ μαχιμώτατος. πρὸ δὲ τοῦ φθάσαι εἰς ἔργον τὸν λόγον, ἡ μὲν πόλις ἑάλω, ὁ δὲ Παλαιολόγος ἕνα τῶν ὑπ' αὐτὸν ἀναλαβόμενος, πεζῇ κάτεισιν ὡς πρὸς θάλασσαν πορευόμενος. περιτυχὼν δέ τινι ἀκατίῳ, εἴσεισιν εὐθὺς καὶ τοῖς ἐρέταις παρεκελεύετο, ὅπου ὁ στόλος κατὰ τὸ εἰθισμένον προσώρμιστο, ἀπευθῦναι τὸ σκάφος. ἐγγίζων δὲ ἤδη πρὸς τὴν περαίαν, ὁρᾷ τὸν παρὰ τοῦ Βοτανειάτου ἀποσταλέντα ἐφ' ᾧ τὸν Μελισσηνὸν διαπεραιῶσαι, τὸν στόλον εὐτρε- V. 56 πίζοντα, καὶ τὸν σπαθάριον ἐντὸς μιᾶς τῶν πολεμικῶν νηῶν. P. 65 γνωρίσας οὖν αὐτὸν πόρρωθεν, πάλαι συνήθη τοῦτον ἔχων, παραπλεύσας καὶ προσειπὼν αὐτῷ τὰ συνήθη, ἐπυνθάνετο ὅθεν καὶ ὅπῃ πορεύεται, καὶ μεθ' ἑαυτοῦ ἀναλαβέσθαι αὐτὸν ἠξίου. ὁ δὲ σπαθάριος ξιφήρη τοῦτον ὁρῶν καὶ ἀσπίδα κατέχοντα, δειλιάσας φησὶ πρὸς αὐτόν "εἰ μή σε οὕτω καθωπλισμένον ἑώρων, περιχαρῶς ἂν ἐδεξάμην." ὁ δὲ μάλα προθύμως καὶ τὴν ἀσπίδα καὶ τὸν ἀκινάκην καὶ τὴν κόρυθα ἀποθέσθαι κατετίθετο, εἰ μόνον θελήσει τοῦτον ἀναλαβέσθαι. ὡς δὲ καταθέμενον αὐτὸν τὰ ὅπλα ὁ σπαθάριος ἐθεάσατο, παρεκεχωρήκει τηνικαῦτα αὐτῷ τῆς εἰς τὸ ἴδιον πλοῖον εἰσελεύσεως, καὶ περιπλακεὶς κατησπάζετο μάλα περιχαρῶς. ὁ

2. θεραπόντων om. PA, add. CG et in margine P. διὰ τοῦ στόλου om. PA, add. CG et in margine P. 9. ἀπευθῆναι P. 10. κεραίαν CGA. 21. αὐτὸν om. G.

Comnenis, uni e fidissimis administris mandavit, ut Melissenum classe in regiam adduceret; comitabatur eum spatharius quidam fortissimus. at priusquam imperatum perfici posset, urbs capitur. ac Palaeologus quidem, uno e suis assumto, ad mare pedibus descendit. ubi cum naviculam invenisset, statim ea conscensa, remiges recta in locum vehi iubet, ubi classis pro more stationem habebat. iamque appropinquabat ulteriori ripae, cum illum, qui a Botaniate ad Melissenum arcessendum missus erat, classem expedientem conspexit; spatharius una e navibus bellicis vehebatur. quem simulac e longinquo cognovit, (nam familiaris eius olim erat,) adnavigavit et salute dicta, cum unde et quo proficisceretur percontatus esset, rogavit, ut se in navem admitteret. sed spatharius, qui eum scuto gladioque instructum conspiceret, metu affectus, "libenter, inquit, exciperem, nisi te viderem armatum." ille sine detrectatione paratum se ostendit et scutum et gladium et galeam deponere, modo in navem se recipere vellet. atque ubi arma eum spatharius posuisse vidit, in navem admisit et

B δὲ *Παλαιολόγος*, ὀβριμοεργὸς ὢν ἀνήρ, οὐδὲ πρὸς βραχὺ περιμείνας, ἔργου ἥπτετο. καὶ ὡς πρὸς τὴν πρώραν ἀλλόμενος τοὺς ἐρέτας ἐπυνθάνετο "τί" λέγων "ποιεῖτε καὶ ὅπῃ πορεύεσθε κατὰ τῆς σφῶν κεφαλῆς κακὰ μέγιστα ἐπενεγκεῖν πραγματευόμενοι; ἡ πόλις, ὡς ὁρᾶτε, ἑάλω. ὁ ποτε μέγας δομέστικος νῦν βασιλεὺς ἀνηγόρευται· καὶ τοὺς ὁπλοφόρους ὁρᾶτε καὶ τῆς εὐφημίας ἀκούετε· καὶ οὐκέτι χώραν ἕτερος ἐν τοῖς βασιλείοις ἕξει. καλὸς μὲν οὖν ὁ *Βοτανειάτης*, ἀλλὰ καὶ οἱ *Κομνηνοὶ* πολλῷ κρείττονες. πολλὴ ἡ τοῦ *Βοτανειάτου* στρατιά, ἀλλὰ πολλαπλάσιος ἡ ἡμετέρα. οὐ χρὴ τοιγαροῦν τὴν σφῶν αὐτῶν ζωήν, τάς τε γυναῖκας καὶ τοὺς C παῖδας προδοῦναι, ἀλλὰ δὴ τὴν πόλιν περιαθρήσαντας καὶ τὸ ὁπλιτικὸν ἅπαν ἐντὸς αὐτῆς θεασαμένους, τάς τε σημαίας καὶ τὴν εὐφημίαν λαμπρὰν γινομένην ἀκούοντας, τόν τέ ποτε μέγαν δομέστικον νῦν βασιλέα τοῖς βασιλείοις πελάζοντα καὶ τὴν αὐτοκράτορα ἀρχὴν ἤδη περιζωννύμενον, πρύμναν τε κρούσασθαι καὶ ἑτεραλκέα τὴν νίκην ποιησαμένους αὐτῷ προσελθεῖν." οἱ δὲ τηνικαῦτα τοῖς τούτου λόγοις ὑπείξαντες, πάντες τῆς αὐτοῦ γνώμης γεγόνασιν. τοῦ δὲ σπαθαρίου δυσχεραίνοντος, ἠπείλησεν ὁ ξιφηφόρος οὗτος *Γεώργιος* ὁ *Παλαιολόγος* αὐτοῦ που ἐπὶ τοῦ καταστρώματος τῆς νεὼς δε-

1. ὀβριμοεργὸς A, ὀμβριμοεργὸς PG. 2. πρὸς add. C, καὶ πρὸς τὴν A. 4. post σφῶν add. αὐτῶν Hoeschel. ἐνεγκεῖν A. 6. ἀναγορεύεται A. καὶ om. A. 11. αὐτῶν om. A. 12. δὴ : δεῖ A. 16. τὴν om. A. ἤδη om. GA. 17. καὶ om. P, add. GA. ἑτεραλχῆ G. 20. ἠπεῖλκεν P, ἠπείλησεν CG. 21. δεσμώτην CG.

amantissime amplexus est. Palaeologus autem, qui vir erat animo alacri, ne ulla quidem cunctatione facta, quae agenda erant aggreditur. atque in proram insiliens, remiges ita interrogat. "quid, inquit, agitis, quove pergitis, vestris capitibus mala maxima paraturi? urbs, ut videtis, capta est; qui modo magnus domesticus erat, nunc imperator renuntiatus est; cernitis satellites eius et acclamationem auditis; neque alter amplius locum in regiis aedibus habebit. bonus quidem Botaniates, sed multo Comneni meliores; magnus Botaniatae exercitus, sed noster multo maior. non igitur vos decet, vestram ipsorum vitam uxoresque ac liberos prodere; sed cognito, urbem ab exercitu universo occupari, signisque erectis, acclamationem omnium ore fieri, et magnum nuper domesticum iam imperatorem palatium accedere, regiis decoratum insignibus, retro navigandum vobis atque ad eum transeundum est, quo vim victoriamque certam ipsi reddatis." hac oratione commoti, omnes obsecuti sunt; quod cum spatharius moleste ferret, strenuissimus Georgius ille Palaeologus mi-

σμήσας καταβαλεῖν ἢ κατὰ τοῦ βυθοῦ ῥίψαι. εὐθὺς οὖν D
τῆς εὐφημίας ὁ Παλαιολόγος ἐξῆρχε, καὶ σὺν αὐτῷ οἱ ἐρέ-
ται. τὸν δὲ σπαθάριον καὶ μὴ βουλόμενον καὶ δυσχεραίνον-
τα κατὰ τοῦ καταστρώματος δεσμώτην κατέθηκεν. παρα-
πλεύσας δὲ μικρόν, ἀναλαμβάνεται τόν τε ἀκινάκην καὶ τὴν
ἀσπίδα, καὶ οὕτω προσορμίζει, ὅπου ὁ στόλος, καὶ πάνδη-
μον ἐποιεῖτο ἤδη τὴν εὐφημίαν. ἐντυχὼν δὲ καὶ τῷ ἀποστα-
λέντι παρὰ τοῦ Βοτανειάτου ἐφ' ᾧ τὸν στόλον ἀναλαβέσθαι
καὶ διαπεράσαι τὸν Μελισσηνόν, εὐθὺς κατέσχεν αὐτὸν καὶ
λῦσαι τὰ πρυμνήσια παρεκελεύετο τοῖς ναυτικοῖς. ἀποπλεύ-
σας οὖν ἐκεῖθεν σύναμα τῷ στόλῳ καταλαμβάνει τὴν ἀκρόπο- P. 66
λιν, τὴν εὐφημίαν λαμπρὰν ποιούμενος. κἀκεῖσε τοῖς ἐρέταις
παύσασθαι τῆς εἰρεσίας διεκελεύετο καὶ ἀτρεμοῦντας ἑστάναι
ἐφ' ᾧ τοὺς ἐκ τῆς ἑῴας πειρωμένους διαπερᾷν ἀπείργειν. μετ'
ὀλίγον δὲ πλοῖον θεασάμενος πρὸς τὸ μέγα παλάτιον καταῖρον,
τοῖς τοῦ ἰδίου πλοίου ἐρέταις κελεύσας σφοδρὰν τὴν εἰρεσίαν
ποιήσασθαι, φθάνει τοῦτο. καὶ ὡς τὸν ἴδιον ἐν αὐτῷ ἐθεά-
σατο πατέρα, ἀναστὰς εὐθὺς τὴν προσήκουσαν γονεῦσι προσκύ- V. 57
νησιν αὐτῷ ἀπεδίδου. ὁ δὲ οὐ περιχαρῶς αὐτὸν ἐθεάσατο,
οὔτε μὴν γλυκερὸν φάος ὠνόμασε, καθάπερ ποτὲ ὁ Ἰθακή-

1. καταλαβεῖν PG, καταβαλεῖν F et in margine P. 3. δυσχεραίνοντα καὶ μὴ βουλόμενον C. 4. στρώματος GA. δεσμώτην CG, δεσμήσας PA. 5. δὲ : οὖν A. 6. στόλος : Hoeschel. add. ἦν. vid. annotat. 11. σὺν τῷ στολῷ παντὶ A. 13. ἐρεσίας G. 14. πειρώμενοι C, βουλομένους A. ἀπείργειν A, ἀπεῖργεν PG. 17. ἐθεᾶτο A. 19. δ' οὐ A. 20. μὲν G. αὐτὸν ὠνόμασε A.

nabatur se vinculis eum in navis tabulato adstricturum vel in mare demersurum. ac statim Palaeologo praeeunte, remiges acclamavere; spatharium autem recusantem et aegre ferentem in navis tabulato vinciri iussit. paulum inde provectus, clypeo et gladio resumtis, eo appulit, ubi classis stabat, perfecitque, ut ab omnibus nautis Alexius imperator consalutaretur. cumque ibidem eum ipsum, cui Botaniates negotium dederat, classe assumta, Melissenum traiiciendi, offendisset, statim captum detinuit nautisque praecepit, ut naves solverent. quo facto, cum classe ad arcem advenit et acclamationem alacrem fecit. ibi remigatione omissa, nautas quietos consistere iussit, ut, qui ex Oriente traiecturi essent, intercluderentur. paulo post cum navem vidisset ad magnum palatium applicari, navigii sui remigibus quam maxime incumbere iussis, navem assequitur. in qua ubi suum ipsius patrem conspicatus est, statim in debitam parentibus venerationem surrexit. neque tamen hilare is eum adspexit, nec vero lucem appellavit suam, ut Ithacensis olim Ulysses Telemachum cum primum videret. ibi enim convivium et

B σιος Ὀδυσσεὺς τὸν Τηλέμαχον θεασάμενος. ἐκεῖ γὰρ συμπόσιον καὶ μνηστῆρες καὶ ἅμιλλα καὶ νευρὰ καὶ τόξον, καὶ ἆθλον τῷ νικήσαντι ἡ σώφρων ἔκειτο Πηνελόπη, καὶ ὁ Τηλέμαχος οὐκ ἐχθρός, ἀλλ' ὡς υἱὸς πατρὶ ἐπαρήγων εἰσῄει· ἐνταῦθα δὲ μάχη καὶ πόλεμος, καὶ ἀντικαθιστάμενοι πρὸς ἀλλήλους κατὰ γνώμην ἦσαν ἄμφω. καὶ ἡ θατέρου ἅτερον οὐκ ἐλάνθανε σχέσις, κἂν εἰς ἔργον οὔπω τὰ τῆς γνώμης ἀπέβαινεν. ἔνθεν τοι καὶ μωρὸν καλέσας αὐτόν, ἐπυνθάνετο λέγων "τί ὧδε ποιήσων ἥκεις;" ὁ δέ φησιν "ἐπεὶ σὺ ὁ ἐμοῦ πυνθανόμενος εἶ, οὐδέν." καὶ ὃς πρὸς αὐτόν "ἀνέχου μικρόν, καὶ εἴ μου ὁ βασιλεὺς ὑπακούσει, γνώσῃ μετ' οὐ πο- C λύ." φθάσας οὖν ὁ ῥηθεὶς Νικηφόρος ὁ Παλαιολόγος εἰς τὰ ἀνάκτορα, ἐπεὶ ἐσκεδασμένους ἑώρα τοὺς ξύμπαντας καὶ περὶ τὴν συλλογὴν τῶν χρημάτων ἠσχολημένους, εὐκαταγωνίστους αὐτοὺς οἰόμενος, ᾐτεῖτο τὸν Βοτανειάτην δοθῆναί οἱ τοὺς ἀπὸ τῆς Θούλης νήσου Βαράγγους, ὥστε δι' αὐτῶν ἐξωθῆσαι τῆς πόλεως τοὺς Κομνηνούς. ὁ δέ γε Βοτανειάτης, ἅπαξ τὰ περὶ αὐτὸν ἀπεγνωκώς, ἐσχηματίζετο μὴ θέλειν ἐμφύλιον γενέσθαι πόλεμον. ἀλλ' "εἴ γε πείθῃ μοι, Νικηφόρε," φησίν "ἐπεὶ εἴσω τῆς πόλεως γεγόνασιν οἱ Κομνηνοί, ἄπελθε πρὸς αὐτοὺς πρεσβεύων τὰ πρὸς εἰρήνην." ὁ δὲ δυσανασχετῶν, ὅμως ἀπῄει.

1. θεασάμενος· ἀλλὰ λοξὸν βλέψας καὶ μωρὸν αὐτὸν καλέσας A. 4. οὐχ P, οὐ G, correxi. 7. οὐκ om. G. 8. ἐπέβαινεν C. αὐτὸν καλέσας P. 9. ἐπειδὴ P. 12. Νικηφόρος ὁ om. A. ὁ alterum add. C. 15. τοῦ Βοτανιάτου A. 16. βαρβάρους PAG, βαράγγους C. 19. γέ μοι πείθῃ, πρὸς τὸν παλαιολόγον φησὶν A.

proci et certamen et nervi et arcus, et praemium victori pudica Penelope proposita, et Telemachus non hostis, sed tanquam filius patri suppetias veniens; hic pugna erat et bellum, et diversa uterque sequebatur. nec alterum alterius sensa latebant, quanquam effectu adhuc carebat consilium. itaque stultum appellans filium, "quid huc, inquit, venisti facturus?" cui Georgius, "quandoquidem qui me interrogas pater meus es, nihil." at pater "exspecta, inquit, paullulum; et si quidem me imperator audiet, brevi disces." haec locutus Nicephorus Palaeologus abiit in regiam. qui cum dispersos vidisset omnes et praedae studio palantes, facile eos deleri posse ratus, a Botaniate petiit, daret sibi oriundos ex Thule insula Barangos, quorum auxilio Comnenos urbe pelleret. verum Botaniates, in desperatione rerum suarum perseverans, abhorrere se a civili bello fingebat, et "si me, inquit, audis, Nicephore, quoniam in urbem ingressi Comneni sunt, de pace eos adi." ille licet invitus, tamen adit.

12. Ὡς δὲ εἰσελθόντες οἱ Κομνηνοὶ τεθαρρηκότες ἤδη D ἐκαρτέρουν περὶ τὸ πεδίον τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου τοῦ καλουμένου τοῦ Συκεώτου, βουλευόμενοι εἰ χρὴ πρότερον ἀπελθεῖν εἰς τὰς σφῶν μητέρας καὶ τὴν συνήθη προσκύνησιν κατὰ τὸ εἰθισμένον αὐταῖς ἀπονεῖμαι, εἶθ' οὕτω πρὸς τὰ βασίλεια χωρῆσαι, μαθὼν ὁ καῖσαρ ἀποστείλας τινὰ τῶν αὐτοῦ θεραπόντων ἠπειλήσατο, τῆς βραδυτῆτος τούτους πολλὰ καταμεμψάμενος. εὐθὺς οὖν ἀμφὶ τὸν οἶκον τοῦ Ἰβηρίτζη γενομένων, καταλαμβάνει Νικηφόρος ὁ Παλαιολόγος λέγων "ὁ βασιλεὺς ὑμῖν τάδε μηνύει· γέρων μὲν P. 67 ἐγὼ ἤδη καὶ μόνος, μήθ' υἱὸν κεκτημένος, μήτ' ἀδελφόν, μήτε τινὰ τῶν γνησίων, καὶ εἰ βούλει, (πρὸς τὸν ἀρτιφανῆ βασιλέα τὸν Ἀλέξιον ἀποτείνων τὸν λόγον,) σὺ γενοῦ μοι θετὸς υἱός. κἀγὼ οὐκ ἀφελοῦμαί τι ὧν ἑκάστῳ τῶν συστρατευομένων σοι πεφιλοτίμησαι, οὐδέ τινός σοι ἐξουσίας ἐπικοινωνήσω βασιλικῆς, ἀλλὰ μόνον ἔσομαι ψιλοῦ τοῦ τῆς βασιλείας μετέχων ὀνόματος καὶ τῆς εὐφημίας καὶ τῶν ἐρυθρῶν πεδίλων, ἔτι δὲ καὶ τοῦ διαναπαύεσθαι εἰς τὰ ἀνάκτορα. σοὶ δὲ ἡ τῶν τῆς βασιλείας πραγμάτων μελήσει πάντως διοίκη- B σις." πρὸς ταῦτα οἱ Κομνηνοὶ ῥήματά τινα συγκαταθέσεως ἐμφαντικὰ ἐνέφαινον· ἅπερ ἐνωτισθεὶς ὁ καῖσαρ, φθάνει τάχος πρὸς αὐτούς, ἐπαπειλούμενος καὶ πρὸς τὰ βασίλεια κα-

2. περὶ τὸ μον διον A, unde Hoeschel. coni. μονάδιον. ἁγίου add. A. 3. εἰ C, ἢ PG. 8. κατὰ CG, ἀμφὶ FP. 9. Ἰβηρίτος G, Ἰβηρίτζου F. ὁ Νικηφόρος G. 13. τὸν prius om. A. 14. ἀφελοῦμαι G, ἀφελῶμαί P, ἀφέλομαι A. τι om. GA 15. σοι om. A. περιφιλοτίμηται G. κοινωνήσω G. 21. ἐμφατικὰ G. 22. πρὸς αὐτ. : εἰς A.

12. Comneni, urbem ingressi, ad campum S. Georgii magni martyris, qui Syceotes dicitur, confidentius iam constitere deliberantes, num matres suas prius, ut mos est, salutatum irent, ac sic demum in palatium pergerent. quo Caesar cognito, per quendam e suis famulis graviter cunctationem eorum increpuit. celerrime igitur iis ad domum Iberitzae progressis, accurrit Nicephorus Palaeologus, qui imperatoris nomine haec nuntiavit. "senem se iam esse et solum, nec filium, nec fratrem, nec quemquam habere legitima cognatione coniunctum. quare si vellet, (novum imperatorem Alexium dicebat,) esset sibi filius adoptivus. neque se quidquam detracturum iis, quae ille commilitonibus suis promiserit, neque ullam imperatoriae potestatis partem communem habiturum, sed mero nomine contentum fore et acclamatione rubrisque calceis, praeterea requiescendi in palatio venia, tota rerum administratione Alexio relicta." ad haec Comneni ita responderunt, ut non abhorrere se a pactione significarent. quo

τεπείγων. ὡς δὲ δεξιόθεν τῆς αὐλίδος εἰσῄει, ἐξελθόντες οἱ Κομνηνοὶ συναντῶσι πεζεύοντι αὐτῷ· ὁ δὲ πολλὰ τούτους ἐμέμφετο. ἀτενίσας δὲ ἐν τῷ εἰσιέναι καὶ τὸν Παλαιολόγον Νικηφόρον ἀπὸ τῆς λαιᾶς αὖθις εἰσερχόμενον, "τί πρὸς V. 58 τὰ ἐνταῦθα;" φησί "καὶ τί βουλόμενος ἥκεις, συμπένθε- C ρε;" ὁ δὲ "τελέσων μέν, ὡς ἔοικεν, οὐδέν, τὰς δὲ αὐτὰς ταῖς πρώην κομίσων ἥκω παρὰ τοῦ αὐτοκράτορος ἀγγελίας. διενίστατο γὰρ ὁ βασιλεὺς φυλάξαι τὰ ὑπεσχημένα καὶ ὡς υἱῷ μὲν χρήσασθαι τῷ Ἀλεξίῳ ἐφ' ᾧ τὴν αὐτοκράτορα ἀρχὴν αὐτὸν ἀναδήσασθαι καὶ τὰ τῆς βασιλείας κατὰ τὸ αὐτῷ διοικεῖν βουλητόν, ἐκεῖνον δὲ μόνον τοῦ τῆς βασιλείας μετέχειν ὀνόματος καὶ τῶν ἐρυθρῶν πεδίλων καὶ τῆς καινῆς ἁλουργίδος καὶ τοῦ περὶ τὰ βασίλεια διαναπαύεσθαι, γέροντά τε ἤδη ὄντα καὶ ῥᾳστώνης δεόμενον." εὐθὺς δὲ πρὸς αὐτὸν δριμὺ ἐνατενίσας καὶ τὰς ὀφρῦς ἐπισυνάξας, αὐτῷ φησίν "ἀπελθὼν ἀπάγγειλον τῷ βασιλεῖ, ὡς ταῦτα D ἦσαν ἂν συμφορώτερα πρὸ τοῦ τὴν πόλιν ἁλῶναι· τὸ δ' ἐντεῦθεν χώραν οὐκ ἔχει ὅλως τὰ τῆς πρεσβείας. γέρων δὲ ἤδη ὢν ὑπεξίστασο τοῦ θρόνου καὶ τῆς σαυτοῦ φρόντισον σωτηρίας." ἀλλὰ ταῦτα μὲν ὁ καῖσαρ. ὁ δέ γε Βορῖλος τὴν τούτων μεμαθηκὼς εἴσελευσιν καὶ ὡς ὁ ὑπ' αὐτοὺς στρατὸς ἁπανταχοῦ σκεδασθεὶς περὶ τὴν λείαν ἐνασχολεῖται καὶ τῆς

4. θεασάμενος post *Νικ.* add. PG, om. A. ἐρχόμενον A. 5. τὰ : ταῦτα A. καὶ om. A. 7. κομίζων? πρώην : αὖθις add. P in margine. 9. αὐτοκράτορος CG. 10. ἀρχὴν om. G. 11. μόνου C. 13. lege κοινῆς. 17. συμφορώτερα GA, συμφερώτατα P. 18. δ' ἤδη G. 19. ὑπεξίστατο P.

audito, Caesar celeriter ad eos properat, mala denuntiaturus atque ad occupandum palatium compulsurus. iam cum a dextra domum accederet, obviam Comneni prodeunt ipsi pediti; quos ille graviter obiurgavit. cumque in ipso aditu Palaeologum Nicephorum a sinistra rursus ingredientem conspexisset, ad eum conversus, "quid hic agis, inquit, quove consilio venisti, consocer?" cui ille "nihil equidem, ut opinor, efficiam, eadem, quae antea, allaturus imperatoris mandata. obstinavit enim promissis stare et Alexium pro filio ita habere, ut imperatoris dignitatem adipisceretur remque publicam suo arbitrio gubernaret; dummodo ipse nomen saltem imperatoris et rubros calceos purpuramque retineret et in palatio requiescere sibi liceret, quippe qui et senex iam esset et quiete indigens." at ille atroci vultu superciliisque contractis, "abi, inquit, renuntia imperatori, haec plus fortasse profutura fuisse ante captam urbem; nunc compositioni locum relictum non esse. senex autem cum iam sit, imperio cedat ac saluti suae consulat." atque haec quidem Caesar. Borilus autem, post-

τῶν λαφύρων συλλογῆς ὅλος γεγένηται, (οὗτοι δὲ μετὰ τῶν ἐξ αἵματος καὶ ἐξ ἀγχιστείας προσηκόντων αὐτοῖς καὶ μετρίων ὀθνείων κατελείφθησαν,) ἀντικαταστῆναι διέγνω τούτοις, λίαν εὐχειρώτοις οὖσι διὰ τὸν τοῦ στρατοῦ σκεδασμόν. τοίνυν καὶ συναγαγὼν τοὺς ἐπὶ τῶν ὤμων τὰ ξίφη κραδαίνοντας ἅπαντας καὶ ὁπόσοι ἐκ τοῦ Χώματος ὥρμηντο, ἀπὸ P.68 τοῦ Κωνσταντίνου φόρου μέχρι καὶ τοῦ λεγομένου Μιλίου καὶ ἄνωθεν μετ' εὐταξίας ὅτι πολλῆς στοιχηδὸν αὐτοὺς συνέταξεν· οἱ δὲ συνησπικότες ἵσταντο πρὸς μάχην παρεσκευασμένοι καὶ ἀτρεμοῦντες τέως. ἐπεὶ δὲ ὁ τηνικαῦτα πατριάρχης χρηματίζων ἱεροπρεπὴς τῷ ὄντι ἀκτήμων καὶ πᾶν εἶδος ἀσκήσεως, ἥπερ οἱ ἐν ἐρημίαις καὶ ὄρεσιν ἐνδιαιτώμενοι τῶν πάλαι πατέρων, διεληλυθώς, κατηξίωτο προορατικοῦ καὶ θείου χαρίσματος, πολλά τε πολλάκις προειπὼν καὶ μηδέποτε διαψευσάμενος καὶ κανὼν καὶ τύπος ἀρετῆς τοῖς μετ' αὐτὸν χρηματίσας, οὐδὲ τὰ τῷ Βοτανειάτῃ συμπεσόντα παντάπασιν B ἀγνοήσας ἐφαίνετο. ἀλλ' εἴτε ἐκ θείας ἐπιπνοίας, εἴτε καὶ τοῦ καίσαρος ὑποθεμένου, (ἐλέγετο γὰρ καὶ τοῦτο,) καὶ πάλαι φιλίως πρὸς αὐτὸν διακειμένου διὰ τὸ ὕψος τῆς αὐτοῦ ἀρετῆς, ξυνεβούλευε τῷ βασιλεῖ ὑπεκστῆναι τοῦ βασιλείου θρόνου, "μὴ χώρει" λέγων "πρὸς ἐμφυλίους πολέ-

1. δὲ om. G. 3. κατελείφθεισαν P. 7. Κωνσταντινείου G, Κωνσταντινίου C. 10. καὶ add. CG. 11. ἀκτήμων om. A. 13. ante προορατικοῦ add. A καὶ. 14. εἰπὼν CGA. 17. ἐπινοίας G. 18. ὑποθεμένου, ὡς πάλαι φιλίως A. 20. αὐτοῦ om. A. βασιλικοῦ G.

quam Comnenos ingressos esse comperit eorumque exercitum tota urbe praedabundum palari et in spoliis colligendis totum esse, (ipsi cum iis, qui sanguine et affinitate coniuncti erant, paucisque peregrinis militibus remanserant,) impetum facere statuit, facile eos propter exercitum dissipatum deleri posse ratus. itaque congregatos omnes, et qui humero enses gestant et qui e Chomate oriundi, a foro inde Constantini usque ad Milium et ultra optime ordinibus disposuit. et illi quidem consertis scutis ad pugnam parati stabant, neque dum loco movebant. sed cum qui patriarchae munere tunc temporis fungebatur, vir sanctus ac vere pauper quique omni pii cultus genere non minus quam qui in desertis olim montibusque degebant patres, exercitus erat, cum is ergo etiam prophetiae gratia praeditus, multa saepe praedixisset, neque unquam deprehensus esset in mendacio, et virtutis specimen ac quasi forma successoribus esset, illa ipsa, quae Botaniatae acciderant, nequaquam ignoravit. sed sive divino afflatu, sive etiam Caesare monitore, (nam et hoc dicebatur, cum is dudum familiariter patriarcha uteretur ob summam eius virtutem,) imperatori suasit, ut regno se abdicaret. "noli, inquit, bellum civile mo-

μους, μήτ' ἀντίβαινε θεοῦ προστάξει. αἵμασι Χριστιανῶν μὴ θέλε μιανθῆναι τὴν πόλιν, ἀλλ' εἴξας θεοῦ βουλήσει ὑπέκστηθι τοῦ μέσου." πείθεται τοῖς τοῦ ἀρχιερέως λόγοις ὁ βασιλεύς. δεδιὼς δὲ τὸ τοῦ στρατοῦ ἀτάσθαλον, περιζώννυται καὶ κάτεισιν ὡς πρὸς τὴν τοῦ θεοῦ μεγάλην ἐκκλησίαν ἀπο-C νενευκώς. πλήρης δὲ συγχύσεως ὤν, λέληθεν ἠμφιεσμένος ἔτι τὴν τοῖς βασιλεῦσιν πρέπουσαν στολήν. ὁ δὲ Βορῖλος ἐπιστραφεὶς καὶ ἀψάμενος τῶν περὶ τὸν βραχίονα περικεκολλημένων διὰ μαργάρων πέπλων, παραλύει τηνικαῦτα τῆς ἐσθῆτος, φάμενος μετά τινος μυκτῆρος καὶ σεσηρότος ἤθους, ὡς "τοιοῦτο ἡμῖν ἐπ' ἀληθείας προσήκει νῦν." ὁ δὲ εἰς τὸν μέγαν τοῦ θεοῦ νεὼν τῆς τοῦ θεοῦ σοφίας εἰσελθών, ἐγκαρτερῶν τέως ἦν ἐν αὐτῷ.

3. *βασιλεύς* : A omissis, quae supra p. 130, 20 — 131, 10 leguntur, hic addit *καί τοι γε τοῦ βορίλου πολλὰ τοῦτον παροτρύνοντος εἰς τὸ συνάψαι πόλεμον μετὰ τῶν Κομνηνῶν, καὶ συναγαγόντος τοὺς ἐπὶ τῶν ὤμων τὰ ξίφη κραδαίνοντας καὶ ὁπόσοι ἐκ τοῦ χώματος ὥρμηντο. περιζώννυται οὖν ὁ βοτανιάτης καὶ κάτεισιν* etc. 5. *ἀπονενευκὼς* om. A. 8. *περικεκολλημένων* A, *κεκολλημένων* PG. 9. *διαμαργάρων* A, probante Bandurio Imp. Or. I, p. 496. vid. annotat. 11. *τοιούτων* A. 12. *εἰσελθὼν οὖν εἰς τὸν τοῦ θ. μέγαν νεὼν* A.

vere, neve dei voluntati repugna. Christianorum sanguine urbem pollui ne permittas; quin dei potius arbitrio obsecutus, e medio abi." paruit imperator consilio pontificis et militum petulantiam veritus, praecincta veste in magnam dei ecclesiam descendit. in summa autem perturbatione cum esset, non animadvertit, imperatoria se adhuc veste amictum esse. itaque Borilus ad eum conversus, brachialia margaritis insignita prehendit atque a reliqua veste disiunxit, non sine sanna et irrisione addens: "talis vero ornatus nunc convenit nobis." Botaniates in magnum divinae sapientiae templum se contulit ibique aliquamdiu permansit.

ΑΛΕΞΙΑΣ Γ.

ALEXIADIS LIBER III.

ARGUMENTUM.

Botaniates fit monachus. cur uxor eius Maria palatio non excesserit (1). *Alexius coronatur a Cosma patriarcha, nec multo post Irene coniux* (2). *utriusque forma describitur* (3). *fratres Alexii novis honoribus et titulis ornati. Constantino Ducae imperii insignia conceduntur. cuius mater Maria tandem e palatio in Mangana migrat* (4). *Alexius scelera a militibus in capienda urbe admissa supplicationibus et ieiuniis expiat* (5). *quo ipse finibus imperii adversus hostes defendendis vacet, Annam Dalassenam matrem administrationi rerum praeficit* (6). *huius mulieris prudentia, eloquentia* (7), *morum integritas summaque in deo colendo observantia* (8). *misera imperii conditio, imminente hinc Roberto, illinc Turcis, aerario exhausto, exercitu fere nullo. Alexius Georgium Palaeologum, in Monomachati locum substitutum, Dyrrhachium mittit* (9). *idem cum alios Occidentis principes, tum maxime regem Alemanniae adversus Robertum concitare nititur* (10). *Turcorum, Solimane duce, usque ad Bosporum incursiones coercet pacemque cum iis componit* (11). *Robertus, quamquam tempestate gravissime afflictis copiis, ad Dyrrhachium oppugnandum se accingit* (12).

1. Οἱ δὲ Κομνηνοὶ τὰ βασίλεια καταλαβόντες, παρα- P. 70
χρῆμα τὸν ἐπ' ἀνεψιᾷ γαμβρὸν αὐτῶν Μιχαήλ, ὃς ἐν ὑστέ- V. 60

ΑΛΕΞΙΑΔΟΣ ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ G et in margine Ἀλεξιὰς τρίτη, ἀρχὴ τῆς βασιλείας Ἀλεξίου τοῦ Κομνηνοῦ add. PGA, om. C.

1. Sed Comneni, occupato palatio, statim Michaelem neptis suae coniugem, qui postea logothetae secretorum munere functus est,

ροις καιροῖς λογοθέτης τῶν σεκρέτων ἐχρημάτισε, πέμπουσι πρὸς αὐτόν. ὁ δὲ ἀπελθὼν μετὰ τοῦ τότε ἐπάρχου, (ὁ Ῥαδηνὸς δὲ οὗτος ἦν,) εἰσαγαγὼν τὸν βασιλέα εἰς ἀκάτιόν τι μικρόν, ἀπέρχεται μετ' αὐτοῦ εἰς τὴν τῆς Περιβλέπτου μονὴν περιώνυμον· εἶτα τὸ μοναδικὸν αὐτῷ ἄμφω προτρέπονται ἀμφιάσασθαι σχῆμα. τοῦ δὲ ἐς νέωτα τοῦτο ὑπερτιθεμένου, οὗτοι δεδιότες, ἔτι ἐν συγχύσει καὶ ἀταξίᾳ τῶν πρα- P. 71 γμάτων ὄντων, μή τι ἀπὸ τοῦ μέρους τῶν δούλων ἐκείνων καὶ τῶν ἐκ τοῦ Χώματος αὖθις νεωτερισθῇ, κατηπειγμένως τὴν τῶν τριχῶν ἀποκοπὴν αὐτῷ συνεβούλευον. καὶ πείθεται τούτοις καὶ τοῦ ἀγγελικοῦ τηνικαῦτα ἀξιοῦται σχήματος. οἷα τὰ τῆς τύχης! ὑψοῦ μὲν αἴρει τὸν ἀνθρώπινον βίον, ὅτε ἐπιμειδιᾷν αὐτῷ θελήσειε, καὶ διάδημα βασιλικὸν αὐτῷ περιτίθησι καὶ περιπορφύρει τὰ πέδιλα· ἐπὰν δὲ τὰς ὀφρῦς τούτοις ἐπισυνάξει, ἀντὶ τῆς πορφυρίδος καὶ τῶν στεμμάτων τὰ μέλανα ῥάκη καταμφιέννυσιν. ὅπερ δὴ καὶ τῷ βασιλεῖ Βοτανειάτῃ ξυμβέβηκεν. ἐρωτηθεὶς δὲ παρά του τῶν συνή- B θων, εἰ εὐφόρως τὴν μεταβολὴν φέρει, φησίν "ἡ τοῦ κρέως με μόνον ἀποχὴ ἀνιᾷ, τῶν δ' ἄλλων ὀλίγη μοι ἡ φροντίς." ἡ μέντοι βασιλὶς Μαρία σύναμα τῷ υἱῷ Κωνσταντίνῳ, ὃν ἐκ τοῦ προβεβασιλευκότος Μιχαὴλ ἔσχε τοῦ Δούκα, ἔτι τοῖς

1. καιροῖς om. P, add. CG, ἐν ὑστέρῳ A. 2. αὐτόν : τὸν βοτανιάτην A. τότε : τηνικαῦτα C et in margine P. Ῥαδινὸς GA. 3. εἰσαγαγόντες αὐτὸν εἰς ἀκάτιον μικρὸν, εἰς τὴν τῆς Π. μονὴν ἀπάγουσι καὶ τὸ A. 5. μοναχικὸν A. προπέμπονται C. 8. ἐκείνου A. 9. αὖθις add. CG et in margine P. 10. καὶ om. A. 13. θελήσειε A, θελήσαι PG. 15. ἐπισυνάξῃ C. 16. καὶ om. G. 19. με om. C. 20. καὶ τῷ A.

ad eum mittunt. is una cum praefecto urbis, qui tunc erat Radenus nomine, profectus, imperatorem navicula parva impositum in celebre monasterium Peribleptae avehitur. ubi cum perventum esset, ut monachi habitum indueret, uterque suadet. quo id in posterum differente, illi veriti, ne confusis perturbatisque adhuc rebus, servi isti et Chomateni novi quid rursus molirentur, vehementer institerunt, ut tondendum se praeberet. atque is obtemperat illis et angelico tum habitu ornatur. ut fortuna in mortalibus ludit! extollit, quoties arridere ei placet, et diadema purpureosque calceos induit; ubi autem supercilia contraxerit, pro purpura et corona pulla amicit lacerna. quod etiam Botaniati imperatori accidit; qui cum a familiarium quodam interrogatus esset, quo animo casum ferret, "carne, inquit, quod abstinere debeo, molestum est; cetera nihil curo." Maria vero imperatrix una cum filio Constantino, quem ex Michaele Duca Botaniatis de-

βασιλείοις προσέμενε, δεδοικυῖα περὶ ξανθῷ Μενελάῳ κατὰ τὴν ποίησιν, πρόφασιν ἀδιάβλητον τῆς καρτερίας τὴν συγγένειαν ἔχουσα, κἂν τινες ὑπὸ φθόνου παρακεκινημένοι ἄλλ' ἄττα περὶ αὐτῆς ὑπετόπαζον. προεφθάκει γὰρ τὸν μὲν γαμβρόν, τὸν δὲ θετὸν υἱὸν εἰσποιήσασθαι. ταῦτα δὲ ἀνέπεισεν C αὐτὴν οἰκοδομεῖν, οὐκ αἰτία τις κατὰ τοὺς πολλοὺς ἐπίψογος, οὐδὲ τὸ τῶν ἀνδρῶν ἐκείνων ἐπαγωγὸν καὶ εὐπρόσιτον, ἀλλὰ τὸ ἐπ' ἀλλοτρίας εἶναι, μὴ συγγενῆ, μὴ συνήθη, μηδένα τὸ παράπαν ὁμόχθονα κεκτημένην. οὐκ ἤθελεν οὖν ἀσυντάκτως ἐκεῖθεν ἐκστῆναι, δεδοικυῖα μή τι κακὸν συμβαίη τῷ παιδί, ἂν ἐκεῖθεν ἐξέλθῃ πρὸ τοῦ ἐχέγγυόν τι ἀσφαλείας λαβεῖν, ὁποῖα ἐν ταῖς μεταπτώσεσι τῶν βασιλέων συμβαίνειν εἴωθεν. ἦν γὰρ τὸ παιδίον καὶ ἄλλως ὡραῖον καὶ ἔτι νέον, οὔπω τὸν ἕβδομον χρόνον ὑπερελάσαν, καὶ (οὐ νέμεσις, εἰ τοὺς ἐμοὺς ἐπαινοίην, ὑπὸ τῆς τῶν πραγμάτων ἀναγκαζομένη φύσεως,) D ἡδὺ μὲν οὐκ ἐν λόγοις μόνον, ἀλλὰ καὶ ἐν παντοίαις κινήσεσι καὶ περιστροφαῖς παιγνίων ἀπαράμιλλον, ὡς οἱ τότε παρόντες ὕστερον ἔλεγον, ξανθὸν καὶ λευκὸν ὥσπερ γάλα, ἐρυθήματος μεστόν, ὅπου δέοι, καὶ ὁποῖον τὰ τῶν καλύκων ἄρτι ἐξαστράπτοντα ῥόδα· οἱ δὲ ὀφθαλμοὶ οὐ λευκοί, ἀλλ' ἱέρακος ἐοικότες καὶ λάμποντες ὑπὸ ταῖς ὀφρύσιν ὥσπερ ἐν χρυσῇ σφενδόνῃ· κἀντεῦθεν ποικίλαις τέρψεσι τέρπον τοὺς

3. ἄλλά τα A. 8. καὶ μὴ συγγενῆ P. συγγενεῖ μὴ συνήθει G. an μηδ' ἕνα? 9. κεκτημένη G. 11. ἐξέλθοι P. 12. βασιλειῶν G. 22. σφεδόνῃ : ψηφίς addit Longus 4, p. 123, quem h. l. imitatur. τέρπων G.

cessore susceperat, in palatio adhuc manebat, metuens flavo, ut poeta ait, Menelao. causa morae, eaque nulli calumniae obnoxia, erat necessitudo; quanquam erant malevoli, qui alia suspicarentur. asciverat enim alterum generum, alterum adoptaverat filium: inde consilium cepit manere, non aliam ob causam in vulgus improbatam, nec quod facile illi adeundi illiciendique essent. immo peregrina cum esset et neque necessarium, neque familiarem, neque ullum omnino popularem haberet, temere regiis aedibus decedere noluit, verita, ne filio quid accideret, si ante securitatis cautionem acceptam inde exiret; qualia accidere solent, cum reges imperio pelluntur. puerulus erat formosus septimumque nondum superaverat annum, qui sive loquebatur, sive ludorum genere vario corpus exercebat, (liceat enim meos laudare, ubi rerum id ratio exigit,) iudicio eorum, qui tum aderant, omnes suavitate superabat. flava coma, color candore lactis, rubore, ubi opus erat, suffusus, rosarum instar calyces primum rumpentium. oculi non albi, sed quales accipitrum, fulgentes sub superciliis, veluti aurea in pala. itaque varia, quicunque eum adspiciebant, volu-

V. 61 δρῶντας, οὐράνιόν τε καὶ οὐκ ἐπίγειον κάλλος δοκοῦν, καὶ τὸ ὅλον, εἶπεν ἄν τις ἰδών, ὁποῖον τὸν Ἔρωτα γράφουσιν.
P. 72 αὕτη ἡ ἀληθὴς αἰτία τῆς εἰς τὰ βασίλεια τῆς βασιλίδος ἐγκαρτερίας. ἐγὼ γὰρ καὶ ἄλλως φύσει τὸ λογοποιεῖν καὶ καινά τινα ἀναπλάττειν ἀποστρέφομαι, εἰδυῖα σύνηθες τοῦτο εἶναι τοῖς πολλοῖς, καὶ μᾶλλον ὁπηνίκα ὑπὸ φθόνου καὶ χαιρεκακίας ἁλίσκοιντο, καὶ οὐ ταχὺ ταῖς διαβολαῖς συμφέρομαι τῶν πολλῶν· ἀλλὰ καὶ ἄλλοθεν τὴν ἐν τοῖς τοιούτοις ἀσφάλειαν ἔσχον, ἐκ παιδαρίου συνατραφεῖσα τῇ βασιλίδι καὶ οὔπω τὸν ὄγδοον ὑπερελάσασα χρόνον. πολὺ δὲ τὸ περὶ ἐμὲ φίλτρον ἔχουσα, τῶν ἀπορρήτων πάντων κεκοινώνηκε. καὶ πολλῶν μὲν καὶ ἄλλων περὶ τούτων λεγόντων ἀκήκοα καὶ πρὸς
B ἄλλους διαφερομένων, τῶν μὲν οὕτως, τῶν δὲ οὕτως ἐκλαμβανομένων τὰ τότε πραχθέντα, ἑκάστου πρὸς τὴν ἰδίαν τῆς ψυχῆς κατάστασιν καὶ ὡς πρὸς αὐτὴν εὐνοίας ἢ μίσους εἶχε, καὶ οὐ πάντας τῆς αὐτῆς ἑώρων γνώμης· ἠκηκόειν δὲ πολλάκις καὶ αὐτῆς διηγουμένης, ὁπόσα ξυμβέβηκεν αὐτῇ καὶ εἰς οἷον φόβον καὶ μᾶλλον περὶ τοῦ παιδὸς ἐπεπτώκει, ὁπηνίκα ὁ βασιλεὺς Νικηφόρος τὴν βασιλείαν ἀπετίθετο. καὶ κατά γε ἐμὲ κριτὴν καὶ τοὺς πολλοὺς τῶν ἀρίστων καὶ ἀληθείας ἐπιμελουμένων, ὁ τοῦ παιδὸς πόθος αὐτὴν ἐν τοῖς βασιλείοις πρὸς ὀλίγον τότε κατέσχηκεν. ἀλλὰ τὰ μὲν περὶ τῆς βασιλίδος Μαρίας τοσαῦτα. ὁ δέ γε τέως τῶν σκήπτρων δρα-

9. παιδόθεν CG. lege συναναtραφεῖσα. 11. κεκοίνωκε G.
22. τότε om. G.

ptate afficiebat, ac coelestis, nec terrena forma videbatur esse, omninoque talem eum qui videret diceret, qualem Amorem pingunt. atque haec quidem vera causa est, cur imperatrix in palatio remanserit. ego cum alioquin natura ita comparata sim, ut a novis fingendis tradendisque falsis abhorream, (multitudinis eam esse consuetudinem scio, praesertim cum odio atque invidia capta est,) neque facile calumniis vulgi acquiescam; tum vero hac in re etiam aliunde certa comperi. cum enim a pueritia, priusquam octavum complevissem annum, apud imperatricem una educarer, ea pro magno quo me amplectebatur amore, arcana sua omnia mecum communicavit. ac non solum alios multos de his loquentes audivi, qui inter se discreparent, aliis hoc, aliis illo modo, quae tum facta erant, interpretantibus, prout quisque benevole aut secus erga eam affecti erant, nec eiusdem omnes sententiae esse vidi: verum etiam ipsam saepe audivi enarrantem, qualia sibi accidissent et quantum in metum, de filio maxime, adducta esset, cum Nicephorus imperator regno abdicasset. itaque, me quidem iudice et optimo quoque veritatisque amantissimo, filii cura in regia

ξάμενος Ἀλέξιος ὁ ἐμὸς πατὴρ εἴσω τῶν βασιλείων γενό- C μενος, τὴν μὲν ἰδίαν σύνευνον πεντεκαιδέκατον ἔτος ἄγουσαν σὺν ταῖς ἀδελφαῖς καὶ τῇ μητρὶ καὶ καίσαρι τῷ πρὸς πατρὸς αὐτῆς πάππῳ ἐν τῷ κάτω καταλελοίπει παλατίῳ. οὕτω γὰρ ἔφθασε καλεῖσθαι, ἀπὸ τῆς τοῦ τόπου θέσεως τὴν ἐπωνυμίαν λαχόν. αὐτὸς δὲ μετὰ τῶν ἀδελφῶν καὶ τῆς μητρὸς καὶ τῶν ἐξ ἀγχιστείας προσηκόντων αὐτῷ γαμβρῶν εἰς τὸ ὑπερκείμενον παλάτιον ἄνεισιν, ὃ καὶ Βουκολέων ἐπονομάζεται ἐξ αἰτίας τοιᾶσδε. καὶ γὰρ ἀγχοῦ τῶν τούτου τειχῶν λιμὴν δι' ἐγχορήγου καὶ μαρμάρων πάλαι τῶν χρόνων ᾠκοδόμητο, ὅπου ὁ λίθινος λέων ζωγρεῖ τὸν βοῦν. ἔχεται γὰρ D τοῦ κέρως τοῦ βοός, καὶ ἐξαυχενίσας αὐτόν, ἐμφύεταί πως τῷ λαιμῷ. ἐξ οὗ δὴ καὶ Βουκολέων ὁ τόπος ὅλος ὠνόμασται, τά τε ἐν ἠπείρῳ οἰκοδομήματα καὶ αὐτὸς δὴ ὁ λιμήν.

2. Πολλοὶ μὲν οὖν, ὡς ἄνωθεν εἴρηται, τὴν τῆς βασιλίδος περὶ τὰ βασίλεια καρτερίαν ὑποπτεύοντες, ὑπετονθόρυζον, ὡς εἰς κῆδος ταύτην ἀγαγέσθαι μέλλει ὁ νῦν τῆς βασιλείας ἐπιδραξάμενος. οἱ δὲ Δοῦκαι οὐδὲν μέντοι τοιοῦτον ἐνενόουν, (οὐ γὰρ συνεφέροντο ταῖς τυχούσαις ἐννοίαις,) ἀλλὰ τὴν τῆς μητρὸς τῶν Κομνηνῶν ἀπροφάσιστον κατ' αὐτῶν μῆνιν ἐκ μακροῦ γινώσκοντες, περιδεεῖς ἦσαν ὑποπτεύοντες αὐτήν, ὡς κἀγὼ πολλάκις διηγουμένων ἀκήκοα. ἐπεὶ δὲ καὶ ὁ Παλαιολόγος Γεώργιος μετὰ τοῦ στόλου φθάσας τῆς

3. τῇ add. A. 4. παλάτιον C. 6. λαχὼν G. 10. ἐγχωρήγου Ducang. Gloss. I, p. 349. 15. βασιλίδος μαρίας A. 16. ὑπετονθόριζον A. 17. εἰσαγαγέσθαι A. 19. ἐνόουν C. 23. καὶ om. A.

tunc eam paulisper retinuit. hactenus de Maria Augusta. Alexius autem pater meus, qui sceptra tunc sumserat, ingressus palatium, coniugem suam, quintum decimum aetatis annum agentem, cum sororibus ac matre Caesareque paterno ipsius avo, in inferiori palatio reliquit; ita enim a situ loci vocari consueverat. ipse cum fratribus, matre et qui affinitate sibi coniuncti erant, in superius palatium concessit, quod et Bucoleon cognominatur hac quidem de causa. non longe enim a moenibus eius portus olim e nativo lapide et marmore aedificatus est, ubi leo lapideus taurum capit. arrepto enim bovis cornu, cervicem detorquens, faucibus quasi inhaeret; unde Bucoleon tota regio nominata est, et aedificia continentis et portus ipse.

2. Multi quidem suspectantes, ut supra dictum est, imperatricis in palatio moram, susurrabant, in matrimonium imperatorem novum eam ducturum. Ducae etsi nihil tale suspicarentur, (non enim vulgi opiniones sequi solebant,) tamen cum matris Comnenorum apertum in se odium dudum cognovissent, magna sollicitudine eam suspecta-

εὐφημίας ἐξήρχετο, οἱ περὶ τοὺς Κομνηνοὺς προκύπτοντες ἄνωθεν κατεσίγαζον, μὴ τὴν Εἰρήνην τῷ Ἀλεξίῳ κἂν τῇ εὐφημίᾳ συνάψαντας κοινῶς εὐφημεῖν. ὁ δ' ἐμβριμησάμενος κάτωθεν αὐτοῖς φησὶν "οὐ δι' ὑμᾶς τὸν τοσοῦτον ἀγῶνα ἀνεδησάμην αὐ-
P. 73 τός, ἀλλὰ δι' ἣν φατε Εἰρήνην." ἅμα δὲ καὶ τοῖς ναυτικοῖς παρεκελεύετο Εἰρήνην σὺν τῷ Ἀλεξίῳ ἀνευφημεῖν. ταῦτα ταῖς μὲν ψυχαῖς τῶν Δουκῶν πολὺν ἐνέβαλε θόρυβον, τοῖς δέ γε μωμοσκόποις λοιδορίας ὕλη κατὰ τῆς βασιλίδος Μαρίας ἐγένετο. ὁ δὲ βασιλεὺς Ἀλέξιος μηδ' ἐν νῷ τοιοῦτόν τι βαλλόμενος, (καὶ πῶς γάρ;) ἀλλὰ τὴν τῶν Ῥωμαίων ἡγεμονίαν παραλαβών, ἀνὴρ ἐν πᾶσι δραστήριος τῶν ὅλων εὐθὺς πραγμάτων γίνεται καί, ὡς ἂν εἴποι τις, ὡς ἀπὸ κέντρου τῶν ἁπάντων κατάρχεται.
V. 62 ἀνίσχοντος γὰρ ἡλίου εἰς τὰ βασίλεια εἰσελθών, πρὶν ἢ τὸν
B ἀπὸ τῆς στάσεως κονίσαλον ἀποτινάξασθαι καὶ τὸ σῶμα διαναπαῦσαι, εὐθὺς τῆς τῶν στρατιωτικῶν ὅλος ἐγεγόνει φροντίδος. καὶ τὸν ἀδελφὸν Ἰσαάκιον ὡς πατέρα σεβόμενος, κοινωνὸν εἶχεν ἐν πᾶσιν, ἅμα καὶ τὴν μητέρα, ἐν ταῖς τῶν κοινῶν διοικήσεσιν ὑπερείδοντας, κἂν τὸ μεγαλόνουν αὐτῆς καὶ δραστήριον οὐ πρὸς μίαν βασιλείας διοίκησιν, ἀλλὰ πολλαῖς καὶ διαφόροις ἐξήρκει. αὐτὸς δὲ πρὸς τὸ κατεπεῖγον ἀπονενευκὼς ἦν, τὸ τῆς ἡμέρας ἐπίλοιπον καὶ τὴν ὅλην νύκτα ἐς

1. ἀνῆρξεν A. 3. ὁ δὲ G. 4. ἀνεδησάμην C, ἀνεδυσάμην PGA. 5. δι' : δὴ P. 7. γε om. G. 10. ἡγεμονίαν CA, βασιλείαν PG. 14. κονίσαλον A, κονίσσαλον PG. 15. ἐκγεγόνει G. 18. αὐτοῦ coni. Diesterwegius. 19. μίαν C, μιᾶς PG.

bant; idque ipsa saepius eos dicere memini. cum vero etiam Georgius Palaeologus cum classe adveniens, acclamationem praeiret, prospectantes deorsum Comneniani silentium imperabant, ne Irenen Alexio vel acclamatione adiungerent unaque salutarent. quos ille increpans, "non propter vos" sursum clamat "tantum laborem suscepi, sed propter eam, quam dicitis, Irenen"; simulque Irenen una cum Alexio proclamare nautas iussit. haec Ducarum animis magnam iniiciebant curam, malignis autem calumniarum in Mariam Augustam materiem praebebant. at enim imperator Alexius ne cogitatione quidem tale quid conceperat; (qui enim poterat?) sed Romanorum imperio potitus, ut erat vir in omnibus acerrimus, rei publicae statim se dedidit et tanquam a centro, ut ita dicam, rerum auspicatus est. nam cum oriente sole in palatium intrasset, priusquam pulverem certaminis excuteret corporique quietem daret, omnem statim curam ad milites contulit, fratremque Isaacium, quem patris loco colebat, consiliorum omnium participem fecit; simul matrem administrandis rebus adhibuit, quamquam magnus et strenuus eius animus non uni rei publicae parti, sed pluribus iisque diversis par erat. ipse ad id, quod

φροντίδα καταναλώσας, τοῦ στρατιωτικοῦ πλήθους σκεδασθέντος εἰς τὸ Βυζάντιον ἅμα καὶ ἀτάκτοις ὁρμαῖς κεχρημένου, ὅπως μὲν θορύβου ἄτερ αὐτοὺς τῆς ἀτάκτου ἀνακόψῃ C ὁρμῆς, ἀφροντισίαν δὲ τῷ κοινῷ τοῦ λοιποῦ περιποιήσηται, ἐδεδίει γὰρ καὶ ἄλλως τὸ ἰταμὸν τῶν στρατιωτῶν, καὶ μᾶλλον ὅσῳπερ ἐκ διαφόρων συνείλεκτο, μὴ καὶ κατ' αὐτοῦ χεῖρον διανοήσαιντο. ὁ δὲ καῖσαρ Ἰωάννης ὁ Δούκας βουλόμενος τάχιον τὴν βασιλίδα ἀποσκευάσασθαι καὶ τῶν βασιλείων ἀπελάσαι, ὑποψίας τε πολλοὺς ἀπαλλάξαι ψευδοῦς, ἔνθεν μὲν τὸν πατριάρχην Κοσμᾶν παντοίως ὑπεποιεῖτο, ἀξιῶν τά θ' ὑπὲρ αὐτῶν φρονεῖν καὶ ταῖς λόγοις τῆς τῶν Κομνηνῶν μητρὸς μηδαμῶς ὑπείκειν· ἐκεῖθεν δὲ τῇ βασιλίδι Μαρίᾳ D νουνεχῶς ὑπετίθετο, ἔγγραφόν τι τοῦ αὐτοκράτορος ἐξαιτησαμένην αὐτῆς τε χάριν καὶ τῆς τοῦ παιδὸς ἀσφαλείας, οὕτως ἐκεῖθεν ὑποχωρεῖν, Πάτροκλον πρόφασιν ταῦτ' ἐσχηκώς. ἔφθασε γὰρ ἀντιλαβέσθαι ταύτης, ὁπηνίκα ὁ βασιλεὺς Μιχαὴλ ὁ Δούκας τῆς βασιλείας ἐξέστη, καὶ τῷ μετ' αὐτοῦ βεβασιλευκότι Νικηφόρῳ τῷ Βοτανειάτῃ συμβουλεύσασθαι συναφθῆναι ταύτῃ πρὸς γάμου κοινωνίαν, ὅτι ἐξ ἀλλοδαπῆς ἐστὶ καὶ συγγενῶν ὄχλος οὐ προσῆν αὐτῇ, δι' ὧν ὁ βασιλεὺς ὀχλοῖτο, περί τε τοῦ γένους καὶ τῆς τοῦ σώματος ὥρας

2. ἅμα om. A. 4. ἀφροντησίαν PG, alterum CA. 5. γὰρ om. P. 8. βασιλίδα μαρίαν A. 9. τοὺς πολλοὺς coni. Diesterwegius. 10. ὑποπεποιεῖτο P, ὑπεπεποιεῖτο G, recte CA. 11. θ' add. A. τῆς A, ταῖς PG. 12. ἔνθεν δὲ A. τὴν βασιλίδα Μαρίαν PG, recte A. 15. ὑποχωρεῖν C, ἀποχωρεῖν PG, ὑποχωρῆσαι P in margine, ἀποχωρῆσαι A. 17. αὐτῷ G. lege αὐτόν. 21. τοῦ ante γένους add. C.

maxime urgeret, animum advertit ac reliquam diei partem totamque noctem consumsit deliberando, quomodo exercitum, per Byzantium dispersum effusa licentia, sine tumultu in ordinem restitueret et in posterum civium securitati consuleret. verebatur enim a militum temeritate, praesertim cum ex diversis gentibus exercitus collectus esset, ne etiam sibi mali quid strueretur. sed Iohannes Ducas Caesar, quo celerius imperatricem amoliretur palatioque educeret ac falsam multitudini suspicionem tolleret, tum patriarcham Cosmam omni modo devinxit contenditque, ut a suis partibus staret, neque matris Comnenorum sermonibus aures praeberet, tum Mariae Augustae, ut flagitatis ab imperatore ad suam filiique securitatem litteris, discederet, callide persuasit, idque Patrocli, quod aiunt, praetextu usus. prospexerat ei iam tum, cum Michael Ducas imperio pelleretur, et Nicephoro Botaniatae, qui illi successit, auctor fuerat, ut in matrimonium eam duceret. alienigenam eam esse aiebat, et consanguineorum turba carere, qui imperatori molestias crearent; deinde et genus eius

P. 74 ἀπαγγέλλων πολλὰ καὶ πολλάκις ἐπαινῶν αὐτήν. καὶ γὰρ ἦν εὐμήκης μὲν τὴν ἡλικίαν καθάπερ ἡ κυπάριττος, λευκὴ δὲ τὸ σῶμα ὡσεὶ χιών, πρόσωπον κύκλον μὲν οὐκ ἀπαρτίζον, τὸ δὲ χρῶμα δι' ὅλου ἄνθος ἠρινὸν ἢ ῥόδον ἄντικρυς. τὰς δὲ τῶν ὀμμάτων αὐγὰς τίς ἀνθρώπων ἐξείποι; ὀφρῦς ὑπερανεστηκυῖα καὶ πυρσή, βλέμμα χαροπόν. ζωγράφου μὲν οὖν χεὶρ τὰ χρώματα τῶν ἀνθέων πολλάκις ἐμιμήσατο, ὁπόσα ὧραι φέρειν εἰώθασι, τὸ δὲ τῆς βασιλίδος κάλλος καὶ ἡ ἐπιλάμπουσα αὐτῇ χάρις καὶ τὸ τῶν ἠθῶν ἐπαγωγόν τε καὶ εὔχαρι ὑπὲρ λόγον καὶ τέχνην ἐφαίνετο· οὐκ Ἀπελλῆς, οὐ Φειδίας, οὐδέ τις τῶν ἀγαλματοποιῶν τοιοῦτόν ποτε παρήγαγεν ἄγαλμα. καὶ ἡ μὲν τῆς Γοργοῦς κεφαλὴ λίθους ἐξ B ἀνθρώπων τοὺς ὁρῶντας ἐποίει, ὥς λέγεται, τὴν δὲ ἰδὼν ἄν τις βαδίζουσαν ἢ αἴφνης ὑπαντιάσας ἐκεχήνει τε καὶ ἐπὶ ταὐτοῦ σχήματος, ἐφ' ᾧ ἔτυχεν ὤν, ἵστατο ἐννεός, ὡς ἀφῃρῆσθαι τηνικαῦτα δοκεῖν καὶ ψυχὴν καὶ διάνοιαν. ἀναλογίαν γὰρ τοιαύτην μελῶν καὶ μερῶν, τοῦ ὅλου πρὸς τὰ μέρη καὶ τούτων πρὸς τὸ ὅλον, οὐδεὶς οὐδέπω τοιαύτην ἐν ἀνθρώπου σώματι ἐθεάσατο· ἄγαλμα ἔμψυχον καὶ ἀνθρώποις φιλοκάλοις ἐράσμιον. Ἵμερος γὰρ ἄντικρυς ἦν σωματωθεὶς οἷον εἰς τόνδε τὸν περίγειον κόσμον. τούτοις οὖν ὁ καῖσαρ C συγχρησάμενος τότε, τὴν τοῦ βασιλέως καταμαλάττει καὶ χει-

3. ὡσεὶ C, ὡς ἡ PG. κύκλῳ G. 4. ἄνθος om. G. 6. ζωγράφος C. 7. τὰ χρώματα om. G. ἐπιμιμήσατο G. 9. αὐτὴν C. 13. τοὺς ὁρῶντας ἐξ ἀνθρώπων G. δὲ : τε G. 14. ὑπαντιώσας C. 18. ταύτην G. 21. περίγειον om. CG.

et corporis venustatem multum praedicabat, nec raro laudibus eam extollebat. ac sane procera erat statura, quemadmodum cyparissus, corpore candido, ut nix; facies non orbem quidem referens, sed tamen colore floris verni vel rosae prorsus; oculorum fulgorem quis describat? supercilia alte curvata et rutila; acies caerulea. florum quidem colores, quotquot temporum vicissitudines ferre solent, pictoris saepe imitata est manus; at imperatricis pulchritudo, refulgensque ex ore venustas et morum suavitas ac gratia omnem descriptionem artemque superabant; neque Apelles, nec Phidias, nec ullus unquam statuarius talem imaginem finxit. Gorgonis ferunt caput in saxa homines convertisse, qui ipsum adspicerent; hanc qui incedentem videret vel obvius subito fieret, obstupuit et quo forte habitu erat, elinguis adstitit, ut et anima et sensu privatus videretur; tantam et totius corporis cum singulis membris et singularum partium cum toto convenientiam nemo unquam in humano vidit corpore. simulacrum erat vivum hominumque, qui pulchri sensum haberent, amorem in se convertens, vel potius Amor ipse, indutus

ρουται ψυχήν, κἂν πολλοὶ αὐτῷ συνεβούλευον τὴν βασιλίδα ἀγαγέσθαι Εὐδοκίαν, περὶ ἧς ὑπετονθόρυζόν τινες, ὡς τῆς V. 63 βασιλείας καὶ αὖθις ἱμειρομένῃ, τὸν Βοτανειάτην, ὁπηνίκα τὴν Δάμαλιν κατέλαβεν ἐπειγόμενος εἰς τὴν βασίλειον ἀναχθῆναι περιωπήν, διὰ γραμμάτων ἐσφετερίζετο· οἱ δέ, ὅτι οὐ χάριν ἑαυτῆς, ἀλλὰ τῆς ἰδίας Ζωῆς τῆς Πορφυρογεννήτου· καὶ τάχα διηνύκει ἂν τὸ σπουδαζόμενον, εἰ μή τις τῶν θεραπόντων τῆς ὁρμῆς ταύτης ἀνέκοψε, Λέων ἐκτομίας ὁ Κυδωνειάτης, πολλὰ καὶ καίρια πρὸς αὐτὴν εἰρηκώς, ἃ κατὰ μέρος ἀπαγγέλλειν ἡμῖν οὐ θέμις, φύσει τὸ διαβάλλειν D ἀποστρεφομένοις, τοῖς δὲ τῶν τοιούτων λογοποιοῖς πάντως καὶ περὶ τούτων μελήσει. ὁ μέντοι καῖσαρ Ἰωάννης παντοίως αὐτὸν μετελθών, πέρας δέδωκε τῇ βουλῇ πείσας συναφθῆναι τῇ βασιλίδι Μαρίᾳ, καθὼς ὁ λόγος σαφέστερον φθάσας ἐδήλωσε, κἀντεῦθεν παρρησίαν πολλὴν ἐσχήκει πρὸς αὐτήν. ἐπεὶ δ' ἔν τισιν ἡμέραις ταῦτ' ἐτελεῖτο, μὴ βουλομένων τῶν Κομνηνῶν ἀθρόον αὐτὴν ἀπελάσαι τῶν βασιλείων, ἅτε πολ- P. 75 λῶν αὐτῆς εὐεργετημάτων τυχόντων παρ' ὅλον τὸν τῆς βασιλείας αὐτῆς χρόνον, οὐχ ἧττον δὲ καὶ δι' ἣν ἔσχον πρὸς αὐτὴν συνήθειαν τῇ προφάσει τῆς ἐξ ἀμφοτέρων τῶν μερῶν συμπεσούσης συγγενείας, πολλοὶ ἐκ πολλῶν συνείροντο λόγοι νοημάτων διαφόρων ἐξαγγελτικοί, τῶν μὲν ἄλλως ἐκλαμβα-

5. περιοπὴν C. 6. πορφυρογενήτου C. 9. κυδωνιάτης G. καίρια FC, καιρίως PG. 10. ἡμῖν ἀπαγγέλλειν G. 11. παντὸς P.

quasi corpore, in terrestrem hunc mundum descenderat. hisce igitur Caesar rationibus usus, imperatoris animum mollit flectitque, quanquam multi suadebant, ut imperatricem duceret Eudociam, quam rumor erat, imperii rursus cupidam, Botaniatem, cum rerum potiturus Damalim occupasset, litteris sibi conciliasse: sunt tamen, qui non sua, sed Zoes filiae Porphyrogenitae causa id fecisse eam dicant: ac fortasse perfecturam fuisse consilium, nisi quidam ex domesticis, Leo Cydoniates eunuchus, multis iisque in tempore monendis deterruisset, quae singulatim referre, cum natura a calumniis abhorreamus, nobis nefas videtur; relinquimus et ista iis, qui eiusmodi rumores litteris mandare solent. Iohannes autem Caesar, qui vario modo Botaniatem tentaret, tandem rem ita perfecit, ut Mariam Augustam ducendam statueret, ut supra iam distinctius exposuimus; atque ab eo inde tempore magnam apud eam habebat dicendi libertatem. sed cum aliquot dierum negotium esset, neque Comneni omnino palatio eam pellere vellent, cum propter multa ab ea per totum imperii tempus accepta beneficia, tum vero etiam ob familiaritatem, quae propter necessitudinem, qua uterque ei devinctus erat, inter eos intercede-

νομένων τὰ πραττόμενα, τῶν δὲ ἑτέρως, ὡς ἕκαστος εὐνοίας ἢ μίσους εἶχε τὰ πρὸς αὐτήν, τῶν εἰωθότων ἐκ προαιρέσεως καὶ μὴ ὡς ἔχουσι κρίνειν τὰ πράγματα. καὶ δὴ στέφεται τέως ὁ Ἀλέξιος μόνος παρὰ τῆς δεξιᾶς τοῦ ἀρχιερέως Κοσμᾶ. καὶ γὰρ τῷ τετάρτῳ ἔτει τῆς βασιλείας Μιχαὴλ τοῦ B Δούκα καὶ τοῦ υἱοῦ Κωνσταντίνου αὐτοκράτορος τελευτήσαντος τοῦ ἱερωτάτου πατριάρχου Ἰωάννου τοῦ Ξιφιλίνου, μηνὸς Αὐγούστου δευτέραν ἄγοντος, ἐπινεμήσεως τρισκαιδεκάτης, χειροτονεῖται τηνικαῦτα οὗτος ὁ ἀνὴρ ἱεροπρεπὴς καὶ πλήρης ἁγιωσύνης. τοὺς Δούκας δὲ τὸ μήπω τὴν βασιλίδα τῆς βασιλικῆς ταινίας ἀξιωθῆναι, ἐπὶ πλέον ἐξεδειμάτει· ἐνίσταντο δὲ ὅμως καὶ τὴν βασιλίδα Εἰρήνην τοῦ στέφους ἀξιωθῆναι. ἔτυχε δέ τις μοναχὸς Εὐστράτιος τὴν κλῆσιν, Γαριδᾶς τὴν ἐπωνυμίαν, τὰς οἰκήσεις ἀγχοῦ τῆς τοῦ θεοῦ μεγάλης ἐκκλησίας ποιούμενος καὶ ἀρετὴν δῆθεν ὑποκρινόμενος· C οὗτος θαμὰ πρὸς τὴν μητέρα τῶν Κομνηνῶν πάλαι παραγενόμενος, περὶ βασιλείας προὔλεγεν. ἡ δὲ καὶ ἄλλως φιλομόναχος οὖσα, ἀλλὰ καὶ τοῖς τοιούτοις ὑποσαινομένη λόγοις, τὴν εἰς αὐτὸν πίστιν ὁσημέραι ἐπὶ πλέον αὔξάνουσαν ἐδείκνυ, κἀντεῦθεν τῷ ἀρχιερατικῷ τῆς μεγαλοπόλεως θρόνῳ ἐγκαθιδρῦσαι τοῦτον προτεθύμητο. καὶ τὸ ἁπλοῦν καὶ ἄπραγμον τοῦ τηνικαῦτα ἀρχιερέως προφασιζομένη, ἔπειθέ τινας λό-

1. ἐννοίας PG, εὐνοίας C et in margine PG. 7. μηνὶ αὐγούστῳ δευτέραν ἄγοντι GC. 8. ἐπινεμήσει τρισκαιδεκάτῃ G. 9. χειροτονῆται G. an κεχειροτόνηται? ὁ om. CA. 10. βασιλίδα εἰρήνην A. 11. ἐξεδειμάτου? 13. Γριδᾶς G, γαρυδᾶς A. 16. πρὸς: περὶ A. 19. ἐς G. ἐπὶ πλέον add. CA.

bat, multi a multis spargebantur rumores, qui varias sententias indicarent, cum alii hoc, alii illo modo, quae fiebant, interpretarentur, ut quisque amore aut odio in eam affectus erat; qui quidem res ex studiis suis, non ut re vera se habent, iudicare solent. eo in loco cum res essent, Alexius solus coronatur manu patriarchae Cosmae. etenim quarto anno imperii Michaelis Ducae et filii eius Constantini Iohanne Xiphilino patriarcha sanctissimo mortuo, secundo mensis Augusti die, indictione decima tertia, subrogatus fuerat vir ille religiosus et sanctitate plenus. Ducae, imperatrice nondum diadema nacta, magis etiam sollicitabantur instabantque, ut Irene quoque corona ornaretur. erat monachus Eustratius nomine, cognomento Garidas, qui aedes prope magnam dei ecclesiam exstruebat et virtutis nimirum speciem assimulabat. is dudum Comnenorum matrem adire solitus, etiam de imperio illi praedixerat. quae cum alioquin propensior in monachos esset, tum praeterea sermonibus eiusmodi delinita,

γους παραιτήσεως ἐν σχήματι συμβουλῆς πρὸς αὐτὸν ἀνακι-
νεῖν, ὡς δῆθεν διὰ τὸ αὐτῷ συμφέρον τοῦτο ξυμβουλεύον-
τας. ἀλλὰ τὸν ἱερὸν ἐκεῖνον ἄνδρα ἡ σκῆψις αὕτη οὐ διε-
λάνθανε· καὶ τέλος τὴν ἰδίαν ἐπομοσάμενος κλῆσίν φησι πρὸς D
αὐτοὺς "νὴ τὸν Κοσμᾶν, εἰ μὴ διὰ τῶν ἐμῶν χειρῶν ἡ Εἰ-
ρήνη τοῦ στέφους ἀξιωθῇ, τοῦ ἀρχιερατικοῦ θρόνου οὐκ
ἀποστήσομαι." οἱ δὲ ἐπαναστρέψαντες ἀπαγγέλλουσι τῇ δε-
σποίνῃ τὰ μηνυθέντα· ἔφθασαν γὰρ ἤδη οὕτω ταύτην κα-
λεῖν ἅπαντες, τοῦ φιλομήτορος βασιλέως τοῦτο βουλομένου.
ἑβδομαία τοίνυν μετὰ τὴν τοῦ Ἀλεξίου ἀνάρρησιν καὶ ἡ V.64
αὐτοῦ ὁμευνέτις Εἰρήνη διὰ τοῦ πατριάρχου Κοσμᾶ ἀξιοῦται
στέφους.

3. Αἱ μὲν οὖν μορφαὶ τοῖν βασιλέοιν ἀμφοῖν Ἀλεξίῳ
τε καὶ Εἰρήνῃ ἀμήχανοι καὶ εἰς ἅπαν ἀμίμητοι, καὶ οὔτε
γραφεὺς γράψειεν ἂν πρὸς ἀρχετυπίαν τοῦ κάλλους ὁρῶν,
οὔτε λιθοξόος ἄψυχον οὐσίαν οὕτω ῥυθμήσειε, εἴ τις ἂν P.76
πρὸς τὰ τῆς φύσεως ἀγάλματα ταῦτα, λέγω δὴ τοὺς ἀρτι-
στεφεῖς αὐτοκράτορας, καὶ πρὸς τὰ τοῦ Πολυκλείτου ἐκείνου
σπουδάσματα ἀποβλέψειεν. ὁ μὲν γὰρ Ἀλέξιος οὐ πάνυ μὲν
ἀπὸ τῆς γῆς ἐπῆρτο ἐπὶ πολύ, εἰς εὖρος δὲ συμμέτρως πῶς
ηὐρύνετο. καὶ ἱστάμενος μὲν οὐ τοσοῦτον θάμβος ἐδίδου

3. αὐτοῦ G. 7. ἐπαναστρέψαντες CA, ὑποστρέψοντες PG. 9. τοῦτο : οὕτω ταύτην καλεῖσθαι A. 15. ἀρχετυπίας P, alterum CG. 16. lege ῥυθμίσειε. 21. εὐρύνετο G.

maiorem in dies ei fiduciam tribuebat et iam de transferendo in istum urbis patriarchatu cogitabat. itaque simplicitatem atque a rebus gerendis abhorrens ingenium eius, qui tunc patriarcha erat, praetendens, quibusdam persuasit, ut abdicandi muneris consilium ei darent, quasi commodum ipsius spectarent. non fefellit virum sanctum ea machinatio: postremo per proprium nomen iurans, "per Cosman, inquit, nisi mea manu Irene coronata fuerit, throno patriarchali non cedam." quod responsum illi dominae referunt; sic enim iam omnes eam appellabant, imperatore matris amantissimo ita iubente. septimo igitur die, postquam Alexius imperator renuntiatus est, etiam coniugi eius Irenae per Cosmam patriarcham corona imponitur.

3. Forma utriusque principis, Alexii et Irenes, nullo modo explicari dicendoque exprimi potest. ac neque pictor unquam eam expresserit, pulchritudinis speciem intuens, neque statuarius ita materiam inanimem conformaverit, etiamsi ad imitanda ista specimina naturae, imperatores dico recens coronatos, Polycleti illius signa elaboratissima contempletur. Alexius quidem statura fuit non multum eminenti, ceterum plena, nec tamen incongrua, habitudine corporis. itaque

τοῖς θεωμένοις, εἰ δὲ ἐπὶ τοῦ βασιλείου καθίσειεν οὗτος θρόνου καὶ γοργωπὸν σέλας ἀφήσει τῶν ὀφθαλμῶν, πρηστὴρ B ἐδόκει καὶ ἄμαχον αὐγὴν ἀποστέλλειν καὶ τοῦ προσώπου καὶ τῆς ὅλης διοργανώσεως. μέλαινα μὲν γὰρ ἡ ὀφρῦς ἑκατέρωθεν ἐκυρτοῦτο· τῇ δὲ ὀφθαλμὸς ὑπεκάθητο βλοσυρὸν ἅμα καὶ ἥμερον ἐνορῶν, ὡς ἀπό τε τῆς βολίδος τῶν ὀμμάτων καὶ τῆς στιλπνότητος τοῦ μετώπου καὶ τῶν παρειῶν τῆς σεμνότητος καὶ τοῦ ἐπιτρέχοντος αὐταῖς ἐρεύθους, ὁμοῦ καὶ δεδοικέναι τε καὶ θαρρεῖν. τῶν τε ὤμων ἡ εὐρύτης καὶ τῶν βραχιόνων τὸ στερρὸν καὶ τῶν στέρνων ἡ προβολὴ ἡρωϊκὰ πάντα καὶ ὅλως εἰς θάμβος καὶ τέρψιν τοὺς πολλοὺς ἐκκα- C λούμενα. τὸ γὰρ αὐτὸ τοῦ ἀνδρὸς καὶ ὥραν εἶχε καὶ χάριν καὶ βάρος καὶ ὄγκον ἀπρόσιτον. εἰ δὲ καὶ εἰς ὁμιλίαν ἦλθεν ἐκεῖνος καὶ τὴν γλῶτταν ἐκίνησεν, εἶδες ἂν αὐτόχρημα τὴν πυρίπνουν ἐπικαθημένην τοῖς χείλεσιν ἐκείνου ῥητορικὴν Δημοσθένους. καὶ γὰρ κατακλυσμῷ τῶν ἐπιχειρημάτων πᾶσαν καὶ ἀκοὴν καὶ ψυχὴν κατεσύρετο, καὶ ἀμύθητος ἦν καὶ ἄμαχος καὶ τὴν γλῶτταν ὁμοῦ καὶ τὴν χεῖρα, τὴν μὲν πρὸς δόρατος ἄφεσιν, τὴν δὲ πρὸς ἀκήρατα θέλγητρα. ἡ δέ γε βασιλὶς D Εἰρήνη καὶ μήτηρ ἐμὴ μεῖραξ τε ἦν τὸ τηνικάδε καὶ οὐδέπω τὸν πεντεκαιδέκατον παραδεδραμήκει χρόνον. θυγάτηρ δὲ ἦν Ἀνδρονίκου τοῦ πρωτοτόκου υἱοῦ τοῦ καίσαρος, τὸ γένος

6. βολῆς P. 7. τοῦ προσώπου PG, τοῦ μετώπου C et in margine P. 9. τε ante καὶ om. G. 11. εἰς add. G. 13. καὶ primum om P. 14. εἰ δὲ ἂν G. 16. καὶ τῶν γὰρ κατακλυσμῷ P, καὶ τῶν γὰρ om. C, τῶν γὰρ om. G, correxi. 18. τὴν primum et alterum om. G. 19. ἀκήρατον θέλγητρον G.

pedibus insistens non tantam quidem admirationem intuentibus excitabat; sed cum in regio sederet throno et terribilem oculorum splendorem mitteret, fulmen videbatur adstantiumque aciem praestringebat et vultu et tota corporis conformatione. nigrum enim utrimque supercilium curvabatur; oculus suberat, truculente simul et blande adspiciens, ut ex obtutu, ex placida fronte, ex genarum dignitate et qui suffusus erat rubore, simul metum atque animum caperent. humerorum latitudo, lacertorum robur, prominentia pectoris, heroica omnia et admirationem simul et voluptatem multitudini afferebant. eadem enim in illo viro et forma gratiaque excellebant et pondere gravitateque inaccessa. cum vero in sermonem se daret osque aperiret, videres sane labris eius insidere ardentem Demosthenis illius eloquentiam. nam argumentorum ubertate omnium aures animosque secum rapiebat, et iuxta invictus erat lingua seu manu, altera ad iaculandum, altera ad oblectationes parandas integerrimas. at imperatrix Irene, mater mea, adolescentula tum erat et annum quintum decimum nondum excesse-

περίβλεπτος, εἰς Ἀνδρονίκους ἐκείνους καὶ Κωνσταντίνους τοὺς Δούκας ἀναφέρουσα τὴν τοῦ γένους σειράν. ἀνίστατο μὲν γὰρ καθάπερ τι ἔρνος ὄρθιον καὶ ἀειθαλές, συμμέτρως καὶ πλατυνομένη καὶ στενουμένη καταλλήλως ἑκασταχοῦ τῶν μελῶν καὶ μερῶν. καὶ ἐπέραστος μὲν ἰδεῖν, ἐπέραστος δὲ ἀκοῦσαι, καὶ ὄψεώς τε καὶ ἀκοῆς ἀκόρεστον ὡς ὄντως ἄκουσμά τε καὶ θέαμα. αὐτὸ μὲν γὰρ τὸ πρόσωπον σελήνης μὲν ἀπέστιλβε φέγγος, οὐ μὴν εἰς κύκλον ἀκριβῆ διαπέπλαστο κατὰ τὰς Ἀσσυρίας γυναῖκας, οὐδ' ἄλλως ἐξεμηκύνετο κατὰ P. 77 τὰς Σκυθίδας, ἀλλ' ὑπεχαλᾶτο μικρόν πως τῆς ἀκριβείας τοῦ κύκλου. ἀνεπέπτατο δὲ αὐτῆς ὁ λειμὼν ἀπὸ τῶν παρειῶν, καὶ τὴν ῥοδωνιὰν καὶ τοῖς πόρρω προὐβάλλετο. ὄμμα δὲ χαροπὸν καὶ ξὺν ἡδονῇ φοβερὸν ἐνητένιζεν, ὡς τῶν ὁρώντων τὰ ὄμματα τῇ μὲν ἡδονῇ καὶ τῷ κάλλει ἕλκειν πρὸς ἑαυτήν, τῷ δὲ φόβῳ μύειν καταναγκάζειν, οὐκ ἐχόντων ὅπως ἀποβλέψωνται ἢ ὅπως ἂν ἀποκρύψωνται. καὶ εἰ μέν τις ἦν V. 65 Ἀθηνᾶ τοῖς πρώην ἐφευρημένη ποιηταῖς τε καὶ συγγραφεῦσιν, οὐκ οἶδα ἔγωγε· μῦθον δὲ ταύτην ἀκούω περιφερόμενον καὶ περισυρόμενον· τὴν δὲ βασιλίδα ταύτην Ἀθηνᾶν B εἴ τις εἶπεν ἐν τοῖς τότε χρόνοις φανεῖσαν τῷ ἀνθρωπίνῳ βίῳ ἢ καταρραγεῖσαν ἐξ οὐρανοῦ μετά τινος οὐρανίας αἴγλης καὶ ἀπροσίτου μαρμαρυγῆς, οὐκ ἂν ἐξήμαρτε τοῦ εἰκότος. καὶ τὸ θαυμασιώτερον, ὅπερ οὐκ ἂν ἐν ἄλλῃ τῶν γυναικῶν

3. μὲν add. C. 4. καταλλήλους G, κατ' ἀλλήλοις C. 9. Ἀσυρίας C. 10. ὑπεχαλοῖτο P. 17. ἐφευρομένη G. 20. εἶπον: εἴπερ P.

rat. filia erat Andronici, qui Caesaris filius natu maximus erat, illustri stirpe orta; quippe quae genus ad Andronicos illos et Constantinos Ducas referret. surgebat ad germinis instar recti et semper florentis, membris partibusque omnibus summa inter se congruentia modo dilatatis, modo arctatis, ad videndum pariter atque ad audiendum ita iucunda, ut reapse nec oculi nec aures exsaturari possent. facies lunae micabat fulgore, non tamen absoluta rotunditate erat, quales Assyriarum feminarum, nec etiam oblonga, more Scythissarum, sed paullulum ultra exacti circuli orbem. quod genae referebant pratum, roseum colorem vel procul spectantibus ostendebat. vultu erat vegeto et suavi pariter atque terribili, ut adspicientium oculos suavitate specieque in se verteret, terrore autem connivere cogeret, cum nec intueri nec abstinere a cernendo possent. quam Minervam poetae historicique veteres celebrant, ea unquamne fuerit, nescio; fabulam audio eam iactari et circumferri; hanc vero imperatricem Minervam si quis dixisset istis temporibus oblatam humano generi vel coelitus cum coelesti quodam splendore terribilique fulgore delapsam, is a verisimili non aberrasset.

εὑρεθείη, τοὺς μὲν ἰταμοὺς τῶν ἀνδρῶν συνέστελλε, τοῖς δ'
ὑπὸ φόβου συνεσταλμένοις θαρρεῖν ἐνεδίδου ἐκ μόνης ὄψεως.
τὰ δὲ χείλη ἐμεμύκει μὲν τὰ πολλὰ καὶ ἐδείκνυ σιγῶσαν,
C ἔμπνουν ὡς ἀληθῶς ἄγαλμα καλλονῆς καὶ στήλην ἔμψυχον
εὐρυθμίας. ἡνιόχει δὲ τὰ πολλὰ ἡ χεὶρ τῷ λόγῳ σὺν εὐρυθμίᾳ, μέχρι τοῦ καρποῦ παραδεικνῦσα τὸ μετακάρπιον, καὶ εἶπες ἂν ἐλέφαντα ἐκτετορεῦσθαι παρὰ τεχνίτου τινὸς εἰς δακτύλων καὶ χειρῶν διάθεσιν. ἡ μέντοι ἶρις τῶν ὀφθαλμῶν θάλατταν ἐμιμεῖτο γαληνιῶσαν, ἐν βαθυκύμονι διαθέσει τὸ κυανοῦν ἐξαυγάζουσα· ἀντέστιλβε δὲ καὶ τὸ λευκὸν τῶν ὀμμάτων κύκλῳ τῆς ἴριδος, καὶ χάριν ἀπέλαμπον ἄμαχον καὶ ἡδονὴν ἄφατον ἐνεδίδουν ταῖς ὄψεσι. τοιοῦτοι μὲν τὴν ἰδέαν Εἰρήνη καὶ Ἀλέξιος. ὁ μέντοι θεῖος ἐμὸς Ἰσαάκιος
D τὴν μὲν ἡλικίαν ἐῴκει τἀδελφῷ, οὐδὲ τὰ ἄλλα πολὺ ἀπεῴκει. ὕπωχρος μὲν οὖν ἦν αὐτὸς τὴν ὄψιν, καὶ τὴν ὑπήνην οὐ πάνυ δασὺς, ἀλλὰ καὶ περὶ τὰς γνάθους ψιλοτέραν εἶχε τῆς τἀδελφοῦ. ἄμφω δὲ τἀδελφὼ κυνηγεσίοις μὲν πολλάκις ἀπένευον, ὁπηνίκα οὐ πολλή τις ἐπέρρει τούτοις πραγμάτων φροντίς, πολεμικοῖς δὲ μᾶλλον ἢ κυνηγετικοῖς ἔχαιρον πράγμασιν. ἐν δὲ ταῖς ἐμβολαῖς τῶν πολέμων, οὐδ' ὁπηνίκα τῶν ταγμάτων αὐτὸς κατῆρχε, προέτρεχέ τις αὐτοῦ, ἀλλ' ἅμα τε τὴν παράταξιν ἑωράκει τῶν πολεμίων ἐκεῖνος, καὶ πάντων καταφρονήσας τῶν ἄλλων, ἐς μέσους ἐνέπιπτε καθά-

10. ἀπέστιλβε CG. 14. οὐδὲ τὰ : ᾧ κατὰ G, οὗ κατὰ C. 18. ἐπέῤῥει τούτοις CG, αὐτοῖς ἐπέῤῥει P.

quodque mirabilius etiam, nec in altera muliere facile reperiatur, audacium hominum animos contundebat, metu afflictos erigebat solo adspectu. labia plerumque compressa erant et tacentem ostendebant eam, quae animatum, ut ita dicam, simulacrum pulchritudinis et viva concinnitatis columna erat. orationem fere gubernabat scite manu, usque ad iuncturam brachii nudata; ebur in digitos manusque ab artifice tornatum putares. oculorum pupillae mare referebant tranquillum, in profunda quiete caeruleo colore renidentes; vicissim album pupillas circumdans eminebat; quae res invictam oculis conciliabat gratiam tantumque iucunditatis, ut dici non queat. talis Alexii et Irenes forma erat. Isaacius, patruus meus, statura similis erat fratri, nec cetera multum dissimilis; subpallida tamen facie erat, nec barba admodum densa, quin etiam in genis minus pilorum habuit, quam frater. uterque autem venationi saepe indulgebat, si otium erat a rebus gerendis; quanquam militiam praeferebant. ubi autem in proeliis impetus fiebat, Isaacio ne tum quidem, cum ordinibus ipse praeerat, ullus unquam praecurrebat, sed simulac hostilem aciem

περ τις κεραυνός, ὀξέως διακόπτων τὰς φάλαγγας. κἀκ τού- P. 78
του ἑάλω καὶ ἅπαξ καὶ δὶς κατὰ τὴν Ἀσίαν συμμίξας Ἀγα-
ρηνοῖς. καὶ τοῦτο μόνον εἶχε ψόγου ἄξιον ἐν τοῖς πολέμοις
οὑμὸς θεῖος, ὅτι πρὸς συμβολὰς ἀκατάσχετος ἦν.

4. Ἐπεὶ δὲ τὸν Μελισσηνὸν Νικηφόρον τῆς τοῦ καίσα-
ρος κατὰ τὴν ὑπόσχεσιν ἔδει ἀξίας μετειληχέναι, καὶ τὸν
Ἰσαάκιον δέ, πρῶτον τῶν ἀδελφῶν κατὰ χρόνον ὄντα, μείζονι
ἐχρῆν τιμηθῆναι ἀξιώματι, (ἕτερον δὲ ἀξίωμα πλὴν τοῦ καίσα-
ρος οὐκ ἦν,) νέον ὀνοματοποιήσας ὁ βασιλεὺς Ἀλέξιος ἀπό τε τοῦ
σεβαστοῦ καὶ τοῦ αὐτοκράτορος σύνθετον ὄνομα τὸ τοῦ σεβαστο-
κράτορος τἀδελφῷ ἐφηρμόσατο, οἱονεὶ δεύτερον βασιλέα πε- B
ποιηκώς, τὸν καίσαρα τοῦτον ὑποβιβάσας καὶ τρίτον ἐν ταῖς
εὐφημίαις ἀριθμησάμενος μετὰ τὴν τοῦ αὐτοκράτορος εὐφη-
μίαν. οὐ μὴν ἀλλὰ καὶ στέμμασιν ἐν ταῖς πανδήμοις ἡμέ-
ραις αὐτοὺς στεφανοῦσθαι προσέταττε τόν τε σεβαστοκράτορα
καὶ τὸν καίσαρα, κατὰ πολὺ διαφέρουσι τῇ πολυτελείᾳ τοῦ
διαδήματος, ᾧ αὐτὸς ἐστεφάνωτο. τὸ μὲν γὰρ βασιλικὸν
διάδημα καθάπερ ἡμισφαίριον εὔγυρον τὴν κεφαλὴν διαδεῖ, V. 66
πανταχόθεν μαργάροις καὶ λίθοις κοσμούμενον, τοῖς μὲν ἐγ-
κειμένοις, τοῖς δὲ καὶ ἐξηρτημένοις· ἑκατέρωθεν γὰρ τῶν C
κροτάφων ὁρμαθοί τινες ἀπαιωροῦνται διὰ μαργάρων καὶ
λίθων καὶ τὰς παρειὰς ἐπιξέουσι. καί ἐστι τοῦτο ἐξῃρημένον

9. τε τοῦ : τούτου G. 10. σύνθετον ὄνομα τὸ τοῦ σεβαστο-κράτορος om. CGA. 12. τούτου P. 18. εὔγυρον om. CG. διαδεῖ πανταχόθεν, μαργάροις libri. mutavi interpunctionem. vid. annotat. 19. καὶ λίθοις om. P. 22. ἔστι om. G.

conspexit, neglectis ceteris omnibus, in medios hostes tanquam fulgur irruens, eorum aciem celeriter disiiciebat. quo factum est, ut semel iterumque caperetur, in Asia cum Agarenis pugnans; atque hoc unum erat reprehensione dignum in patruo meo, quod animo in proeliis non moderabatur.

4. Quoniam vero Melisseno Nicephoro caesaris dignitas ex pacto debebatur, et Isaacium, fratrem natu maximum, ampliori decorari honore par erat, (alter autem praeter caesarem non erat,) Alexius imperator, novo ex sebastos et autocrator composito nomine, sebastocratoris titulum fratri indidit, quasi secundi imperatoris honorem in eum deferens. caesarem illum subiunxit et tertio ab imperatore loco in acclamationibus collocavit. sed etiam coronis eos redimiri diebus solennibus iussit, sebastocratorem caesaremque; quae tamen multum a diademate, quo ipse utebatur, magnificentia differebant. regium enim diadema ad instar haemisphaerii rotundi caput circumdat, ab omni parte margaritis gemmisque ornatum, aliis insertis, aliis dependentibus; nam

τι χρῆμα τοῖς βασιλεῦσι στολῆς· οἱ δὲ τῶν σεβαστοκρατόρων καὶ τῶν καισάρων στέφανοι σποράδην ἔστιν ὅπου τῶν μαργάρων καὶ λίθων μετέχοντες ἄνευ τοῦ ἐπισφαιρώματος. κατ' ἐκεῖνο δὲ καιροῦ τετίμηται καὶ ὁ Ταρωνείτης καὶ γαμβρὸς ἐπ' ἀδελφῇ τοῦ βασιλέως πρωτοσέβαστός τε καὶ πρωτοβεστιάριος, μετ' οὐ πολὺ δὲ καὶ πανυπερσέβαστος ἀναδείκνυται καὶ σύνθωκος τῷ καίσαρι γίνεται. πρὸς δὲ καὶ Ἀδρια-
D νὸς ὁ ἀδελφὸς αὐτοῦ πρωτοσεβαστὸς ἀξιοῦται περιφανέστατος· καὶ Νικηφόρος ὁ ὕστατος ἀδελφὸς μέγας τε δρουγγάριος τοῦ στόλου προὐβέβλητο καὶ εἰς τὴν τῶν σεβαστῶν καὶ οὗτος ἀνηνέχθη βαθμίδα. τούτων δὲ τῶν ἀξιωμάτων τὴν καινοτομίαν ὁ ἐμὸς πατὴρ προσεξεύρατο, τὰ μὲν συνθείς, καθάπερ ἄνωθεν εἴρηται, τοῖς δὲ καὶ παραχρησάμενος. τὸ μὲν γὰρ πανυπερσέβαστος καὶ σεβαστοκράτωρ καὶ ὅσα τοιαῦτα συντέθεικε, τῇ δὲ τοῦ σεβαστοῦ ἀξίᾳ παραχρησάμενος φαίνεται. σεβαστοὶ γὰρ οἱ βασιλεῖς ἀνέκαθεν ἐπιθετικῶς ὠνομάζοντο, καὶ ἦν ἐξιδιαζόντως εἰς βασιλέα λεγόμενον τὸ τοῦ
P. 79 σεβαστοῦ ὄνομα· αὐτὸς δὲ εἰς τὸ κοινότερον πρῶτον κατήνεγκε τὴν τοιαύτην ἀξίαν. εἰ γάρ τις εἰς ἐπιστήμην καί τινα ὑπερτάτην φιλοσοφίαν ἀνάγοι τὴν βασιλείαν, ὥσπερ τέχνην

7. ξύνθωκος CA. τοῦ καίσαρος A. πρὸς δὲ καὶ : ὁ δὲ A. 8. αὐτοῦ : τοῦ κρατοῦντος A. 9. Νικηφόρος ὁ ὕστατος ἀδελφὸς μέγας τε δρουγγ. τοῦ στόλου προὐβέβλητο om. CG. τε om. A. 10. προβέβληται A. τὴν om. G. 12. an πρῶτος ἐξεύρατο? ut supra 64, 18. 15. τῇδε PG, correxi. 16. ἀνέκαθεν οἱ βασιλεῖς G. 17. ἰδιαζόντως A. βασιλέας P. 18. πρότερον A. 19. καὶ : τε G. 20. φιλοσοφίας ἄγοι G.

utrumque ad tempus monilia ex margaritis ac gemmis pendent genasque percutiunt. atque id est proprium regibus ornamentum; sebastocratorum caesarumque coronae hic illic margaritis gemmisque distinctae sunt, neque globosum superne tegumentum habent. per idem tempus Taronita, qui imperatoris sororem in matrimonio habebat, protosebasti et protovestiarii honorem accepit; paulo post etiam panhypersebastus declaratus et eiusdem cum caesare sedis honore dignatus est. praeterea Adrianus frater eius protosebasti illustrissimi titulo ornatur; et Nicephorus, frater natu minimus, magnus drungarius classis creatus atque ad sebastorum et ipse honoris gradum provectus est. hos autem novos titulos pater meus primus excogitavit, alios componens, ut supra dictum est, alios in novum detorquens usum. etenim panhypersebastus et sebastocrator et quae talia sunt composuit; sebasti dignitate manifesto abusus est. sebasti enim olim imperatores cognominabantur, atque propria imperatoris erat sebasti appellatio. ipse vero pluribus communem eam dignitatem fecit. iam si quis ad

οὖσαν τεχνῶν καὶ ἐπιστήμην ἐπιστημῶν, θαυμάσαιτο ἂν καὶ τὸν ἐμὸν πατέρα οἷόν τινα ἐπιστήμονά τε καὶ ἀρχιτέκτονα τὰ ὑπὸ τὴν βασιλείαν καινοτομοῦντα καὶ πράγματα καὶ ὀνόματα· πλὴν ὅσον οἱ μὲν τῶν λογικῶν ἐπιστημῶν προστάται διὰ σαφήνειαν τὰ τοιαῦτα τῶν ὀνομάτων ἐφεύραντο, ὁ δὲ ἐπιστημονάρχης οὗτος τῆς βασιλείας Ἀλέξιος πρὸς τὸ συμφέρον B
ἅπαντα τῇ βασιλείᾳ διῳκονόμητο, ξενίζων πολλάκις καὶ περὶ τὴν τάξιν τῶν πραγμάτων καὶ περὶ τὴν κλῆσιν τῶν ὀνομάτων. ὁ μέντοι ἱεροπρεπὴς ἐκεῖνος καὶ πατριάρχης Κοσμᾶς, οὗ καὶ πρότερον διεμνημονεύσαμεν, μεθ' ἡμέρας τινὰς κατὰ τὴν μνήμην τοῦ ἱεράρχου Ἰωάννου τοῦ θεολόγου τὴν ἱεροτελεστίαν τελέσας ἐν τῷ κατὰ τὸ Ἕβδομον ἐπ' ὀνόματι τοῦ ἤδη ῥηθέντος σηκῷ, τὸν ἀρχιερατικὸν θρόνον διαπρέψας ἔτη πέντε καὶ μῆνας ἐννέα, παραιτεῖται τὴν ἀρχιερωσύνην καὶ ἄπεισιν εἰς τὴν τοῦ Καλλίου μονήν. ἐγχειρίζεται δὲ τοὺς τῆς ἀρχιερωσύνης οἴακας μετ' αὐτὸν ὁ προρρηθεὶς ἐκτομίας Εὐστρά- C
τιος ὁ Γαριδᾶς. ἐπεὶ δὲ ὁ τῆς βασιλίδος Μαρίας υἱὸς Κωνσταντῖνος ὁ πορφυρογέννητος μετὰ τὴν παράλυσιν τῆς βασιλείας τοῦ πατρὸς αὐτοῦ Μιχαὴλ τοῦ Δούκα τὰ ἐρυθρὰ μὲν ἑκὼν ἀπεδύσατο πέδιλα, τὰ δὲ κοινὰ καὶ μέλανα ὑπεδύσατο,

6. ξυμφέρον C. 7. ξενίζων : lego καινίζων. 9. post ἐκεῖνος A add. ἀνήρ. 11. τὴν prius om. A. ἱεροτελεσίαν C. 12. τελέσας : ποιήσας A. κατὰ : εἰς A. τοῦ ἤδη ῥηθέντος : τούτου A. 13. σηκῷ, παραιτεῖται τ. ἀρχ. καὶ ἄπεισιν ἐ. τ. καλλίου μονὴν, ἔτη πέντε καὶ μῆν. ἐνν. τὸν ἀρχ. διαπρέψ. χρόνον A. ἱερατικὸν G. 14. μῆνας : ἡμέρας G. 15. καλλίου Καλλίου : G καιροῦ et in margine χαρσίου. 20. δὲ om. G. μέλαινα PG, recte C.

disciplinae et summae cuiusdam philosophiae formam adduceret imperandi scientiam, tanquam artem artium et doctrinam doctrinarum, is admiraretur etiam patrem meum ut peritum artis et quasi architectum, qui nova in imperio et munera et titulos excogitaverit. nisi quod philosophicarum disciplinarum magistri perspicuitatis causa talia nomina excogitarunt; hic autem regnandi scientiae vir consultissimus omnia ad imperii instituit utilitatem, cum nova saepe tum in muneribus ordinandis, tum in titulorum nominibus inferret. interim sanctus ille patriarcha Cosmas, cuius supra mentionem fecimus, nonnullis diebus post, cum sacris ipsa memoria S. Iohannis theologi perfunctus esset in templo eiusdem ad Hebdomum sito, patriarchali dignitate se abdicavit, postquam annos quinque et menses novem eam tenuit, secessitque in Calliae monasterium; post quem patriarchalis sedis gubernacula Eustratius Garidas eunuchus, cuius supra meminimus, suscepit. Mariae autem imperatricis filius, Constantinus Por-

Νικηφόρος ὁ Βοτανειάτης ὁ μετὰ τὸν Δούκαν καὶ πατέρα
τοῦ Κωνσταντίνου τῶν σκήπτρων ἐπειλημμένος, τὰ μὲν μέ-
λανα ἐκεῖνον ἀποβαλεῖν διωρίσατο, ἐκ ποικίλων δὲ σηρικῶν
ὑφασμάτων ὑποδήματα προσέταττε περιδεῖσθαι, ὥσπερ τὸν
νεανίσκον ἐπαισχυνόμενος καὶ τοῦ κάλλους ὁμοῦ καὶ τοῦ γέ-
D νους ἀγάμενος. τὸ μὲν γὰρ κόκκινον διόλου ἀπαστράπτειν
V. 67 αὐτῷ τῶν πεδίλων οἷον ἐφθόνει, τὸ δέ τινας τόπους ἐκ τῶν
ὑφασμάτων ἀνθεῖν τὸ κόκκινον ὑπεδίδου. μετὰ δὲ τὴν τοῦ
Κομνηνοῦ Ἀλεξίου ἀνάρρησιν ἡ βασιλὶς Μαρία καὶ μήτηρ
ἐκείνου, ταῖς ὑποθημοσύναις πεισθεῖσα τοῦ καίσαρος, ἔγγρα-
φον πίστιν ᾐτήσατο δι' ἐρυθρῶν βεβαιωθησομένην γραμμάτων
καὶ σφραγῖδος χρυσῆς παρὰ τοῦ αὐτοκράτορος, ὥστε μὴ μό-
νον ἀσινῆς σὺν τῷ υἱῷ διατηρηθῆναι, ἀλλὰ καὶ συμβασιλεύ-
ειν αὐτῷ κἀκεῖνον, τά τε ἐρυθρὰ ὑποδεδυσκόμενον καὶ στε-
φηφοροῦντα καὶ ὡς βασιλέα σὺν αὐτῷ ἀναγορευόμενον. καὶ
οὐκ ἠστόχησε τῆς αἰτήσεως, ἀλλὰ λαμβάνει χρυσόβουλλον
λόγον βεβαιοῦντα τὰ αὐτῆς θελήματα ἅπαντα. τηνικαῦτα
καὶ ἃ ὑπεδιδύσκετο ἐκ σηρικῶν ὑφασμάτων περιελόντες, τῶν
P. 80 διόλου ἐρυθρῶν ὑποδημάτων τούτῳ μεταδιδόασι, κἂν ταῖς
δωρεαῖς καὶ χρυσοβούλλοις λόγοις δεύτερος τοῦ λοιποῦ συνυ-
πογράφων ἦν διὰ κιναβάρεως τῷ βασιλεῖ Ἀλεξίῳ, κἂν ταῖς προ-
πομπαῖς μετὰ τῆς βασιλικῆς τιάρας συνεπόμενος. ὡς δέ τινες
ἔφασαν, καὶ πρὸ τῆς ἀποστασίας τὰς περὶ τούτου συνθήκας

2. μὲν om. CG. 5. τοῦ prius : τὸ G. 6. γὰρ add. C. 7. αὐτῷ C, αὐτὸ PG. 10. πεισθέντας G. 14. ἐκεῖνον CG. an ὑποδιδυσκόμενον? vid. annotat. 21. lege κινναβάρεως.

phyrogenitus, cum post Michaelem Ducam patrem imperio pulsum rubros ultro deposuisset calceos et vulgares nigrosque sumsisset, Nicephorus Botaniates, qui Ducae Constantini patri in imperio successit, nigris eum calceamentis exutis, variis serica textilibus induere iusserat, ut qui iuvenem revereretur et forma et genere conspicuum. coccinum siquidem per totos eius calceos fulgere invidia quasi non ferens, nonnullis tantum partibus textilia purpuram referre concesserat. sed cum Comnenus Alexius imperator proclamatus esset, Maria imperatrix illius mater, consilio obsecuta Caesaris, eam sibi fidem ab imperatore dari firmarique rubris litteris sigilloque aureo postulavit, ut non solum incolumitatem cum filio haberet, verum etiam hic regni particeps fieret, atque rubris calceis et corona uti liceret, imperatorque una cum Alexio proclamaretur. nec frustra. bullam enim accepit auream, qua, quae petierat, confirmata erant omnia. atque Constantinus positis, quibus uti solebat, sericis textilibus, plane rubros nanciscitur calceos, in donationibus bullisque aureis secundus in posterum ab Alexio rubrica subscribebat, et in pompis cum tiara regia eum seque-

εἶχεν ἡ βασιλίς, ἵν' οὕτω τὰ κατὰ τὸν υἱὸν αὐτῆς γένοιτο. οὕτω γοῦν τῶν βασιλείων ἐκείνη ἐξέρχεται μετὰ προπομπῆς ἀξίας, ἐν τοῖς κατὰ τὴν μονὴν τοῦ μεγάλου μάρτυρος Γεωργίου παρὰ τοῦ ἀποβεβιωκότος Κωνσταντίνου τοῦ Μονομάχου βασιλέως οἰκοδομηθεῖσαν οἰκήμασιν κατασκηνώσασα, (Μάγ- B γανα ταῦτα ἡ κοινὴ εἰσέτι κικλήσκει διάλεκτος,) Ἰσαακίου συνεφεπομένου ταύτῃ τοῦ σεβαστοκράτορος.

5. Τὰ μὲν οὖν κατὰ τὴν βασιλίδα Μαρίαν οὕτω παρὰ τῶν Κομνηνῶν ᾠκονόμητο. ὁ δέ γε αὐτοκράτωρ παιδείας ἐκ νηπίου τυχὼν ἀγαθῆς καὶ πρὸς τὰς νουθεσίας τῆς μητρὸς ἑαυτὸν ἀπευθύνων, τὸν τοῦ θεοῦ φόβον ἐνστερνισάμενος καὶ ἐγκάρδιον ἔχων, ἐδάκνετο ἀνιώμενος ἐπὶ τῇ τῆς πόλεως προνομῇ, ἣν κατὰ τὴν εἰσέλευσιν αὐτοῦ πάντες πανδημεὶ ἐπεπόνθεισαν. τὸ μὲν γὰρ ἄπταιστον ἴσως καὶ ἥσυχον ῥίζα τοῦ δέοντος· καὶ ἀποστασίαν ποιοῦσα τοῦ νοῦ, εἰς ἀπόνοιαν ἄγει τὸν μηδ' ὁπωστιοῦν προσκεκρουκότα τοῖς πράγμασιν· ὁ δέ γε ἐξαμαρτών, εἴπερ ἐστὶ τῶν εὐλαβεστέρων καὶ τῶν νοῦν C ἐχόντων, αὐτίκα τὸν τοῦ θεοῦ φόβον βάλλεται κατὰ ψυχὴν καὶ ὅλως κατακλονεῖται καὶ δέδοικε, καὶ μᾶλλον εἴγε πραγμάτων μεγάλων ἐπιδραξάμενος εἴη καὶ εἰς ὑπερηφάνους ἀνέλθοι περιωπάς. δέος γὰρ αὐτὸν ὑποθράττει, μή πως ἀμαθίᾳ

1. γένοιτο C. 5. οἰκοδομηθεῖσιν CG. 6. εἰσέτι C, ἔτι PG. δὲ add. G post Ἰσαακίου. 8. κατὰ C, τὰ κατὰ PG. 11. ὑπευθύνων A. ἐνστερνισάμενον P. 12. προνομῇ : ἁρπαγῇ G. 14. καὶ ἥσυχον ῥίζα — ποιοῦσα τοῦ νοῦ add. G. legendum σχίζαν τοῦ δέοντος καὶ ἀποστασίαν ποιοῦν τοῦ νοῦ. 18. φόβον om. P. 19. μεγάλων πραγμάτων G.

batur. nonnulli dicebant, haec imperatricem de filio etiam ante pactam esse cum Comnenis, quam deficerent. ita certe rebus constitutis, palatio illa cum satis magno comitatu egressa, in aedes prope magni Martyris Georgii monasterium a Constantino Monomacho imperatore exstructum migrat, (Mangana haec vulgari lingua dici adhuc solent,) Isaacio prosequente sebastocratore.

5. Mariae igitur imperatrici sic a Comnenis prospectum est. imperator cum disciplina ab infantia usus bona et ad matris adhortationes totum sese conformans, dei timorem intimo concepisset animo, mordebatur sollicitudine de urbis direptione, quam, cum ingrederetur, omnes omnino perpessi erant. nam immunitate lapsus curaeque omnis facile efficitur, ut officii obliviscamur; a quo ubi animus descivit, ad temeraria quaeque aufertur, cum antea ne ulla quidem in re offenderit: at qui lapsus est, modo sit cautior prudensque, statim dei timore correptus, toto commovetur animo ac metu perturbatur, praesertim si magnas res aggressus et in summum fastigium evectus est. quippe metus eum excruciat, ne imprudentia, superbia,

καὶ θράσει καὶ ὕβρει πορευόμενος τόν τε θυμὸν τοῦ θεοῦ εἰς ἑαυτὸν ἐκκαλέσηται καὶ τῆς ἀρχῆς ἐκκυλισθεὶς ἀποπεσῆται, ὧν τέως ἐγκρατὴς γέγονεν. οἷα καὶ τῷ Σαοὺλ συμβεβήκει ποτέ· καὶ γὰρ ὁ θεὸς διὰ τὸ τοῦ βασιλέως ἀτάσθαλον D διαρρήσσων διέρρηξε τὴν βασιλείαν αὐτοῦ. τούτοις ἀλύων τοῖς λογισμοῖς ὁ Ἀλέξιος καὶ παθαινόμενος τὴν ψυχήν, μή που καὶ θεοῦ ἄντικρυς μήνιμα γένοιτο, — τὸ γὰρ εἰς ὅλην τὴν πόλιν γεγονὸς κακὸν παρ' ἑκάστου τῶν στρατιωτῶν, ὁπόσος τὸ τηνικαῦτα συρφετὸς ἀνὰ πᾶσαν τὴν πόλιν ἐπέρρευσεν, ἴδιον ἐλογίζετο, καὶ ὡς αὐτὸς ὢν ἐκεῖνος ὁ τὰ πάνδεινα ἐκεῖνα κακὰ ἐργασάμενος, κατετιτρώσκετό τε καὶ ἐξεφλέγετο, βασιλείαν καὶ κράτος καὶ ἁλουργίδα καὶ διάδημα λιθοκόλλη- P. 81 τον καὶ ἐσθῆτα χρυσῆν τε καὶ περιμάργαρον οὐδέν, ὥς γε V. 68 τὸ εἰκός, λογιζόμενος πρὸς τὴν τότε κατασχοῦσαν ἀπεριήγητον συμφορὰν τὴν βασιλίδα τῶν πόλεων. τὰ γὰρ περιστοιχίσαντα ταύτην δεινὰ κατ' ἐκεῖνο καιροῦ οὐδεὶς ἂν καὶ θέλων διηγήσασθαι δυνήσηται. καὶ γὰρ καὶ αὐτὰ ἱερὰ καὶ τεμένη καὶ τὰ κοινὰ καὶ τὰ ἴδια ἁπανταχόθεν ὑπὸ πάντων καθηρπάζοντο, τὰ δὲ ὦτα τῶν ἁπάντων κατακεκρότητο ταῖς ῥιπτουμέναις ἁπανταχοῦ βοαῖς καὶ φωναῖς· εἶπεν ἄν τις ἰδὼν σεισμὸν εἶναι τὸ γινόμενον. ταῦτα εἰς νοῦν βαλλόμενος ὁ Ἀλέξιος ἠνιᾶτό τε τὴν ψυχὴν καὶ κατεσπαράττετο καὶ οὐκ εἶχεν

3. τῷ om. G. 5. ἀλύων CA. 8. ἑκάστου : ἐκείνου CG. 11. ἐργασάμενον P. τε om. A. 15. περιστοιχήσαντα PGA, alterum C. 16. κατ' A, καὶ PG. 17. δυνήσεται GA, δυνήσηται C, om. P. καὶ alterum om. A. 19. κατεκρότηντο G, κατακεκρότηντο P, recte A. ῥιπτομέναις G. 20. εἶπεν A, εἴπερ PG. σχισμὸν C.

insolentia dei iram in se convertat et imperio excussus amittat, quibus tum est potitus. qualia etiam Saulo quondam acciderunt, cuius ob insolentiam deus scindens scidit regnum eius. his perturbatus cogitationibus Alexius metuque aestuans, ne forte dei vindicta subito affligeretur, — quidquid enim in tota urbe a singulis militibus perpetratum erat, quantacunque tunc per totam urbem multitudo erat vagata, adscribebat ille sibi, et tanquam calamitates, quas universa civitas gravissimas passa erat, ipse intulisset, pungebatur urebaturque, regnum, potentiam, purpuram, diadema gemmatum, vestem auro fulgentem et unionibus nihili, ut par erat, ad infandam miseriam ducens, qua urbium regina tunc afflicta erat. nam quantis ea malis illo tempore circumventa sit, id nemo, etiamsi voluerit, enarrare queat. etenim et ipsa templa et fana, et publica et privata ubique ab omnibus diripiebantur; aures omnium strepebant vocibus clamoribusque passim sublatis, ut terrae motum esse diceres. ad haec igi-

ὅ τι τῷ πλήθει τῆς λύπης χρήσαιτο. ἦν γὰρ ὁ ἀνὴρ εἰς αἴ- B σθησιν ἐλθεῖν τοῦ κακῶς πεπραγμένου παντάπασιν ὀξύτατος. καὶ ταῦτα μὲν τὰ προγεγονότα, ἐφ' οἷς ἡ πόλις πονήρως ἔπραξεν, ᾔδει μὲν ὡς ἑτέρων χεῖρες καὶ γνῶμαι διενηργήκασιν, ἀλλὰ συνῄδει καὶ τοῦτό γε ἀκριβέστατα, ὅτι τὰς ὑποθέσεις καὶ τὰς ἀρχὰς τοῦ πάθους αὐτὸς δέδωκεν· αὐτῷ δὲ πάλιν τῆς ἀποστασίας αἴτιοι οἱ ἤδη ῥηθέντες δοῦλοι γεγόνασιν. ἀλλὰ καὶ ὡς ἑαυτῷ τὴν ἅπασαν προσάπτων αἰτίαν, θεραπεῦσαι τὸ τραῦμα καὶ ἐπεζήτει καὶ ἤθελεν· οὕτω γὰρ ἂν καὶ μετὰ τὴν τοιαύτην θεραπείαν καὶ τὸν τουτωνὶ καθαρμὸν ἐπιχειροίη τοῖς τῆς βασιλείας πράγμασι καὶ τὰ κατά C τε τὸν στρατὸν κατά τε τοὺς πολέμους καλῶς διιθύνοι καὶ διεξάγοι. προσέρχεται τοίνυν τῇ μητρί, ἀνακοινοῦται τὸ ἐπαινετὸν πάθος ἐκεῖνο, θεραπείας τρόπον ἀναζητεῖ καὶ ἀπαλλαγῆς τῶν ὑποκνιζόντων αὐτοῦ τὴν συνείδησιν. ἡ δὲ ἀσπάζεται τὸν υἱὸν καὶ ἀσμένως δέχεται τὰ λεχθέντα. μετακαλοῦνται τοίνυν, τούτου συνδόξαντος, τόν τε πατριάρχην Κοσμᾶν (οὔπω γὰρ τότε τὸν θρόνον παρῄτητο) καί τινας λογάδας τῶν τῆς ἱερᾶς συνόδου καὶ τοῦ μοναδικοῦ συντάγματος. πρόσεισι τούτοις ὁ βασιλεὺς D ὡς ὑπόδικος, ὡς κατάκριτος, ὡς εὐτελὴς ἢ καί τις ἄλλος τῶν

1. ὁ om. A. ἀνὴρ παντάπασιν ὀξύτατος εἰς αἴσθ. — πεπραγμένου GA. 2. κακῶς om. A. παντάπασιν om. G. 4. ἤδη G. 8. προσάπτειν G. 10. καὶ prius om. G. τῶν τουτονὶ P, τῶν τουτωνὶ G, τὸν τουτονὶ C, correxi. 12. γε τὸν PG, τε in margine. 14. ἐκεῖνος G, om. A. 17. Κοσμᾶν om. CGA. γὰρ τὸν τότε τὸν θρόνον P. 18. παρῃτήσατο A, παραίτητο G. τινας om. A. 19. μοναχικοῦ A.

tur animum advertens Alexius, moerebat mordebaturque, neque doloris magnitudinem levare poterat. erat enim in sensu prave factorum concipiendo acutissimus, et licet facinora, quibus urbs in tantam calamitatem delata erat, aliorum manibus animisque perpetrata nosset, tamen idem conscius sibi erat quam maxime, occasionem atque initium malorum semet ipsum dedisse; quanquam Alexio rursus defectionis auctores servi fuerant, quorum mentionem iam fecimus. sed vel sic omnem in se culpam conferens, sanare vulnus et studebat et volebat. non enim aliter nisi sanato vulnere labeque eluta, ad rerum administrationem accedere statuit, nec exercitus bellique curam prospere se habiturum speravit. adit igitur matrem, aperit ei laudabilem illum dolorem, eiusque sedandi et angoris conscientiae tollendi rationem exquirit. ea, filio benigne excepto, libenter audit, quae dicebat. arcessunt igitur, (nam Alexius assenserat,) patriarcham Cosmam, qui nondum dignitate se abdicaverat, et praecipuos quosdam ex sacra synodo et ordine monachorum; quos imperator adit ut reus, ut condemnatus, ut humilis vel etiam

ὑπ' ἐξουσίαν τεταγμένων καὶ τὴν ψῆφον ὅσον οὐδέπω καραδοκούντων, ἣν κατ' ἐκείνου ψηφιεῖται τὸ δικαστήριον. ἐξαγγέλλει πάντα, μὴ προβολήν, μὴ συγκατάθεσιν, μὴ πρᾶξιν, μηδὲ αἰτίαν τῶν πεπραγμένων παραδραμών, ἀλλὰ πάντα μετὰ φόβου καὶ πίστεως ἐξαγορευσάμενος, καὶ τὴν θεραπείαν ἐξ ἐκείνων θερμῶς ἐξαιτεῖ, ἐπιτιμίοις ἑαυτὸν καθυποβάλλων. οἱ δὲ οὐκ αὐτὸν μόνον, ἀλλὰ καὶ τοὺς ἐκ ταὐτοῦ αἵματος
P. 82 προσήκοντας καὶ πρὸς τὴν ἀποστασίαν συναραμένους τοῖς αὐτοῖς ἐπιτιμίοις καθυποβάλλουσιν, νηστείαν καὶ χαμευνίαν καὶ τὰ τούτοις ἑπόμενα πρὸς τὴν τοῦ θείου ἐξιλέωσιν ἐπιτάξαντες. οἳ καὶ δεξάμενοι τὰ ἐπιτίμια προθύμως ἐφύλαττον. ἀλλ' οὐδὲ αἱ σφῶν αὐτῶν γυναῖκες ἔξω τῶν ἐπιτιμίων ἑστάναι ἠνείχοντο· πῶς γάρ, φίλανδροι οὖσαι; αὐτόμολοι δὲ τὸν τῆς μετανοίας ζυγὸν ἀναδέχονται. καὶ ἦν ἰδεῖν τὰ βασίλεια τότε δακρύων καὶ πένθους ἀνάμεστα, πένθους οὐκ ἐπιψόγου, οὐδ' ἀσθένειαν ψυχῶν κατηγοροῦντος, ἀλλ' ἐπαι-
B νετοῦ καὶ χαρᾶς προξένου τῆς κρείττονος καὶ μηδέποτε λυομένης. ὁ δὲ αὐτοκράτωρ, ὁποῖος ἐκεῖνος τὴν εὐσέβειαν ἦν,
V. 69 πλέον τι ποιῶν, ἐντὸς τῆς βασιλικῆς ἁλουργίδος σάκκον περιεβέβλητο ἐν χρῷ ψαύοντα τῆς σαρκὸς ἐπὶ τεσσαράκοντα

1. ἐξουσίαν CA, ἐξουσίᾳ PG. παραδοκούντων A. 3. μὴ προβολὴν — ἀλλὰ πάντα om. CG. προσβολὴν A. 7. ὁ δὲ P. ἐξ αὐτοῦ G. 9. καὶ om. A. 10. θείου CA, θεοῦ PG. 11. οἳ καὶ δεξάμενοι A, δεξάμενοι δὲ PG. ἐφύλαττον : ἐδέξαντο CG. 12. αἱ om. GC. τοῦ ἐπιτιμίου A. 16. ἀσθενείας G. κατηγοροῦντες G. 18. ἦν om. P. 19. περιβέβλητο G.

alius quispiam ex iis, qui subiecti sunt sententiamque tantum non exspectant, quam iudices pronuntiaturi sunt. confitetur cuncta, non suasionem, non approbationem, non rem gestam, non causam eorum, quae facta erant, praeteriens; sed omnibus cum timoris et fidei significatione expositis, ut vulneri mederentur, obnixe rogavit et se poena afficiendum dedit. illi non ipsum solum, verum etiam consanguineos et qui defectionis socii fuerant, iisdem omnes piaculis subiiciunt, ieiunio, humi cubatione et quae cum his coniungi solent ad placandum deum, praescriptis. nec illi poenam detrectant, sed libenter perferunt; quin ipsae eorum coniuges impune esse noluerunt. qui enim sustinerent, cum maritorum amantes essent? sponte igitur poenitentiae iugum subiere. itaque palatium eo tempore lacrimis plenum cerneres et luctu, non illo quidem ignavo ac vituperabili, animi abiecti imbecillitatem prodente, sed honesto gaudiumque procurante coeleste nec unquam interiturum. imperator autem, qua erat pietate, ultra progressus, sub purpura saccum ipsi corpori adhaerentem ge-

νυχθημέροις. ἐν δὲ ταῖς νυξὶ χαμεύνης ἔκειτο ἐπὶ πέτρας μόνον ἀνέχων τὴν κεφαλὴν καὶ πενθῶν ὡς εἰκός. εἶθ' οὕτως τῶν τῆς βασιλείας πραγμάτων ἁγναῖς ἅπτεται χερσίν.

6. Οἰακοστρόφον δὲ μᾶλλον ἑαυτοῦ τὴν μητέρα ἱμειρόμενος εἶναι, τὴν βουλὴν ὑποβρύχιον τέως εἶχε, δεδιὼς μὴ τοῦ τοιούτου γνωσθέντος αὐτῇ λογισμοῦ, καὶ τῶν βασιλείων ἐξέλθοι, πρὸς ὑψηλότερον βίον γινώσκων αὐτὴν ἀπο- C βλέπουσαν. ἐν πᾶσι μὲν οὖν τοῖς προσπίπτουσι βουλῆς αὐτῆς ἄτερ μηδὲ τὸ τυχὸν ἦν ἐνεργῶν, ἀλλὰ κοινωνὸν εἶχε τῶν βουλευμάτων ὁμοῦ καὶ συλλήπτορα τὴν μητέρα, καὶ καταμικρὸν ὑφέρπων αὐτῇ καὶ κοινοποιούμενος τὴν τῶν πραγμάτων διοίκησιν, καί που καὶ φανερῶς ἐνδεικνύμενος, ὡς ἄτερ τῆς ἐκείνης φρενὸς καὶ γνώμης ἀπολεῖται τῆς βασιλείας τὰ πράγματα. οὕτως εἶχε καὶ ξυνεδέσμει πλέον ἑαυτῷ τὴν μητέρα καὶ τοῦ κατὰ σκοπὸν ἀπεῖργε καὶ ἀπεκώλυεν. ἡ μὲν γὰρ πρὸς σταθμὸν ἀπέβλεπεν ἔσχατον καὶ μονὰς διενοεῖτο, ἐν αἷς D τὸν ἐπίλοιπον χρόνον μετ' εὔφρονος λογισμοῦ ἑλκύσει τοῦ βίου. καὶ ταῦτ' ἐνόει καὶ ἑαυτῇ διὰ παντὸς ἐπηύχετο τεύξασθαι. ἀλλ' εἰ καὶ τοιαῦτα κατὰ νοῦν συνδιεσκοπεῖτο καὶ ὅλως πρὸς ὑψηλότερον ἐνητένιζε βίον, ἀλλ' ἦν γε καὶ φιλόπαις, εἴπερ τις ἄλλη γυνή, καί πως ἠβούλετο συνδιενεγκεῖν μετὰ τοῦ υἱοῦ

1. νυχθημέρους G. χαμευνήσας A. πέτρης A. 2. τῆς κεφαλῆς A. 4. τὴν ἑαυτοῦ μητέρα A. ἱμειρόμενος P, βουλόμενος CGA. 7. ἐξελθεῖν A. 8. τοῖς : τῆς P. 9. τυχὸν ἐνεργῶν, ταῦτ' ἐννοῶν, κοινωνὸν A. 10. βουλημάτων P, alterum GA. τὴν μητέρα om. C. 14. ἑαυτοῦ CG. 20. γε om. G. καὶ αὐτὴ φιλόπαις A. 21. καί πως : ὅπως A.

stabat per dies noctesque quadraginta. noctu autem humi cubabat, lapide tantum caput fulciens, lugebatque, ut par erat. atque sic demum rem publicam puris manibus capessivit.

6. Sed cum percuperet, ut potius quam ipse mater rei publicae gubernacula tractaret, tamen id consilium tum quidem clam habuit, veritus, ne si mentem suam illa cognosset, etiam palatio egrederetur, quippe quam dudum de altiori vita cogitare sciret. in omnibus igitur, quae accidebant, ne quotidiana quidem, ea inconsulta, conficiebat, imo consiliorum participem atque adiutricem matrem habebat, cum et paulatim obreperet rerumque administrationem cum ea communicaret, et interdum etiam aperte profiteretur, sine illius mente atque consilio imperii res pessum ituras. sic arctiori secum vinculo coniunctam eam tenebat et a consilio perficiendo abstrahebat arcebatque. appetebat enim stationem ea ultimam et monasteria cogitabat, ubi reliquum vitae tempus quieto transigeret animo. ad id animum appulerat, et ut sibi contingeret, assidue precabatur. sed licet tale consilium agitaret

τὸ τῆς βασιλείας κλυδώνιον, καὶ οὐριοδρομοῦσαν τὴν ναῦν
ἢ καὶ πανταχόθεν βαλλομένην τοῖς κύμασιν ὡς ἄριστα οἰακο-
P. 83 στροφεῖν, καὶ μάλιστα τοῦ παιδὸς ἄρτι ἐπὶ τὴν πρύμναν
καθίσαντος καὶ τῶν οἰάκων ἐφαψαμένου καὶ μήπω πρώην
θαλάττῃ καὶ κύμασι καὶ ἀνέμοις ὡμιληκότος τοιούτοις. ταῦτα
δὲ λέγουσα, τὴν τῆς βασιλείας αἰνίττομαι πολυμερῆ καὶ πο-
λυτάραχον ὄχλησιν. τὸ τοίνυν μητρῷον πάθος κατεῖχεν αὐτήν,
καὶ συνδιεκυβέρνα τῷ υἱῷ καὶ βασιλεῖ, καὶ τὰς ἡνίας ἔστιν
ὅπου καὶ μόνη παραλαβοῦσα, ἀπροσπταίστως τε καὶ ἀναμαρ-
τήτως τὸ ἅρμα τοῦ κράτους ἤλαυνεν· ἦν γὰρ καὶ φρενήρης
ἄλλως καὶ βασίλειος γνώμη αὐτόχρημα καὶ θρόνων κατόρθω-
B σις· ἀνθεῖλκε δὲ ταύτην ἐκ θατέρου καὶ ὁ πόθος ὁ πρὸς
θεόν. ἐπεὶ δὲ κατὰ τὸν Αὔγουστον μῆνα ἐπινεμήσεως τῆς
αὐτῆς ἔτι τρεχούσης ἡ τοῦ Ῥομπέρτου διαπεραίωσις τοῦτον
ἐξελθεῖν κατηνάγκαζεν, εἰς φῶς ἤδη καὶ ἔργον τὸ τῆς ψυχῆς
ἐννόημα ἐξάγων, τὴν αὐτοκράτορα διοίκησιν τῇ μητρὶ καὶ
μόνῃ ἀπεκληρώσατο, καὶ διὰ χρυσοβούλλου λόγου τὰ βεβου-
λευμένα εἰς προὖπτον πᾶσι κατέστησεν. ἐπεὶ δὲ τὸν ἱστορίαν
συγγράφοντα οὐ παχυμερῶς τὰς τῶν ἀγαθῶν ἀνδρῶν πράξεις
καὶ τὰ θεσπίσματα παραπέμπειν χρή, ἀλλὰ τὰς μὲν κατα-
C λεπτύνειν, ὡς ἐνόν, τὰ δ' ἐκείνοις δεδογμένα ἐκτίθεσθαι, εἶμι

2. οἰακοστροφῶν P. 6. πολυμερῆ PA, πολύτεχνον CG. πολυτάραχον CGA, πολυτάρακτον P. 13. τῆς αὐτῆς ἐπινεμήσεως A. 16. αὐτοκρατορίας A. καὶ μόνῃ : ἄννῃ A. 17. χρυσοβουλλίου A. 18. κατέστησεν. ἀλλὰ τὰς τοῦ γραφέως μόνον κομψείας ὡς εἶχεν, εἶμι καὶ αὐτὴ τὰ τοῦ ῥηθ. χρυσοβουλλίου ἐκθησομένη A. 21. εἰμὶ P.

animumque ad altiorem vitam penitus applicuisset, tamen eadem erga liberos erat pia, si quae alia femina, atque una cum filio imperii procellas sustinere, et secundo vento navem actam vel etiam fluctibus undecunque iactatam quam optime gubernare volebat, praesertim cum filius modo in puppi consedisset et prehendisset clavum, nondum maris fluctibus procellisque eiusmodi assuetus. ea cum dico, imperii significo multiplices et perincommodas molestias. evicit igitur maternus amor, ut una cum filio imperatore rem publicam gubernaret atque adeo sola interdum imperii quasi currum, habenis prehensis, regeret inoffenso ac prospero cursu: erat enim cum sapienti, tum regio plane animo, et regnis nata administrandis: sed ex altera parte etiam dei amor eam trahebat. cum autem mense Augusto, eadem adhuc indictione, Roberti traiectio Alexium urbe exire cogeret, patefecit iam animi consilium atque ad effectum perduxit. summum enim imperium matri soli commisit idque, bulla aurea edita, in publicum pronuntiavit. quoniam autem eum, qui historiam conscribit, clarorum

καὶ αὐτὴ τοῦτον τὸν τρόπον τὰ τοῦ ῥηθέντος χρυσοβούλλου ἐκθησομένη, τὰς τοῦ γραφέως μόνον κομψείας περιελοῦσα. ἔχει δὲ οὕτως. "οὐδὲν ἰσοστάσιον μητρὸς συμπαθοῦς καὶ V. 90 φιλόπαιδος, οὔτε ταύτης ἰσχυρότερον φυλακτήριον, κἂν κίν- D δυνος προορᾶται, κἂν ἄλλο τι τῶν ἀπευκταίων ἐλπίζοιτο. εἰ γὰρ βουλεύσεται αὕτη, πάγιον ἔσται τὸ βούλευμα, εἰ ἐπεύξεται, στήριγμα ἔσονται αἱ εὐχαὶ καὶ φύλακες ἀκαταγώνιστοι. τοιαύτη γοῦν καὶ τῇ βασιλείᾳ μου ἐφάνη ἐξ αὐτῆς τῆς ἀτελοῦς ἡλικίας πρακτικῶς ἡ ἡγιασμένη μήτηρ αὐτῆς καὶ δέσποινα, τὰ πάντα μοι γεγονυῖα καὶ τροφὸς καὶ ἀγωγός. καὶ γὰρ τῷ συγκλητικῷ καταλόγῳ αὐτῆς συνούσης, μητρὸς πόθος προέδραμε, καὶ υἱοῦ πίστις ἀκεραία συνετηρήθη. μία ψυχὴ P. 84 ἐν διῃρημένοις σώμασιν ἐγνώσθη καὶ χάριτι Χριστοῦ καλῶς διετηρήθη μέχρι τοῦ νῦν. οὐ τὸ ἐμὸν ἢ τὸ σόν, τὸ ψυχρὸν τοῦτο ῥῆμα, ἐρρήθη, καὶ τὸ δὴ μεῖζον, ὅτι αἱ αὐτῆς εὐχαὶ τὸν πάντα χρόνον πληθυνόμεναι εἰς τὰ ὦτα κυρίου εἰσέδυσαν καὶ εἰς τόδε τὸ ὕψος τῆς βασιλείας ἡμᾶς ἀνήγαγον. ἀλλ' ἐπεὶ καὶ μετὰ τὸ ἐπιλαβέσθαι τῶν τῆς βασιλείας σκήπτρων οὐκ

2. ἐκθησομένη. ἔχει δὲ οὕτως. τὰς τοῦ γρ. μ. κ. περιελοῦσα. οὐδὲν G. κομψίας C. 3. post οὕτως P add. τὰ τοῦ χρυσοβούλλου τοῦ γεγονότος περὶ τῆς διοικήσεως τῶν κοινῶν τῇ μητρὶ τοῦ βασιλέως, eundem titulum G in margine, om. A. 4. ἰσχυρώτερον PG, alterum A. 5. ἐλπίζοιτο FA et P in margine, λογίζοιτο PG. 6. αὐτὴ G. 8. ἐφάνη om. CGA, add. PF. 9. ἡ om. A. 10. τὰ om. A. ἀγωγὸς A, ἀναγωγὸς PG. 13. διεγνώσθη PG, alterum C. 16. εἰσέδοσαν P. 17. ὕψος: ἔτος P. ἡμῶν G, om. C.

virorum facta consultaque non crasse transmittere oportet, sed subtiliter, quantum possit, illa enarrare et quae decreta fuerint referre: aggrediar et ego hac ratione bullam auream illam referre, nec nisi ea omittam, quae ad scribae ornatum pertinent. habet autem ita: "nihil est, quod aequiparari queat matri, quae liberos amat eorumque vice iuxta commovetur ac sua; nec ea firmius ullum praesidium est, sive periculum providetur, sive aliud quid abominandi speratur. nam si consuluerit haec, firmum erit consilium, si precata deum fuerit, munimento erunt preces et invictorum instar satellitum. talem et nostrae maiestati a prima inde aetate sese re praestitit veneranda mater ac domina, quae omnia nobis erat et nutrix et educatrix. cumque dein senatorum numero adscripti essemus, nec mater desiit caritate praeire, et filii pietas fiduciaque integra mansit. una duobus in corporibus anima cernebatur eaque necessitudo per Christi gratiam pulchre servata est hucusque. non "meum," non "tuum," frigidum illud verbum, dicebatur; atque quod longe maximum est, crebrae eius per omne tempus preces, a deo admissae, in hoc imperii fastigium

ἔφερε μὴ συμπονουμένη ἐπίσης τῇ βασιλείᾳ μου καὶ τοῦ συμφέροντος αὐτῇ ἀντεχομένη καὶ τοῦ κοινοῦ, ἑτοιμαζομένη δὲ ἤδη ἡ βασιλεία μου σὺν Θεῷ πρὸς τὴν κατὰ τῶν ἐχθρῶν τῆς Ῥωμανίας ἐξέλευσιν, διὰ φροντίδος μὲν πολλῆς ποιεῖται B καὶ τὴν τοῦ στρατιωτικοῦ συλλογήν τε καὶ διευθέτησιν, οὐκ ἐλάχιστον δὲ ταύτῃ ’νενόμισται καὶ ἡ περὶ τῆς τῶν σεκρετικῶν τε καὶ πολιτικῶν πραγμάτων διοικήσεως φροντίς. εὗρε γοῦν οἷον ἀριστοκρατίας ἀνεπιβούλευτον ὀχύρωμα, ὡς ἂν τῇ ἡγιασμένῃ καὶ πανεντιμοτάτῃ μητρὶ αὐτῆς ἀνατεθῇ ἡ τῶν ἁπάντων διοίκησις. διορίζεται γοῦν ἡ βασιλεία μου καθαρῶς διὰ τοῦ παρόντος χρυσοβούλλου, ἵνα δι' ἣν ἔχει πολυπειρίαν περὶ τὰ βιωτικὰ πράγματα, εἰ καὶ τέλεον τούτων καταπεφρόνηκεν, ἅπερ ἂν ἐγγράφως διορίσηται, κἂν παρὰ τοῦ προεστῶτος τῶν σεκρέτων ἀναφέρωνται ἢ τῶν ὑπ' αὐτὸν C σεκρετικῶν ἢ τῶν ἄλλων ἁπάντων, ὧν αἱ ὑπομνήσεις ἢ αἰτήσεις ἢ κρίσεις ἑτοιμασθήσονται ἐπὶ συμπαθείαις δημοσιακαῖς ὀφλημάτων, τὸ κῦρος ἕξουσι μόνιμον, ὡς παρὰ τοῦ γαληνίου κράτους τῆς βασιλείας μου οἰκονομούμενα καὶ ἐξ αὐτοῦ τοῦ στόματος αὐτῆς τὰ γραφέντα ἀποστοματιζόμενα. οἷαι γὰρ ἂν λύσεις παρ' αὐτῆς ἀποφανθήσονται ἢ καὶ προστάξεις

3. δὲ om. A. vid. annotat. 4. Ῥωμανίας : βασιλείας A. 8. ἀριστοκρατίας οἷον A. 9. παντεντιμοτάτῃ G. 13. ἂν om. CGA, add. PF. ἐγγράφως αὕτη διορίσηται A. παρὰ τοῦ FC et in margine P, παρ' αὐτοῦ PG. 14. αὐτῶν G. 15. σεκρετικῶν : σεπτῶν G. 20. ἂν om. A. 20. ἀποφαντήσονται P.

nos extulere. quae cum etiam post susceptum imperium non potuisset, quin laboris societatem cum maiestate nostra coiret et rei publicae saluti ipsa prospiceret, maiestas nostra iam cum deo expeditionem adversus Romaniae hostes obitura, ut curam sane magnam ponit in delectibus habendis exercituque bene ordinando, ita non minimi momenti esse rerum iudicialium et civilium curam existimat. itaque hoc imperii quasi firmissimum munimentum invenimus, ut sanctae ac maxime venerabili matri rerum omnium administratio committatur. decernit igitur maiestas nostra bullaque hac aurea sancit, ut pro magna, qua pollet, rerum humanarum peritia, tametsi eas prorsus contemnit, quidquid scripto decreverit, sive ab eo relatum sit, qui universae rei iudiciariae praeest, sive ab officialibus huic subiectis, sive a ceteris omnibus, qui vel commentariorum vel libellorum vel sententiarum curam gerunt in publicis debitorum remissionibus, id auctoritatem habeat perpetuam nihiloque minorem, quam si ab ipsa serenitate nostra statutum iussumque esset. quaecunque responsa eius proferentur, vel mandata scripta, non scripta, cum ratione vel sine ratione, munita modo eius sigillo, quod transfigurationem et assum-

ἔγγραφοι ἢ ἄγραφοι, κἂν εὔλογοι κἂν ἀνεύλογοι, σφραγῖδα φέρουσαι αὐτῆς τὴν μεταμόρφωσιν καὶ τὴν κοίμησιν, ὡς αὐτῆς τῆς βασιλείας μου λογισθήσονται. τῷ δὲ μηνὶ τοῦ κατὰ τὴν ἡμέραν διοικοῦντος τὰ σέκρετα, ἀλλὰ καὶ ἐπὶ προβολῶν D καὶ διαδοχῶν τῶν σεκρέτων καὶ τῶν θεμάτων καὶ ἐπὶ τοῖς ἀξιώμασι καὶ ὀφφικίοις καὶ δωρεαῖς ἀκινήτων βασιλικῶς V. 71 ἡ ἁγία μήτηρ αὐτῆς ἕξει ἄδειαν ὃ δόξει ταύτῃ ποιεῖν. ἀλλὰ καὶ εἴ τινες προβληθήσονται εἰς τὰ σέκρετα ἢ καὶ εἰς θέματα καὶ διαδεχθήσονται τιμηθήσονται δὲ καὶ ἐν μεγίστοις ἀξιώμασι καὶ μέσοις καὶ ἐλαχίστοις, ἔσονται εἰς τὸ ἑξῆς ἀμετακίνητοι καὶ ἀμετάπτωτοι. ἀλλὰ καὶ αὐξήσεις P. 85 ῥογῶν καὶ προσθήκας δόσεων καὶ συμπαθείας τῶν λεγομένων συνηθειῶν καὶ σχιδευσμοὺς καὶ ἀποσχιδευσμοὺς προστάξει αὕτη ἀνενδοιάστως, καὶ περιεκτικῶς εἰπεῖν, οὐδὲν ἀσυντελὲς λογισθήσεται, ὅπερ αὐτὴ κελεύσει ἐγγράφως τε καὶ ἀγράφως. τὰ γὰρ ῥήματα ταύτης καὶ τὰ προστάγματα ὡς τῆς βασιλείας μου λογισθήσονται, καὶ οὐδὲν τούτων ἀθετηθήσεται, ἀλλὰ καὶ κύρια καὶ μόνιμα ἔσονται εἰς τοὺς ἑξῆς χρόνους. καὶ B οὔτε εὐθύνην, οὔτε ἥντιναοῦν ἀνάκρισιν ὑποπτεύσει νῦν ἢ εἰς τὸ μετέπειτα παρ' οὑτινοσοῦν τῶν ἁπάντων οὔτε τις τῶν ἐξυπηρετουμένων αὐτῇ, ἢ αὐτὸς ὁ κατὰ τὴν ἡμέραν λογοθέτης

1. ἢ : καὶ G. 3. τῷ : τὸ F. 5. καὶ τῶν θεμάτων om. G. 6. βασιλικῶν coni. Diesterweg. 10. μέσοις : μεγάλοις G. 13. σχιδευσμοὺς καὶ ἀποσχιδευσμοὺς C, σχιδευμοὺς καὶ ἀποσχιδευμοὺς PG. 14. καὶ ἀνενδοιάστως A. οὐδὲ G. 17. ἀθετήσεται G. 18. καὶ prius om. F. 19. ἥντιναοῦν om. A. ὑποπτεύσει CA, ὑποπιεύσῃ PG.

tionem exhibet, ut ab ipsa nostra maiestate profecta habeantur. mense quoque eius, qui pro tempore rem iudicialem administrat, etiam de promotionibus et successionibus in iudiciis superioribus inferioribusque, atque in dignitatibus et muneribus et donationibus rerum immobilium regio arbitrio sancta parens nostra, quidvis volet, decernendi habeat facultatem. et quicumque promoti fuerint in iudicia maioris minorisve ordinis et in iis successerint, maximis, mediis, infimis honoribus ornati, non summovebuntur ii in posterum statu suo nec unquam excident. sed et augmenta rogarum et incrementa largitionum et remissiones vectigalium, quae consuetudines vocantur; et stipendia ex parte aut omnino recisa suo haec constituet iure et, ut universe loquar, nihil irritum censebitur, quod illa imperaverit vel litteris vel sine litteris. verba enim huius et mandata tanquam ipsius maiestatis nostrae habebuntur, neque quidquam abrogabitur, sed rata firmaque erunt in postera tempora. nec quisquam eorum, qui illi ministraverit, nec ipse pro tempore logotheta secretorum, quantumvis

τῶν σεκρέτων, κἂν εὔλογα κἂν παράλογα τὰ πραχθησόμενα δόξῃ. τὸ γὰρ παντελῶς ἀλογοπράγητον ἕξουσιν ἐσαεί, ὁποῖα ἂν καὶ εἴη τῷ παρόντι χρυσοβούλλῳ λόγῳ στηριζόμενα."

7. Ἀλλὰ ταῦτα μὲν τὰ τοῦ χρυσοβούλλου. θαυμάσειε δ' ἄν τις ἐν τούτοις τὸν ἐμὸν πατέρα καὶ αὐτοκράτορα τῆς εἰς τὴν μητέρα τιμῆς καὶ ὅπως αὐτῇ παρακεχωρήκει τῶν ἁπάντων, αὐτὸς τῆς βασιλικῆς ἡνίας οἷον ὑπεξιστάμενος καὶ τρόπον τινὰ ἐποχουμένῃ τοῦ βασιλικοῦ ἅρματος αὐτῇ παραC θέων καὶ ψιλοῦ μόνου τοῦ τῆς βασιλείας μετέχων ὀνόματος. καίτοι κατὰ τὴν ἡλικίαν τὸν μείρακα ἤδη παρήλλαττε, καθ' ὃν μάλιστα καιρὸν ἐπιφύεται τοῖς τοιούτοις ἤθεσιν ὁ τῆς φιλαρχίας ἔρως. τοὺς μὲν γὰρ πρὸς τοὺς βαρβάρους πολέμους καὶ ὅσα τῶν ἄθλων καὶ τῶν ἀγώνων ὑπῆν, αὐτὸς ἀνεζώσατο, πᾶσαν δὲ τῶν πραγμάτων διοίκησιν καὶ πολιτικὰς ἀρχὰς καὶ τοὺς περὶ τῶν εἰσφορῶν λόγους καὶ τῶν ὑπὲρ τῆς βασιλείας ἀναλωμάτων τῇ μητρὶ κατεπίστευσε. καὶ ἴσως μὲν ἄν τις ἐνταῦθα γινόμενος καταμέμψοιτο τὴν οἰκονομίαν, ὡς γυναικωνίτιδι καταπιστεύσαντος τοὐμοῦ πατρὸς τὴν τῆς βασιλείας διοίκησιν· ἀλλ' εἰ τὸ φρόνημα τῆς γυναικὸς ἠπίστατο καὶ D ὅση τις ἦν ἀρετὴν καὶ τὸν νοῦν καὶ ὅπως εἶχε δραστηριότητος, ἀφέμενος μέμψεως πρὸς θαῦμα τὴν μέμψιν μετέβαλε. τοσαύτη γὰρ ἡ ἐμὴ μάμμη περὶ τὰ πράγματα δεξιωτάτη καὶ

2. εὐλογοπράγητον CG, alterum FPA. 3. χρυσοβουλλίου A. 4. μὲν τὰ : περὶ G. 13. ὑπῆν : ἦν G. ἐζώσατο A. 14. δὲ τὴν τῶν A. 15. τοῦ — λόγου A. 16. ἀναχωμάτων P. 17. καταμέμφοιτο G. 18. πρὸς ante τὴν add. G. 21. μετέλαβε G.

bene secusque habere videantur decreta, ullo tempore a quoquam ad rationem reddendam causamve dicendam cogi poterit. prorsus enim nulla unquam ratio exigenda est de omnibus, quaecunque tandem hac bulla aurea confirmata fuerint."

7. Hactenus bulla aurea. in qua miretur fortasse aliquis imperatorem, patrem meum, tantum matri tribuisse honorem, ut ei summam rerum committeret, ipse imperii regimine quasi decederet et quodammodo iuxta matrem, regio curru vehentem, cursaret, nudo solum imperatoris nomine retento. atqui adolescentiam iam excesserat, qua potissimum aetate duci solent eiusmodi ingenia cupiditate regnandi. bella adversus barbaros et quidquid laborum et periculorum suberat, sibi seposuit; summam administrationem rerum, magistratuum curam, vectigalium sumtuumque publicorum rationes matri commisit. fortasse igitur hoc loco vituperet aliquis patris mei consilium, quod gynaeceo imperii administrationem tradidit; at si prudentiam mulieris cognosset, et quanta virtute fuerit quantaque industria, vituperatione missa, in admirationem raptus esset. tanta enim in avia mea inerat

τάξαι καὶ καταστήσασθαι πολιτείαν εὐμήχανος, ὥστε μὴ μό-
νον τὴν Ῥωμαίων ἀρχὴν διοικεῖν δύνασθαι, ἀλλὰ καὶ πᾶσαν
τὴν ὁπουδήποτε βασιλείαν, ὁπόσην ἥλιος ἐφορᾷ. πολυπειρός
τε γὰρ ἦν καὶ πολλῶν πραγμάτων ἐγίνωσκε φύσεις, καὶ ὅπως P. 86
ἄρχεται καὶ εἰς ὃ καταντήσειεν ἕκαστον ἐξηπίστατο, καὶ τίνα
μὲν τίνων εἰσὶν ἀναιρετικά, τίνα δὲ μᾶλλον ἐπιρρώννυσιν
ἕτερα, ὀξυτάτη τε τὸ δέον καταμαθεῖν καὶ μετὰ ἀσφαλείας
καταπρᾶξαι δεινή. καὶ οὐκ ἦν μὲν τὴν γνώμην τοιαύτη, γλῶτ-
ταν δὲ εἶχεν ἀπᾴδουσαν πρὸς τὴν γνώμην· ἀλλ' ἦν αὐτό- V. 72
χρημα ῥήτωρ πιθανώτατος, καὶ οὔτε λάλος καὶ εἰς μῆκος τοὺς
λόγους ἐκτείνουσα, οὔτε ταχέως ἀπελίμπανεν αὐτὴ τὸ πνεῦμα
τοῦ λόγου, ἀλλ' ἐπικαίρως ἀρξαμένη εἰς τὰ καιριώτατα πά-
λιν κατέληγε. καὶ ὁ μὲν βασίλειος θρόνος αὐτὴν παρηκμα-
κυῖαν κατειλήφει, ὅτε καὶ μᾶλλον τὸ φρονοῦν ἤκμαζε καὶ ἡ B
σύνεσις ἐπήνθει καὶ ἡ περὶ τὰ πράγματα ἐπιστήμη συνήκμα-
ζεν, ἐξ ὧν οἰκονομίαι καὶ διοικήσεις τὸ κράτος ἔχουσιν. ἔχει
δὲ ὡς τὸ εἰκὸς ἡ τοιαύτη ἡλικία οὐ μόνον τι λέξαι τῶν νέων
σοφώτερον, ὡς ἡ τραγῳδία φησίν, ἀλλὰ καὶ συμφορώτερον
πρᾶξαι. ὁ δὲ κατόπιν χρόνος καὶ ὁπόταν ἐκείνη ταῖς νεωτέ-
ραις συνεξητάζετο γυναιξί, θαῦμα ἄντικρυς ἦν, πολιὸν ἐν
νεαρᾷ ἡλικίᾳ ἐπιδεικνυμένη φρόνημα. καὶ παρεῖχεν ἐξ αὐτῆς
ὄψεως τῷ βουλομένῳ καταθρεῖν τὴν ἐνοῦσαν αὐτῇ ἀρετὴν
ὁμοῦ καὶ ἐμβρίθειαν. ἀλλ', ὅπερ ἔλεγον, ὁ ἐμὸς πατὴρ τῆς

5. καταντήσειν G. 10. πιθανώτατος C, πιθανότητος PG. 11. an αὐτῇ? 17. δὲ ὡς ἡ τοιαύτη τὸ εἰκὸς P, recte G. 23. ὁμοῦ om. G. ἐμβρίθεισαν P, ἐμβρίθουσαν G, ἐμβρίθειαν C.

rerum gerendarum dexteritas, tanta constituendae ordinandaeque rei publicae facultas, ut non solum Romano imperio administrando par esset, sed omni ubivis terrarum regno, quantumcunque est. nempe experientissima erat et multarum rerum noverat naturas, quo quidque initio esset et quorsum evasurum, quae quibus adversarentur, quaeque iuvandis firmandisque rebus aliis essent, celerrime, quid opus facto, perspiciens et caute constanterque exsequens. nec vero, cum consilio adeo polleret, claudicabat lingua; quin erat plane eloquentissima, ac neque loquacitate sermonem longius producebat, neque celeriter deficiebat eam spiritus; verum opportune exorsa, quam opportunissime rursus finivit. atque imperii gubernaculis accessit ingravescente iam aetate, quando et sapientia magis viget et prudentia floret et rerum usus suppetit; ex quibus administratio vim nanciscitur suam. est nimirum huius aetatis non solum loqui iuvenibus prudentius, ut in tragoedia est, verum etiam ad utilitatem commodius agere. in superiore autem vita, cum adhuc in iuniorum numero esset, mulier sane mirifica erat, quippe quae senilem in adolescentia prudentiam praestaret.

βασιλείας ἐπιδραξάμενος, τοὺς μὲν ἀγῶνας καὶ ἱδρῶτας ἑαυ-
C τῷ τεταμίευκε, θεωρὸν τῶν ἀγώνων τὴν μητέρα ποιούμενος,
ἐκείνην δὲ δεσπότιν καταστησάμενος, τὸ παρ' ἐκείνης κελευό-
μενον καθάπερ δοῦλος ἔλεγέ τε καὶ ἔπραττεν. ἔστεργεν οὖν
αὐτὴν ὁ βασιλεὺς ὑπερφυῶς καὶ τῶν αὐτῆς βουλευμάτων
ἐξήρτητο, (τοσοῦτον ἦν φιλομήτωρ,) καὶ τὴν δεξιὰν ἐδίδου
τῆς ἐκείνης γλώττης ὑπηρέτιν καὶ τὴν ἀκοὴν τῶν ἐκείνης
φωνῶν εἰς ἀκρόασιν, καὶ εἰς ἅπαντα ταύτῃ ὁ βασιλεὺς συγ-
κατένευεν ἢ ἀνένευεν, ἐφ' οἷς ἄρα ἐκείνη κατανεύσειεν ἢ
ἀνανεύσειεν. καὶ ἦν τὸ πρᾶγμα ὅλως τοιοῦτον. ἐκεῖνος μὲν
D γὰρ σχῆμα βασιλείας εἶχεν, ἡ δὲ τὴν βασιλείαν αὐτήν· καὶ
ἡ μὲν ἐθεσμοθέτει, διῴκει τὸ πᾶν καὶ ἐπρυτάνευεν, ὁ
δὲ τὰς διοικήσεις ἐκείνης καὶ τὰς ἐγγράφους καὶ τὰς ἀγρά-
φους, τὰς μὲν χειρί, τὰς δὲ φωναῖς ἐπεσφράγιζε, καὶ ὡς
οὕτω γε φάναι, ὄργανον ἦν αὐτῇ βασιλείας, οὐ βασιλεύς.
ἠρέσκετο γὰρ ἐφ' ἅπασιν, οἷς ἡ μήτηρ διαγνοίη καὶ διορί-
P. 87 σειε, καὶ οὐχ ὡς μητρὶ μόνον καταπειθέστατος ἦν, ἀλλὰ
γὰρ ὡς ἐξάρχῳ βασιλικῆς ἐπιστήμης ταύτῃ προσεῖχε τὸν
νοῦν. ᾔδει γὰρ ἀκριβῶς τὸ ταύτης ἐφ' ἅπασιν ἐπὶ τὸ κράτι-
στον συγκεχωρηκός, καὶ ὅτι διαφερόντως πάντας τοὺς κατ'
ἐκεῖνο καιροῦ γεγονότας ἀνθρώπους εἰς φρόνησίν τε καὶ σύ-
νεσιν πραγμάτων ὑπερελαύνει.

1. ἑαυτοῦ P, ἑαυτῷ CG. 3. ἐκείναις κελευόμενος G. 6. τοσοῦτον CG, τοσοῦτο P. 7. τῇ ἐκείνης γλώττῃ G. vid. annotat. 12. καὶ add. G. 14. ὡς om. G. 18. γὰρ : καὶ?

atque ipso vultu ostendebat intuentibus virtutem sibi insitam gravitatemque. sed, quemadmodum dixi, pater meus imperio potitus, ipse labores sudoresque, spectatrice matre, perferendos sumsit, hanc autem dominam constituit et velut servus, quod illa iubebat, et loquebatur et agebat. diligebat eam imperator mirum in modum, totusque e consiliis eius pendebat: adeo matris erat amans: dextramque maternae linguae famulam, aures vocum illius audientes esse volebat, atque in omnibus rebus annuebat vel abnuebat, quae quidem illa annueret abnueretve. et plane sic se res habebat: ille speciem regni obtinebat, haec regnum ipsum; illa leges dabat, gubernabat cuncta administrabatque; hic placita eius, sive scripta subscribendo, sive non scripta vocis suffragio, confirmabat, et, ut ita dicam, instrumentum imperii erat matri, non imperator. rata enim habebat omnia, quaecunque illa decernebat et statuebat; neque ut matri solum obedientissimus erat, verum etiam ut regnandi artis magistrae attentum ei praebebat animum; quippe cui exploratissimum esset, illam in omni re ad summam perfectionem pervenisse et longe omnes, qui tunc erant homines, prudentia et rerum peritia anteire.

8. Τοιαῦτα τὰ τῆς Ἀλεξίου βασιλείας προοίμια. οὐ γάρ τις αὐτοκράτορα τοῦτον εἰκότως τό γε νῦν ὀνομάσειε, τῆς αὐτοκράτορος περιωπῆς ἅπαξ ἀποκληρωθείσης παρ' αὐτοῦ τῇ μητρί. ἄλλος μὲν οὖν νόμοις ἐγκωμιαστικοῖς ὑπείκων, πατρίδα B τῆς θαυμασίας ἐκείνης μητρὸς ἐπαινείτω καὶ γένος πρὸς Ἀδριανοὺς ἐκείνους τοὺς Δαλασσηνοὺς ἀναφερόμενον καὶ Χάρωνας, καὶ τῷ πελάγει τῶν κατ' ἐκείνους προτερημάτων ἐπαφιέτω τὸν λόγον· ἐμοὶ δὲ ἱστορίαν ξυγγραφούσῃ οὐκ ἐκ γένους καὶ αἵματος προσήκει ταύτην χαρακτηρίζειν, ἀλλ' ἐκ τρόπου καὶ ἀρετῆς καὶ τούτων, ὁπόσων ὁ τῆς ἱστορίας ὑποτίθεται λόγος. ἵνα γὰρ πρὸς ἐκείνην ἐπαναδραμοῦμαι V. 73 καὶ αὖθις, ἀξίωμα μὲν οὖν μέγιστον αὐτὴ οὐ γυναικῶν μόνον, C ἀλλὰ καὶ ἀρρένων καθίστατο καὶ κόσμος τῆς ἀνθρωπίνης φύσεως, τὴν δὲ περὶ τὰ βασίλεια γυναικωνῖτιν παντάπασι διεφθορυῖαν, ἐξότου ὁ Μονομάχος ἐκεῖνος τὸ τῆς βασιλείας ἀνεδήσατο κράτος, καὶ εἰς ἔρωτας ἀλόγους ἀποκλίνασαν καὶ μέχρι τῆς βασιλείας τοὐμοῦ πατρός, ἐπὶ τὸ βέλτιον ἀλλοιώσασα, εἰς κόσμον ἐπαινούμενον μετήνεγκε. καὶ ἦν ἰδεῖν τὰ βασίλεια τηνικαῦτα τάξεως ἐπαινουμένης μετειληχότα· καὶ γὰρ ὅρους τε τῶν θείων ὕμνων ἔταξε καὶ καιροὺς ἀρίστου τε καὶ ἀρχαιρεσίας ἐπήξατο, στάθμη καὶ κανὼν τοῖς D πᾶσιν αὐτὴ γεγονυῖα, ὡς τὰ βασίλεια μᾶλλον ἱερὰ φροντιστήρια εἶναι δοκεῖν. τοιαύτη τις ἦν ἡ ὑπερφυὴς καὶ ὄντως

10. ὁπόσον CG. 16. ἀποκλίνασαν C, ὑποκλίνασαν PG. 19. τὰ βασίλεια om. P.

8. Huiusmodi fuere initia Alexii regni; nam imperatorem eum hoc quidem tempore dicere vix licet, cum imperatoris potestatem semel matri concesserit. iam alius laudationis legibus obsequens, patriam matris illius admirabilis genusque ab Adrianis illis Dalassenis et Charonibus repetitum celebret atque in amplissimo campo horum virtutum excurrat licet; me historiam conscribentem, non ex genere et sanguine describere eam oportet, sed ex moribus et virtute omnibusque iis rebus, in quibus enarrandis historia versatur. itaque ut ad illam iterum redeamus, ornamentum quidem ipsa fuit non mulierum modo maximum, sed etiam virorum ac decus naturae humanae; gynaeceum autem palatii, quod omnino perditissimum erat, ex quo tempore Monomachus ille imperio potitus est, et ad turpes se converterat amores usque ad ipsum patris mei imperium, melius reddidit laudandosque mores restituit. atque iam cerneres palatium in bonum ordinem adductum; nam et certa hymnis sacris tempora descripsit, suasque et prandio et negotiis publicis tractandis horas constituit: in quibus observandis ipsa exemplum et quasi regula omnibus erat: ut palatium sacrum potius

ἱερὰ ἐκείνη γυνή. σωφροσύνῃ μὲν γὰρ τοσοῦτον ὑπερῆρε καὶ τὰς πάλαι ὑμνουμένας, περὶ ὧν ὁ πολὺς λόγος, ὁπόσον ἀστέρας ἥλιος· τὸν δὲ περὶ τοὺς πένητας οἶκτον αὐτῆς καὶ τὴν δαψιλῆ πρὸς τοὺς δεομένους χεῖρα τίς παραστήσειε λόγος; κοινὸν μὲν ἦν ἡ αὐτῆς ἑστία καταγώγιον τοῖς ἐξ αἵματος πενομένοις, κοινὸν δὲ καὶ ξένοις οὐχ ἧττον. ἱερέας δὲ καὶ μο- P. 88 *ναχοὺς διαφερόντως ἐτίμα καὶ ξυνδειπνοῦντας εἶχε, καὶ οὐδενὶ ἄτερ μοναχῶν τὴν αὐτῆς τράπεζαν θεάσασθαι ἐνῆν. ἡ δὲ ἔξωθεν ἐπιφαινομένη τοῦ ἤθους κατάστασις καὶ ἀγγέλοις αἰδέσιμος καὶ αὐτοῖς δὲ τοῖς δαίμοσι φοβερά, ἀνθρώποις δὲ μὴ ἐχέφροσιν, ἀλλὰ περὶ ἡδονὰς ἐπτοημένοις ἀνύποιστος καὶ ἐκ μόνου τοῦ βλέμματος, τοῖς δ᾽ αὖ γε σωφροσύνης ἐπιμελουμένοις ἱλαρά τε καὶ προσηνής. μέτρα γὰρ ἔγνω κατηφείας καὶ σεμνότητος, ὡς μήτε τὸ κατηφὲς ἄγριόν πως καὶ θηριῶδες δοκεῖν, μήτε τὸ ἁπαλὸν κεχαλασμένον τε καὶ ἀκόλαστον,* B *καὶ ὅρον, οἶμαι, τοῦτ᾽ εἶναι κοσμιότητος, κραθέντος τοῦ φιλανθρώπου τῷ τῆς ψυχῆς ἀναστήματι. τὸ δὲ ἦθος αὐτῇ ὑποκαθήμενον πρὸς ἐνθυμήσεις, ἀεὶ καινοτέρας ἀνελιττούσῃ τὰς γνώμας, οὐ φθαρτικὰς τοῦ κοινοῦ, ὡς τινες ὑπετονθόρυζον, ἀλλὰ σωστικάς, καὶ διεφθορυῖαν ἤδη τὴν βασιλείαν εἰς ὁλοκληρίαν ἐπαναγούσας, τά τε τοῦ κοινοῦ εἰς τὸ μηδὲν ἐληλακότα ἐπανορθούσας, ὡς δύναμις. πλὴν εἰ καὶ τῇ τῶν*

1. *ἱερὰ ὄντως* G. 7. *συνδειπνοῦντας* C. 12. *τοῦ* om. G. 15. *τε* om. G. 18. *προκαθήμενον* G. 21. *ἐς* P, *εἰς* GA.

monasterium videretur. talis erat egregia et revera sancta illa femina. temperantia enim tantum superabat etiam celebratissimas olim mulieres, quae in omnium ore versantur, quantum stellas sol. iam misericordiam eius in pauperes ac liberalem in egentes manum quis verbis exprimere queat? commune erat eius domus deversorium consanguineis, qui inopia laborabant; nec minus eadem alienis quoque patebat. sacerdotes autem et monachos praecipuo colebat honore et ad mensam adhibebat, nec quisquam facile sine monachis accumbentem eam conspexit. quae extrinsecus apparebat ingenii eius species, et angelis venerabilis et ipsis daemonibus terribilis erat, hominibus autem non prudentibus, sed libidine agitatis intolerabilis vel solo adspectu; at qui e contrario temperantiae studebant, hilaris et propitia. nam modum norat tristitiae severitatisque, ut neque tristitia immanis et fera videretur, neque hilaritas dissoluta et indomita; atque hunc, opinor, terminum statuebat modestiae, ut humanitas condita esset gravitate animique magnitudine. natura ad meditandum propensior erat, et nova semper consilia animo versabat, non perniciosa illa quidem rei publicae, ut quidam mussitabant, sed salutaria, quaeque perditum iam

κοινῶν διοικήσει ἐνησχολεῖτο, τῆς τοῖς μοναχοῖς προσηκούσης διαγωγῆς οὐδαμῶς καταπεφρονήκει. ἀλλὰ τὸ πλεῖον μὲν τῆς νυκτὸς τοὺς ἱεροὺς ἀπεπλήρου ὕμνους, προσευχῇ τε συντόνῳ C καὶ ἀγρυπνίᾳ συντετηκυῖα, περὶ δὲ τὸ ὄρθριον, ἔστι δ' ὅτε καὶ δευτέρας ἀλεκτοροφωνίας, ταῖς τοῦ κοινοῦ προσέκειτο διοικήσεσι, περί τε τῶν ἀρχαιρεσιῶν σκοποῦσα καὶ τὰς τῶν δεομένων αἰτήσεις ἐπιλύουσα, ὑπογραμματεύοντος αὐτῇ Γρηγορίου τοῦ Γενεσίου. ταῦτα εἴ τις ἠβούλετο ῥήτωρ εἰς ἐγκω- V.74 μίου λόγους ἀγαγεῖν, τίνας ἂν οὐκ ἀπεκρύψατο τῶν πάλαι περιβοήτων ἐπ' ἀρετῇ καὶ κατ' ἀμφότερα τὰ γένη φανέντας περιφανεῖς, τοῖς ἐπιχειρήμασι καὶ τοῖς ἐνθυμήμασι καὶ ταῖς πρὸς ἄλλους συγκρίσεσιν ἐξογκῶν εἰς μέγα τὴν ἐπαινουμένην, D ὥσπερ νόμος ἐστὶ τοῖς ἐγκωμιάζουσιν; ἀλλὰ τὰ τῆς ἱστορίας οὐχ οὕτως ἄδειαν δίδωσι τῷ συγγράφοντι. διόπερ εἰ περὶ ταύτης τῆς βασιλίδος λέγοντες τὰ μεγάλα σμικροπρεπέστερον εἴπωμεν, μηδεὶς ὑπὸ μέμψιν ἀγέτω τὸν λόγον, ὅσοι τὴν ἐκείνης ἴσασιν ἀρετὴν καὶ τὸν ὄγκον τοῦ ἀξιώματος καὶ τὸ ἀγχίνουν ἐν ἅπασι καὶ τὸ ἀκροφυέστατον τοῦ φρονήματος. ἡμεῖς δὲ ὅθεν περὶ αὐτῆς λέγοντες μικρόν τι ἐξετραπόμεθα, P.89 πάλιν ἐπανακάμψωμεν. ἐκείνη τοίνυν τὴν βασιλείαν, ὡς ἔφημεν, διιθύνουσα, οὐδὲ τὴν πᾶσαν ἡμέραν ταῖς κοσμικαῖς φροντίσιν ἀφώριστο, ἀλλὰ τὰς ἐκ τύπου λειτουργίας εἰς τὸ

3. τε om. A. 5. ἀλεκτροφωνίας G. 6. τῶν ante ἀρχαιρεσιῶν add A. 10. καὶ om. P. 11. ἐνθυμήμασι καὶ ταῖς om. G. 17. ἴσασιν C, οἴδασιν PG.

atque ad nihilum redactum imperium pristinae integritati, quantum fieri poterat, restituerent. caeterum, licet publicis negotiis occupata esset, nequaquam tamen vitae monasticae officia neglexit. imo maximam noctis partem divinis hymnis cantandis consumebat, supplicationibus intentis et vigilando confecta; sub diluculum, nonnunquam a secundo gallicinio, publicis negotiis operam dabat, de magistratibus eligendis statuens et libellis supplicibus respondens, scribae munere Gregorio Genesio fungente haec si quis voluisset orator exornanda sibi sumere, quis est quem non obscuraret eorum, qui antiquitus propter virtutem celebrantur atque ex utrovis sexu illustres sunt, epichirematis, enthymematis, comparationibus illam extollens: qui laudationem scribentium mos est. sed historiae ratio non eandem concedit licentiam. quapropter si forte de regina hac disserentes, in rebus maximis tenuiores sumus, nemo id reprehendat, quicunque virtutem illius et amplitudinem summam animique in omni re solertiam atque excelsitatem norunt. sed, unde paullulum deflexirnus, iam redeamus. ea igitur cum rem publicam, ut diximus, gubernaret, ne totum quidem

ἱερὸν τέμενος τῆς μάρτυρος Θέκλης ἀπεπλήρου, ὅπερ ὁ αὐτοκράτωρ Ἰσαάκιος ὁ Κομνηνὸς καὶ ἀνδράδελφος αὐτῆς ἐκ τοιαύτης αἰτίας ἐδείματο. ἐπεὶ γὰρ ἃς πάλαι εἶχον οἱ τῶν Δακῶν ἀρχηγέται μετὰ τῶν Ῥωμαίων σπονδὰς τηρεῖν εἰσέτι οὐκ ἤθελον, ἀλλὰ παρασπονδήσαντες διέλυσαν, τούτου δὲ δήλου τοῖς Σαυ-
B ρομάταις γεγονότος, οἳ πρὸς τῶν πάλαι Μυσοὶ προσηγορεύοντο, οὐδὲ αὐτοὶ τοῖς ἰδίοις ὁρίοις ἐμμένοντες ἤθελον ἡσυχάζειν, νεμόμενοι πρότερον ὁπόσα ὁ Ἴστρος πρὸς τὴν τῶν Ῥωμαίων διορίζει ἡγεμονίαν, ἀλλ᾽ ἀθρόον ἀπαναστάντες πρὸς τὴν ἡμεδαπὴν γῆν μετῳκίσθησαν. αἰτία δὲ τῆς τούτων μετοικήσεως ἡ τῶν Γετῶν κατ᾽ αὐτῶν ἄσπονδος ἔχθρα, ὁμορούντων μὲν ἐκείνοις, τούτους δὲ ληστευόντων. διὰ ταῦτα καιρὸν ἐπιτηροῦντες, ἐπεὶ τὸν Ἴστρον ἀποκρυσταλλωθέντα εἶδον, ὥσπερ ἠπείρῳ τούτῳ χρησάμενοι, ἐκεῖθεν πρὸς ἡμᾶς μετα-
C νίστανται ὅλον ἔθνος τοῖς ἡμετέροις ἐπιφορτισθὲν ὁρίοις, καὶ δεινῶς ἐληΐζοντο τὰς παρακειμένας πόλεις καὶ χώρας. τοῦτ᾽ ἐνωτισθεὶς ὁ βασιλεὺς Ἰσαάκιος, δέον ἔκρινε τὴν Τριάδιτζαν καταλαβεῖν. ἐπεὶ τοὺς ἑῴους βαρβάρους τῶν ἐπιχειρημάτων φθάσας ἀνεῖρξε, καὶ τοῦτο δὴ ἀπραγμονέστατον αὐτῷ ἐγεγόνει τὸ τμῆμα. καὶ δὴ τὸ ὁπλιτικὸν ἅπαν συλλεξάμενος, τῆς πρὸς τὰ ἐκεῖσε φερούσης ὁδοῦ ἥψατο, ἀπελάσαι βουλόμενος τῶν Ῥωμαϊκῶν ὅρων αὐτούς. καταστήσας δὲ ἅπαν τὸ ὁπλι-

1. Θέκλης CA, Θέκλας PG. 3. τῶν om. A. σπονδὰς παρεσπόνδησαν A. 6. προσαγορεύοντο PG, recte A. 7. ἤθελον ἡσυχάζειν om. CG. 9. ἐπαναστάντες GA. 14. ἐπανίστανται CG. 18. ἑώας G. 21. πρὸς : περὶ G.

diem secularibus negotiis impendebat, sed praescriptis sacris in Theclae martyris templo intererat, quod Isaacius Comnenus imperator, ipsius levir, hac de causa exstruxerat. cum Dacorum principes foedus, dudum cum Romanis ictum, servare diutius nollent, sed pactum perfide rumperent, id animadvertentes Sauromatae, qui Mysi a veteribus appellabantur, ne ipsi quidem continere se intra fines suos et quiescere voluerunt; sed cum hucusque eas regiones, quas Ister a Romanorum imperio seiungit, incoluissent, cuncti relictis sedibus in fines nostros irruperunt. cuius irruptionis causa Getarum fuere assiduae inimicitiae, qui cum finitimi essent, latrociniis eos lacessebant. itaque capta occasione, cum Istrum glacie concretum cernerent, velut continenti eo usi, inde ad nos migrarunt, totaque gens in finibus nostris consedit ac graviter urbes regionesque adiacentes vexavit. quo cognito, imperator Isaacius Triaditzam proficiscendum statuit. post repressos antea orientalium barbarorum impetus, etiam hanc rem facili perfecit negotio. universo enim collecto exercitu, in viam se de-

τικὸν ἐν εὐταξίᾳ, στρατηγὸς κατ' αὐτῶν ἴεται. οἱ δὲ τοῦτον
θεασάμενοι, εὐθὺς διαιρεθέντες διαφόρου γνώμης γεγόνασιν. D
ὁ δὲ οὐ πάνυ πιστεύειν αὐτοῖς ἔχων, ἐπὶ τὸ καρτερώτατον
καὶ δυσμαχώτερον μέρος αὐτῶν σὺν καρτερᾷ τῇ φάλαγγι
ἴεται. καὶ δὴ πλησιάσας αὐτοῖς, ἑαυτῷ τε καὶ τῷ στρατο-
πέδῳ κατέπληξε. πρὸς μὲν γὰρ τὸν οἷα δὴ κεραυνοφόρον
ἀντωπεῖν οὐκ ἐτόλμων, τοῦ δὲ στρατοπέδου τὸν ἀρραγῆ συν-
ασπισμὸν βλέποντες, αὐτοὶ διελύοντο. ὑποχωρήσαντες οὖν
πρὸς μικρόν, πόλεμον εἰς τρίτην αὐτῷ ἐπαγγειλάμενοι, τὰς
σκηνὰς αὐθήμερον ἀφέντες, φυγαδείᾳ ἐχρήσαντο. ὁ δὲ κα- V. 75
ταλαβὼν, ἔνθα οὗτοι ηὐλίζοντο, καὶ τάς τε σκηνὰς αὐτῶν P. 90
κατασκάψας καὶ τὴν εὑρημένην λείαν ἀπαγαγὼν, τροπαιοφό-
ρος ἐπάνεισι. γενομένου δὲ περὶ τοὺς τοῦ Λοβιτζοῦ πρόπο-
δας, ῥαγδαῖος ὄμβρος αὐτὸν καταλαμβάνει καὶ νιφετὸς ἔξω-
ρος, εἰκοστὴν πρὸς τῇ τετάρτῃ τοῦ Σεπτεμβρίου ἄγοντος, ἐν
ᾗ ἡ τῆς μεγαλομάρτυρος Θέκλης μνήμη τελεῖται. πλημμύ-
ρας οὖν γενομένης τῶν ποταμίων ῥευμάτων καὶ ὑπερχειλή-
σαντος τοῦ ὕδατος, θάλασσαν ἦν ὁρᾶν ἅπαν τὸ πεδίον ἐκεῖνο,
ἐν ᾧ ἥ τε βασιλικὴ σκηνὴ καὶ τὸ ὁπλιτικὸν ἅπαν κατεσκήνου.
κἀντεῦθεν τὰ πρὸς χρείαν ἅπαντα ἠφανίσθησαν τοῖς ποταμί- B

1. ἴεται PG hic et infra, recte A. 3. οὐ om. G. 7. ἀντωπῆσαι A. 9. ἐς A. ἀπαγγειλάμενοι P, ἐπαγγειλάμενοι GA. 12. εὑρομένην A. 13. γενόμενον G, γενομένων A. παρὰ τοὺς Λοβιτζοὺς CG, πρὸς τοὺς λεβιτοὺς A. 15. τὴν τετάρτην G. 17. γινομένης A. 20. κἀντεῦθεν G, ἐντεῦθεν PA.

dit, eos a Romanorum finibus abacturus. atque ubi copias bene ordinavit, impetum in eos facit; quem illi conspicati, dissidebant statim inter se et in contrariam abibant sententiam. at ille parum iis fidendum ratus, firmissimam et pertinaciorem eorum partem vehementissime aggreditur. cumque appropinquasset, sui copiarumque suarum conspectu eos perterruit; nam illum tanquam fulmina iaculantem contra intueri non audebant, exercitus autem infractam testudinem simulac conspexere, ipsi turbabantur. recedebant igitur paullatim et proelium in tertium abhinc diem denuntiabant; sed eodem die castris relictis, in fugam se dederunt. ille progressus, ubi castra metati erant, postquam tabernacula diruit et quae reperta est illic praedam abduxit, victor revertitur. in quo itinere cum ad Lobitzae radices pervenisset, vehemens eum imber oppressit et nix intempestiva; erat enim is vicesimus quartus Septembris dies, quo Theclae magnae martyris memoria celebratur. accrescentibus igitur fluviis et super ripas effusis, maris speciem tota planities praebebat, in qua et imperatoris tentorium et universi exercitus castra posita erant. iamque

οις ῥεύμασι παρασυρέντα, οἱ ἄνθρωποι δὲ καὶ τὰ κτήνη ὑπὸ τοῦ κρύους ἐπήγνυντο. ἐμυκᾶτο δὲ καὶ βροντῶν ὁ οὐρανός, ἀστραπαὶ δὲ συνεχεῖς, χρονικὴν μὴ ἔχουσαι τὸ παράπαν διάστασιν, τὸ περίγειον ἐκεῖνο ἅπαν ἐμπρῆσαι οἷον ἠπείλουν. ταῦτα ὁρῶν ὁ βασιλεὺς ἐν ἀμηχανίᾳ ἦν· ἀναστολῆς δὲ μετρίας γενομένης, πλείστους τε ἀποβαλὼν ταῖς δίναις τῶν ποταμίων συσχεθέντας ῥευμάτων, ἐκεῖθεν μετὰ τῶν λογάδων ἔξεισι, καὶ ὑπὸ φηγόν τινα μετ' αὐτῶν ἀπελθὼν ἵστατο. ἤχου δὲ μεγίστου καὶ βοῆς ἀπὸ τοῦ δρυὸς οἷον ἐξερχομένου αἰσθό-
C μενος καὶ σφοδροτέρων ἀνέμων τηνικαῦτα πνεόντων, πτοηθείς, μὴ τῇ τούτων βίᾳ ὁ δρῦς κατενεχθῇ, τοσοῦτον διάστημα ἀποστάς, ὁπόσον ὁ δρῦς, εἰ κατενεχθείη, μὴ φθάσῃ καταρράξαι αὐτόν, ἐννεὸς ἵστατο. ὁ δ' εὐθὺς ὥσπερ ἐκ συνθήματος ῥιζόθεν ἀνασπασθεὶς εἰς γῆν ὡρᾶτο κείμενος. ὁ δὲ βασιλεὺς θαυμάζων εἱστήκει τὴν τοῦ θεοῦ περὶ αὐτὸν κηδεμονίαν· λογοποιουμένην δὲ ἀποστασίαν περὶ τὴν ἕω μαθών, εἴσεισιν εἰς τὰ βασίλεια. καὶ τηνικαῦτα ἐπὶ τῷ ὀνόματι τῆς μεγαλομάρτυρος Θέκλης ναὸν περικαλλῆ ἐδείματο, μεγαλοπρε-
D πῶς μὲν κατεσκευασμένον καὶ ἱκανῇ δαπάνῃ, χειρός τε τὸ ποι-

1. ῥεύμασι : ὕδασι G. 3. χρονικὴν om. A. 4. ἅπαν om. G. 9. τοῦ CA, τῆς PG. ἐξερχομένης PG, alterum CA. 11. ὁ CA hic et infra, ἡ PG. 12. καταῤῥάξαι G et ab altera manu C, πατάξαι PA. 14. ὡρᾶτο A, ὁρᾶτο PG. 17. εἴσεισιν PG, ἄνεισιν A, ἐπανελθὼν Zonaras III. p. 215, qui Annae narrationem fere ad verbum expressit. vid. annotat. 19. τε : an δὲ? τὸ om. G.

commeatus omnis fluctibus immersus abripiebatur; homines et iumenta frigore obrigebant; mugiebat etiam tonitrubus coelum, fulguraque continua, nullo plane temporis intervallo, omnem circa terram inflammare quasi videbantur. haec cum videret imperator, in magna difficultate erat; et ubi paullisper tempestas remisit, plerisque fluctuum vi abreptis, inde cum ducibus decessit et sub fagum se recepit. sed cum ingentem clangorem ac quasi arbore exeuntem sonum percepisset, ventis vehementius tum flantibus, veritus, ne eorum impetu arbor everteretur, tanto spatio recessit ab arbore, quanto fagus, si caderet, se non prosterneret, ibique obstupefactus constitit. tum arbor, velut signo dato, extemplo evulsa radicitus, humi iacens cernebatur. imperator admirans dei de se curam adstabat. defectionis autem in Oriente rumore accepto, domum rediit, atque eo tempore Theclae, magnae martyri, pulcherrimum templum condidit, tum magnifice nec mediocri sumtu exstructum, tum varia arte ornatum; habitisque ibi ob salutem conservatam sacrificiis, qualia Christianis conveniunt, omni deinceps tempore diviuis illic hymnis interesse consuevit. tali

κίλον ἔχοντα, σῶστρά τε θύσας ἐν αὐτῷ Χριστιανοῖς τὰ προσήκοντα, τοὺς θείους ὕμνους διὰ παντὸς ἐν αὐτῷ ἀπεπλήρου. οὕτω δὴ τὸ ἤδη ῥηθὲν ἱερὸν τέμενος ἐπ' ὀνόματι τῆς μεγαλομάρτυρος Θέκλης ἀνῳκοδόμητο, ἐν ᾧ τὰς ἐντεύξεις, ὡς ὁ λόγος φθάσας ἐδήλωσεν, ἡ βασιλὶς καὶ μήτηρ τοῦ αὐτοκράτορος Ἀλεξίου συνεχεῖς ἐπεποίητο. ἣν κἀγὼ βραχύν τινα τεθέαμαι χρόνον καὶ τεθαύμακα· καὶ ὅτι μὴ κόμπος τὰ ἤδη ῥηθέντα, ἴσασιν ἅπαντες καὶ ὁμολογήσαιεν, εἴ γε βούλοιντο, ὁπόσοι ἄτερ πάθους τὴν ἀλήθειαν ἐκκαλύπτειν ἐθέλουσιν. εἰ P. 91 μὲν γὰρ ἐγκωμιάζειν προειλόμην, ἀλλὰ μὴ ἱστορίαν ποιεῖν, ἐπὶ πλέον ἂν ἐπαφῆκα τὸν λόγον τοῖς περὶ τούτων διηγήμασι, καθάπερ φθάσασα ἐδήλωσα· νῦν δὲ ἐπανακτέον αὖθις αὐτὸν πρὸς τὸ προκείμενον.

9. Ἀσπαίρουσαν δὲ οἷον κατανοῶν τὴν βασιλείαν ὁ βασιλεὺς Ἀλέξιος, (καὶ γὰρ τὰ μὲν πρὸς ἀνίσχοντα ἥλιον οἱ Τοῦρκοι δεινῶς ἐληΐζοντο, τὰ δὲ κατὰ τὴν ἑσπέραν λίαν εἶχε κακῶς, τοῦ Ῥομπέρτου πάντα κάλων κινοῦντος ἐφ' ᾧ τὸν προσεληλυθότα αὐτῷ ψευδώνυμον Μιχαὴλ εἰς τὰ βασίλεια B εἰσάξαι· ὅπερ ἐμοὶ σκῆψις μᾶλλον δοκεῖ καὶ φιλαρχίας ἔρως, ἀναφλέγων αὐτὸν καὶ ἠρεμεῖν τὸ παράπαν μὴ συγχωρῶν· V. 76 ἔνθεν τοι καὶ Πάτροκλον πρόφασιν τὸν μοναχὸν Μιχαὴλ εὑρηκώς, τὸν τέως ὑποτυφόμενον τῆς φιλαρχίας σπινθῆρα εἰς

1. τὰ add. A. 3. δὴ om. C. 5. ἡ μήτηρ G. 9. ἐγκαλύπτειν G. 12. δ' ἐπανακτέον A. 13. προσκείμενον G. 14. δὲ om. A. τὴν βασιλείαν οἷον ὁρῶν ὁ Ἀλέξιος G. 19. ὅπερ σκῆψις ἦν αὐτῷ καὶ φιλαρχίας A. 21. Μιχαὴλ om. G.

ratione magnae martyris Theclae aedes, quam diximus, aedeficata est; ubi, ut supra exposuimus, solennes preces regina imperatorisque Alexii mater faciebat. quam feminam et ego per breve tempus vidi et admirata sum. nec inani laudandi studio profecta esse, quae de ea scripsi, norunt omnes ac facile, si vellent, confirmarent, quicunque sine odio veritatem profiteri volunt. quodsi laudationem, non historiam scribere instituissem, multo profecto magis oratio in exponendis illis rebus versaretur, quemadmodum iam dixi; nunc autem revocanda oratio ad ea est, quae proposita sunt.

9. Imperator autem cum rem publicam quasi animam agentem cerneret, (nam et in Oriente Turcae misere fines vexabant, et occiduae provinciae admodum afflictae erant, Roberto omnem movente lapidem, ut Pseudomichaelem, qui eum adierat, in regiam reduceret: quae quidem simulatio potius et regnandi fuisse mihi videtur cupiditas, quae incendebat eum et quiescere omnino non sinebat; itaque cum Michaelem monachum invenisset, Pa-

πυρσὸν ἀνῆψε μέγαν, καὶ δεινῶς κατὰ τῆς τῶν Ῥωμαίων ἀρχῆς ὡπλίζετο, δρόμωνάς τε καὶ διήρεις ἑτοιμάζων καὶ τριήρεις, καὶ σέρμωνας καὶ φορταγωγοὺς ἑτέρας παμπληθεῖς ναῦς ἐκ τῶν παραλίων εὐτρεπίζων χωρῶν, κἀκ τῆς ἠπείρου δὲ δυνάμεις C πολλὰς συλλέγων εἰς τὸ προκείμενον αὐτῷ συνεπαρηγούσας,) ἐν ἀμηχανίᾳ γοῦν ὁ γενναῖος ἐκεῖνος μεῖραξ γενόμενος καὶ μὴ ἔχων ὁποτέρωσε νεύσειεν, ἑκάστου τῶν πολεμίων πρὸς ἑαυτὸν τὴν μάχην οἷον προαρπάζοντος, ἠνιᾶτο καὶ ἤσχαλλε, μήτε στρατιὰν ἀξιόμαχον τῆς τῶν Ῥωμαίων βασιλείας ἐχούσης, (οὐ πλείους γὰρ τῶν τριακοσίων στρατιωτῶν ἦσαν, καὶ τούτων ἐκ τοῦ Χώματος, ἀναλκίδων πάντῃ καὶ ἀπειροπολέμων, καὶ ξενικῶν τινῶν εὐαριθμήτων βαρβάρων τῶν ἐπὶ τοῦ δεξιοῦ εἰωθότων κραδαίνειν ὦμου τὸ ξίφος,) μήτε σωρῶν D χρημάτων τοῖς περὶ τὰ βασίλεια ταμείοις ἐναποκειμένων, δι᾽ ὧν ξυμμαχίας τινὰς ἐξ ἀλλοδαπῶν μετακαλέσοιτο. λίαν γὰρ ἀτέχνως περί τε τὰ πολεμικὰ καὶ στρατιωτικὰ διατεθέντες οἱ πρὸ αὐτοῦ βεβασιλευκότες, ἐν στενῷ κομιδῇ τὰ τῶν Ῥωμαίων συνήλασαν πάντα τὰ πράγματα. ἐγὼ γοῦν καὶ στρατιωτῶν αὐτῶν καὶ πρεσβυτέρων ἀνδρῶν ἐνίων ἀκήκοα, ὡς οὐδεμία τῶν πόλεων ἀπ᾽ αἰῶνος ἐς τοσοῦτον ἀθλιότητος κα-

2. δρόμωνάς τε καὶ τριήρεις ἑτοιμ. καὶ διήρεις G, δρόμωνας δὲ τριήρεις ἑτ. καὶ διήρεις A. 4. δὲ om. A. 5. εἰς A, ἐς PG. 6. γοῦν add. A. vid. annot. 7. ἑκάστου A et in margine P, ἑκατέρᾳ PG, ἑκάτερα C. 12. ξενιακῶν A. τοῦ om. G. 15. συμμαχίας P. 16. ἀτεχνῶς A. τε om. G. 18. πάντα τὰ om. A. 19. αὐτῶν om. G. ἀκήκοα ἐνίων G.

troclum praetendens, ambitionis igne cineri hucusque supposito in magnam exardescente flammam, omni contentione bellum adversus Romanorum imperium parabat, dromones biremesque armans et triremes, ac sermones et onerarias alias permultas ex regionibus maritimis cogens, et ex continenti copias multas colligens, quae in bello, quod cogitabat, se adiuvarent,) hac igitur difficultate circumventus, cum iuvenis ille generosus nesciret, quo se verteret, hostium utroque utrique pugnam quasi praeripiente, aegritudine afficiebatur molesteque ferebat. nam neque exercitus satis magnus imperio Romano erat, (non plures enim quam trecenti erant milites iique ex Chomate oriundi, ignavi prorsus nec bello exercitati, et pauci admodum barbari auxiliares, qui in dextro solent humero securim gestare,) nec pecuniae vis in aerario regio asservabatur, qua auxilia peregre arcesseret. etenim cum summa in re bellica et militari fuissent inertia, qui ante eum imperium tenuerant, in angustias permagnas rem Romanam adduxerant. equidem et ab ipsis militibus et a senioribus nonnullis viris audivi, nullam unquam post hominum memoriam urbem in tantam miseriam prolapsam esse. male igitur se

τήχθη. εἶχεν οὖν τῷ αὐτοκράτορι δυσκόλως τὰ πράγματα, μεριζομένῳ φροντίσι παντοδαπαῖς. ὁ δὲ γενναῖος ὢν καὶ ἄτρεστος καὶ περὶ τὰ πολεμικὰ ἔργα ἐμπειρίαν πολλὴν κεκτη- P. 92 μένος, ἐβούλετο ἐκ πολλοῦ κλύδωνος εἰς ἀλύπους ἀκτὰς τὴν βασιλείαν αὖθις ἐγκαθορμίσαι, τῶν ἐπανισταμένων ἐχθρῶν εἰς ἀφρόν, θεοῦ ἀρωγῇ, διαλυομένων κυμάτων δίκην, ὁπηνίκα ταῖς πέτραις προσαράξουσι. δέον οὖν ἔγνω πάντας τοὺς κατὰ τὴν ἀνατολὴν τοπάρχας ταχὺ μετακαλέσασθαι, ὁπόσοι φρούριά τε καὶ πόλεις κατέχοντες γενναίως τοῖς Τούρκοις ἀντικαθίσταντο. εὐθὺς οὖν πρὸς ἅπαντας διαφόρους σχεδιάζει γραφάς, πρός τε τὸν Δαβατηνὸν τοποτηρητὴν τηνικαῦτα τῆς κατὰ Πόντον Ἡρακλείας καὶ Παφλαγονίας χρηματίζοντα, καὶ τὸν Βούρτζην τοπάρχην ὄντα Καππαδοκίας καὶ Χώματος, B καὶ τοὺς λοιποὺς λογάδας, δηλώσας μὲν καὶ ὁπόσα αὐτῷ ξυμπεσόντα θεοῦ προνοίᾳ εἰς τὴν αὐτοκράτορος περιωπὴν ἀνεβίβασεν ἐξ ὑπογυίου κινδύνου παραδόξως σωθέντα, παρακελευόμενος δὲ τῶν σφετέρων χωρῶν πρόνοιαν ἱκανὴν ποιησαμένους, κατασφαλίσασθαι αὐτὰς καὶ ἀποχρῶντας πρὸς τοῦτο στρατιώτας καταλιπεῖν, μετὰ δὲ τῶν ἐπιλοίπων εἰς τὴν Κωνσταντίνου παραγίνεσθαι, συνεπαγομένους καὶ νεολέκτους ἀκμῆτας, ὁπόσους δύναιντο. εἶτα δεῖν ἔγνω καὶ τὰ κατὰ τὸν Ῥομπέρτον, ὡς ἐνόν, προκατασφαλίσασθαι καὶ τοὺς προσρυο- C

3. ἄτρεστος A, ἄτρεπτος PG. 7. προσάξουσι A. 21. τὸν om. A. 22. κατασφαλίσασθαι A.

habebant imperatoris res, ac diversae eum curae trahebant. verum cum generoso et intrepido animo esset et magno rei bellicae usu, decreverat ex vehementi iactatione ad tuta littora rem publicam rursus appellere, hostibus, qui instabant, deo iuvante, in spumam evanescentibus, ut fluctus solent, cum ad scopulos alliduntur. necessarium igitur duxit, omnes in Oriente toparchas celeriter arcessere, quicunque arcibus urbibusque praeerant ac fortiter Turcis restiterant. itaque statim ad omnes litteras misit, ad Dabatenum, Heracleae Ponticae et Paphlagoniae tum temporis praefectum, et ad Burtzem, praesidem Cappadociae et Chomatis, et ad ceteros duces; quaeque sibi accidissent ac quomodo dei providentia ad imperatoris dignitatem evectus esset, ex praesenti periculo praeter exspectationem servatus, exposuit atque iis imperavit, ut postquam castellis quisque suis bene prospexissent eaque tuta praestitissent, idoneo militum numero in hunc usum relicto, cum ceteris copiis Cpolim convenirent, simulque novos milites quam plurimos in supplementum lectos adducerent. dein adversus Robertum sibi, quantum posset, praecavendum existimabat, et qui ad eum transire vellent duces comitesque, a conatu coercendos.

μένους ἐκείνῳ ἀρχηγούς τε καὶ κόμητας ἀπεῖρξαι τοῦ ἐγχειρήματος. ἐπειδὴ ὁ πρὸ τοῦ τὴν πόλιν αὐτὸν κατασχεῖν πρὸς τὸν Μονομαχάτον ἀποσταλείς, δι' οὗ εἰς βοήθειαν αὐτὸν μετεκαλεῖτο, χρήματά τε ἐπεζήτει ἀποσταλῆναί οἱ, γράμματα μόνον κομίζων ἧκεν αὐτῷ προφάσεις δηλοῦντα, καθάπερ
V. 77 φθάσαντες ἱστορήσαμεν, δι' ἃς δῆθεν ἔτι τοῦ Βοτανειάτου τῆς βασιλείας ἐγκρατοῦς ὄντος βοηθεῖν οὐκ ἠδύνατο· ταῦτα ἀναγνοὺς καὶ πτοηθείς, μὴ μαθὼν τὴν ἀπὸ τῆς βασιλείας
D τοῦ Βοτανειάτου ἔκπτωσιν, προσρυῇ τῷ Ῥομπέρτῳ, ἀθύμως εἶχε παντάπασι. τοιγαροῦν μετακαλεσάμενος τὸν σύγγαμβρον αὐτοῦ Γεώργιον τὸν Παλαιολόγον πρὸς τὸ Δυρράχιον ἐξαπέστειλε, (πόλις δὲ τοῦτο Ἰλλυρική,) παρακαλεσάμενος πάσῃ μηχανῇ χρήσασθαι, ὥστε ἀμαχητὶ ἐκεῖθεν ἐξεῶσαι τὸν Μονομαχάτον, ἐπεὶ μὴ ἀποχρῶσαν εἶχε δύναμιν, δι' ἧς τοῦτον ἄκοντα ἐκεῖθεν ἀπελάσει· πρὸς δὲ τὰς τοῦ Ῥομπέρτου μηχανὰς ἀντιπαλαμᾶσθαι, ὡς δύναμις. παρεκελεύσατο δὲ καὶ τὰς ἐπάλξεις καινοπρεπέστερον κατασκευάσαι, ἀνήλωτα τὰ πλείω τῶν ξύλων ἐάσαντα, ἵν' εἴ που διὰ κλιμάκων συμβαίη τοὺς Λατίνους ἀνελθεῖν, ἅμα τῷ τῶν ξύλων ἐπιβῆναι περιτρέπωνται ταῦτα καὶ σὺν τούτοις καταπίπτωσιν εἰς τοὔδαφος. ναὶ μὴν ἀλλὰ καὶ τοῖς ἡγεμόσι τῶν παραλίων πόλεων καὶ αὐτοῖς δὴ τοῖς νησιώταις πολλὰ διὰ γραφῶν παρηγγυᾶτο,

2. ἐπεὶ δ' G. 3. τῷ Μονομαχάτῳ G. 5. ἧκεν om. G. 11. ἐξαποστέλλει καὶ παρεκαλέσατο A. 13. ἀμαχεὶ G. 16. ἀντιμηχανᾶσθαι F et in margine P. δὲ add. G. 17. καινοπρεπέστερον FCA, καινοπρεπέστερα PG. 18. ἐάσαντα CA, ἐάσοντα PG. πως G. 19. περιτρέπονται GA. 21. μὲν G.

legatus, quem ante captam urbem ad Monomachatum miserat, ut in auxilium eum vocaret et pecunias inde sibi conficeret, litteras tantum retulerat, in quibus causa, ut supra exposuimus, perscripta erat, quamobrem scilicet Botaniate imperium adhuc obtinente auxiliari non posset. quibus litteris perlectis, cum Alexius metueret, ne de Botaniate imperio pulso certior ille factus, Roberto accederet, animi plane anxius, arcessivit congenerum Georgium Palaeologum ac Dyrrhachium, quod est oppidum Illyrici, misit omnemque adhibere machinam iussit, ut Monomachatum nulla adhibita vi eiiceret, quoniam per copias non liceret invitum inde pellere; Roberti autem conatibus, quantum posset, officeret. ad hoc praecepit, propugnacula novum in modum ita pararet, ut pleraque tigna clavis haud religarentur: ut si forte scalis Latini ascensuri essent, simulac tignis insisterent, everterentur haec et cum illis in terram ruerent. quin etiam maritima-

μὴ ἀναπεπτωκέναι, μηδὲ καταῤῥᾳθυμεῖν ὅλως, ἀλλ' ἐγρηγορέναι καὶ νήφειν διὰ παντὸς περιφραττομένους καὶ τὸν Ῥομπέρτον καραδοκοῦντας, μὴ ἐξ ἐφόδου τῶν παραλίων πόλεων ἐγκρατὴς γενόμενος καὶ αὐτῶν δὴ τῶν νήσων, πράγματα ἐσύστερον τῇ βασιλείᾳ Ῥωμαίων παρέξῃ. P. 93

10. Ταῦτα μὲν οὕτω παρὰ τοῦ βασιλέως περὶ τὸ Ἰλλυρικὸν ᾠκονόμητο, καὶ καλῶς τὰ τέως κατὰ πρόσωπον καὶ ἐν ποσὶ κείμενα τῷ Ῥομπέρτῳ κατοχυρώσας ᾤετο· ἀλλ' οὐδὲ τῶν κατὰ νώτων ἐκείνῳ προσισταμένων κατεῤῥᾳθυμηκὼς ἦν. γράμματα τοίνυν πρῶτον μὲν πρὸς τὸν ἀρχηγὸν Λογγιβαρδίας Ἑρμᾶνον ἐκθέμενος, εἶτα καὶ πρὸς τὸν πάπαν Ῥώμης, πρὸς δὲ καὶ πρὸς τὸν ἀρχιεπίσκοπον Καπύης Ἕρβιον, πρὸς τοὺς πρίγκιπας, ἔτι γε μὴν καὶ πρὸς ἅπαντας τοὺς ἀρχηγοὺς B τῶν Κελτικῶν χωρῶν, δώροις τε μετρίοις τούτους δεξιωσάμενος καὶ ὑποσχέσεσι πολλῶν δωρεῶν καὶ ἀξιωμάτων, πρὸς τὴν κατὰ τοῦ Ῥομπέρτου ἔχθραν ἠρέθιζεν· ὧν οἱ μὲν τῆς πρὸς τὸν Ῥομπέρτον φιλίας ἤδη ἀπέστησαν, οἱ δὲ ὑπισχνοῦντο, εἰ πλείονα λάβοιεν. ὑπὲρ πάντας δὲ τούτους τὸν ῥῆγα Ἀλαμανίας γινώσκων δυνάμενον πᾶν ὅ τι καὶ βούλοιτο κατὰ τοῦ Ῥομπέρτου καταπράξασθαι, ἅπαξ καὶ δὶς γράμματα πρὸς αὐτὸν ἐκπέμψας καὶ διὰ μειλιχίων λόγων καὶ παντοίων ὑπο-

2. περιφραττομένους FCA et in margine P, περιφυλαττομένους PG. τὸν om. G. 3. ἐφόδου πασῶν τῶν παραλίων ἐγκρατὴς A. 5. παρέξει ῥωμαίων A. 7. τέως om. A. 9. κατὰ νώτου? 12. ἐπίσκοπον A. 18. ἀλαμανίας A, ἀλλαμανίας PG.

rum urbium praefectos et ipsos insularum incolas magnopere per litteras hortatus est, ne caderent animis neve ignaviter agerent, sed vigilarent sobrieque semper se protegerent ac Robertum exspectarent; ne primo is impetu maritimis potitus urbibus et ipsis insulis, Romanorum imperio in posterum negotium facesseret.

10. Haec de Illyrico imperator ita constituit, ac quae tum a fronte et ante pedes Roberto erant, bene, ut apparet, munivit. verum ne ea quidem, quae a tergo illi posita erant, neglexit. itaque litteras primum ad Hermanum, Longibardiae ducem, misit; dein etiam ad papam Romanum et Erbium, Capuae archiepiscopum, ad principes praeterea et Gallicarum regionum duces omnes; eosque donis satis magnis atque pollicitationibus multarum largitionum dignitatumque sibi conciliando ad bellum adversus Robertum concitabat; quorum alii amicitiam huic iam renuntiarunt, alii, si plura acciperent, polliciti sunt. prae his autem omnibus cum Alemaniae regem, quidquid vellet, contra Robertum perficere posse intelligeret, litteris semel atque iterum missis, blandis verbis promissisque omnis generis eum tentabat; quem ubi non abhorrentem vidit et voluntati suae obsequi pol-

σχέσεων ὑποποιησάμενος, ἐπεὶ καταπεισθῇ τοῦτον ἐγνώκει καὶ C *τῷ αὐτοῦ ὑπεῖξαι θελήματι ὑπισχνούμενον, μεθ' ἑτέρων αὖθις γραμμάτων τὸν Χοιροσφάκτην ἐξέπεμψε τάδ' ὑπαγορευόντων. "τὰ κατὰ τὴν σὴν μεγαλοδύναμον ἐξουσίαν καλῶς ἔχειν καὶ προκόπτειν ἐπὶ τὸ βέλτιον, εὐχῆς ἔργον ἐστὶ τῇ βασιλείᾳ μου, πανευγενέστατε καὶ τῷ ὄντι Χριστιανικώτατε ἀδελφέ. καὶ πῶς γὰρ οὐκ ἐξέσται τῇ τοῦ κράτους ἡμῶν θεοσεβείᾳ ἐπεύχεσθαί σοι τὰ κρείττω τε καὶ λυσιτελέστερα, τὴν ἐν σοὶ καταμαθούσῃ θεοσέβειαν; ἡ γὰρ πρὸς τὴν ἡμετέραν βασιλείαν ἀδελφική σου αὕτη ῥοπὴ καὶ διάθεσις καὶ ὁ μετὰ τοῦ κακομηχάνου ἀνδρὸς συμφωνηθεὶς ἀναδεχθῆναί σοι κάματος ;* D *ἵνα τὸν παλαμναῖον καὶ ἀλιτήριον καὶ τοῦ θεοῦ πολέμιον καὶ τῶν Χριστιανῶν ἀξίως μετέλθῃς τῆς κακοφροσύνης αὐτοῦ, πολλήν σου τὴν ἀγαθοθέλειαν τῆς ψυχῆς διαδείκνυσι, καὶ τὸ ἔργον τοῦτο φανερὰν τὴν πληροφορίαν παρίστησι τοῦ κατὰ θεόν σου φρονήματος. τὰ δὲ κατὰ τὴν ἡμετέραν βασιλείαν τὰ μὲν ἄλλα ἔχει καλῶς, ἐν ἐλαχίστοις δὲ ἀστατεῖ καὶ ταράττεται τοῖς κατὰ τὸν Ῥομπέρτον κυμαινόμενα. ἀλλ' εἴ τι* V. 78 *δεῖ πιστεύειν τῷ θεῷ καὶ τοῖς ἐκείνου δικαίοις κρίμασι, ταχεῖα ἡ καταστροφὴ τοῦ ἀδικωτάτου τούτου ἀνθρώπου παρέσεται. οὐδὲ γὰρ ἀνέξεται πάντως θεὸς ῥάβδον ἁμαρτωλῶν*

1. *ἐπεὶ — ὑπισχνούμενον* om. CG. 3. *χοιροσφάκην* G. *τὰ ἐξ ὑπαγορευόντων* A. 10. *σου* om. C. *αὐτὴ* A. *μετὰ* : lege *κατὰ*. 11. *ἀναδειχθῆναι* GA. 13. *μετέλθῃ* G. 14. *σου* A, *σοι* PG. 16. *βασιλείαν τἄλλα μὲν ἔχει* A. 17. *ἐλαχίστῳ* A. lege *οὐκ ἐν ἐλαχίστοις*. 18. *ἔτι* G. 20. *τούτου* add. A.

licentem, aliam rursus ad eum per Choerosphactem misit epistolam, in qua haec scripta erant. "bene se habere praepotentem dominationem tuam et meliore in dies fortuna uti, in votis est maiestati meae, longe nobilissime ac vere Christianissime frater. quidni enim conveniat maiestatis nostrae pietati, meliora et florentiora tibi precari, tua perspecta pietate? nam fraterna haec, qua in maiestatem nostram es, propensio et affectus et quo belli adversus perniciosum istum hominem labores suscepturum te esse animo promisisti, ut ab scelerato atque nefario et dei et Christianorum hoste malignitatis iustas poenas repeteres, magnam probitatem mentis tuae produnt planeque tuam in deum pietatem confirmant. quod ad nostram maiestatem attinet, ea in ceteris quidem bene habet; non minima autem sollicitudine et perturbatione propter Robertum agitatur. sed si qua deo et aequis eius iudiciis fides habenda est, celeriter iniustissimi huius hominis pernicies aderit; nec enim concedet omnino deus, virgam peccatorum in sortem suam usque adeo immitti. iam nummorum cen-

κατὰ τῆς κληρονομίας αὐτοῦ ἐπὶ τοσοῦτον ἐπαφίεσθαι. τὰ μέντοι παρὰ τοῦ κράτους ἡμῶν συμφωνηθέντα ἀποσταλῆναι τῇ μεγαλοδυνάμῳ σου ἐξουσίᾳ, αἱ ἑκατὸν τεσσαράκοντα τέσσαρες χιλιάδες τῶν νομισμάτων καὶ τὰ ἑκατὸν βλαττία, ἀπεστάλησαν νῦν διὰ τοῦ πρωτοπροέδρου Κωνσταντίνου καὶ κατεπάνω P. 94 *τῶν ἀξιωμάτων κατὰ τὴν ἀρεσκείαν τοῦ πιστοτάτου σου καὶ εὐγενεστάτου κόμητος τοῦ Βουλχάρδου. καὶ τὸ ῥηθὲν ποσὸν τῶν ἀποσταλέντων ἀπεπληρώθη διά τε εἰργασμένου ἀργυρίου καὶ Ῥωμανάτου παλαιᾶς ποιότητος. καὶ τελειουμένου τοῦ ὅρκου παρὰ τῆς εὐγενείας σου, σταλήσονταί σοι καὶ αἱ ὑπόλοιποι διακόσιοι δεκαὲξ χιλιάδες τῶν νομισμάτων καὶ ἡ ῥόγα τῶν δοθέντων εἴκοσι ἀξιωμάτων διὰ τοῦ πιστοτάτου τῇ σῇ ἐξουσίᾳ Βαγελάρδου, ὁπηνίκα εἰς Λογγιβαρδίαν κατέλθῃς. ὅπως μέντοι ὀφείλει τελεσθῆναι ὁ ὅρκος, προεδηλώθη πάντως τῇ εὐγενείᾳ σου, ἀπαγγελεῖ δ' ἔτι* B *σαφέστερον καὶ ὁ πρωτοπρόεδρος Κωνσταντῖνος καὶ κατεπάνω, ὡς καὶ παρὰ τοῦ κράτους ἡμῶν ἐνταλθεὶς ἕκαστον τῶν κεφαλαίων, ἅπερ μέλλουσι ζητηθῆναι καὶ παρὰ τοῦ γενησομένου παρὰ σοῦ ὅρκου βεβαιωθῆναι. ὁπηνίκα γὰρ ἡ συμφωνία ἀναμεταξὺ τῆς βασιλείας μου καὶ τῶν παρὰ τῆς εὐγενείας σου ἀποσταλέντων πρέσβεων ἐγίνετο, διεμνημονεύθησάν τινα τῶν*

1. *ἐπὶ τοσοῦτον* om. CGA. *ἀφίεσθαι* P, *ἐπαφίεσθαι* CGA. 2. *ἀποσταλῆναι πρὸς τὴν εὐγένειάν σου αἱ ἑκατὸν* A. 3. *τέσσαρες* : *πέντε* A. 4. *ἐστάλησαν* A. 5. *νῦν* om. A. *πρωτοέδρου* G. 10. *τελειωθέντος* A. 11. *σοι* om. A. *διακόσιοι* om. CG. *δεκαὲξ* om. A. 14. *ὤφειλε* G. 18. *παρὰ* : an *διὰ*?

tum et quadraginta quatuor millia et centum vestes sericas, quae a maiestate nostra dominationi tuae potentissimae mittenda erant ex pacto, missa nunc sunt per Constantinum protoprohedrum et praepositum dignitatibus, iuxta placitum Bulchardi fidissimi tibi et nobilissimi comitis. et dicta quidem summa pecuniae constat argento facto et Romanato antiquae qualitatis. ubi autem iusiurandum nobilitas tua praestiterit, etiam reliqua ducenta sedecim millia nummorum et stipendia dignitatum viginti concessarum per Bagelardum dominationi tuae fidelissimum mittentur tibi, simulac in Longibardiam perveneris. quomodo vero iusiurandum praestandum sit, significatum et antea nobilitati tuae est, et exponet accuratius Constantinus protoprohedrus et praepositus, qui de singulis capitibus, quae expediri et iureiurando a te firmari oportet, mandata a maiestate nostra acceperit. quando enim conventio inter maiestatem meam et missos a nobilitate tua legatos facta est, commemorata sunt capita quaedam maioris momenti, de quibus quoniam se accepisse mandatum negarunt nobi-

ἀναγκαιοτέρων κεφάλαια· ὅτι δὲ περὶ τούτων μὴ ἔχειν πρόσταξιν εἶπον οἱ τῆς εὐγενείας σου ἄνθρωποι, κατὰ τοῦτο καὶ ἡ βασιλεία μου τὸν ὅρκον αὐτοῖς ἀνήρτησε. τοίνυν καὶ τελεσθήτω ὁ ὅρκος παρὰ τῆς εὐγενείας σου, ὡς ὁ πιστός σου C Ἀλβέρτης ἐνωμότως τῇ βασιλείᾳ μου ἐβεβαίωσε, καὶ ὡς τὸ ἡμέτερον κράτος κατὰ προσθήκην ἀναγκαιοτέραν αὐτοῦ ζητεῖ. ἡ δὲ βραδυτὴς τοῦ πιστοτάτου καὶ εὐγενεστάτου σου κόμητος τοῦ Βουλχάρδου γέγονε διὰ τὸ τὴν βασιλείαν μου βούλεσθαι τὸν φίλτατόν μου ἀνεψιόν, τὸν υἱὸν τοῦ πανευτυχεστάτου σεβαστοκράτορος καὶ περιποθήτου αὐταδέλφου τῆς βασιλείας μου, θεαθῆναι παρ' αὐτοῦ, ὡς ἂν ἐλθὼν ἀπαγγείλῃ σοι τὴν ἐν ἡλικίας ἁπαλῷ καταστήματι βεβηκυῖαν σύνεσιν τοῦ παιδός· τὰ γὰρ ἔξω καὶ σωματικὰ δεύτερα τίθεται λόγου ἡ βασιλεία μου, εἰ καὶ ἐν τούτοις πολὺ ἔχει τὸ περιούD σιον. ὡς γὰρ τῇ μεγαλοπόλει ἐνδημήσας ἐθεάσατο τὸ παιδίον καὶ ὅσα εἰκὸς ὡμίλησεν, ἀπαγγελεῖ σοι ὁ πρέσβυς σου. καὶ ἐπεὶ παιδίον μὲν οὔπω ὁ θεὸς τῇ βασιλείᾳ μου ἐχαρίσατο, τόπον δέ μοι γνησίου παιδὸς ὁ φίλτατος οὗτος ἐπέχει ἀδελφιδοῦς, θεοῦ εὐδοκοῦντος, οὐδέν ἐστι τὸ κωλῦον, ἑνωθῆναι ἡμᾶς δι' αἵματος συγγενικοῦ, καὶ φίλα μὲν ἀλλήλοις φρονεῖν ὡς Χριστιανοῖς, οἰκειοῦσθαι δὲ καὶ τὰ ἀλλήλων ὡς συγγενεῖς, ἵν' ἐντεῦθεν ἕκαστος δι' ἀλλήλων δυναμούμενοι,

3. μου : σου G. αὐτῆς C. 5. Ἀβέρτης CG. ἐβεβαίωσε C, ἐβεβαιώσατο G, ἐβεβαιώσετο P. 7. σου om. A. 9. μοι A. 11. ὃς ἐλθὼν A. 13. δεύτερον C. an τοῦ λόγου? 14. εἰ δὲ καὶ G. 16. πρέσβις A. 17. παιδίον μὲν οὔπω C, παιδίον οὔπω A, οὔπω παιδίον P, οὔπω τὸ παιδίον G.

litatis tuae ministri, etiam maiestas mea propterea sacramentum ipsis distulit. ergo praestetur iusiurandum a nobilitate tua, ut fidelis tuus Albertes maiestati meae iuratus confirmavit, utque maiestas nostra petit ob additamentum satis necessarium. cunctationis ac morae Bulchardi, comitis tui fidelissimi et nobilissimi, ea fuit causa, quod nepotem carissimum, filium sebastocratoris felicissimi, germani maiestatis meae fratris, ab ipso conspici maiestas mea voluit, ut redux nuntiaret tibi firmum ac solers in tenerae aetatis statu pueri ingenium; externa enim et quae ad corpus pertinent, rationi posthabet maiestas mea; quanquam et illis virtutibus admodum excellit; prout narrabit tibi legatus tuus, qui cum in urbe versabatur, vidit puerum atque cum eo, ut res postulabat, confabulatus est. ac quoniam filium quidem deus mihi nondum dedit, hic autem fratris filius suavissimus filii mihi est loco, si deo placuerit, nihil impediet, quominus propinquitate coniungamur, et cum amica, ut Christianos decet, in nos

φοβεροὶ τοῖς ἐναντίοις ὦμεν μετὰ θεοῦ. τῇ μέντοι εὐγενείᾳ σου νῦν ἀπεστάλησαν δεξιωμάτων ἕνεκεν ἐγκόλπιον χρυσοῦν μετὰ μαργαριταρίων, θήκη διάχρυσος ἔχουσα τμήματα ἔνδον διαφόρων ἁγίων, ὧν ἕκαστος διὰ τοῦ ἐφ' ἑκάστου αὐτῶν ἐντεθέντος χαρτίου γνωρίζεται, καυκίον σαρδωνύχιον καὶ ἐμπότης κρύος, ἀστροπελέκυν δεδεμένον μετὰ χρυσαφίου καὶ ὀποβάλσαμον. μακρύναι ὁ θεὸς τὴν ζωήν σου, πλατύ- [P. 95] ναι τὰ τῆς ἐξουσίας σου ὅρια, καὶ θείη σοι πάντας τοὺς ἀντιπίπτοντας εἰς ὀνειδισμὸν καὶ εἰς καταπάτημα. εἰρήνη εἴη τῇ ἐξουσίᾳ σου, καὶ γαλήνης. ἥλιος ἐπιλάμψοι πάσῃ τῇ ὑπηκόῳ σου, καὶ γένοιντό σοι ἅπαντες εἰς ἀφανισμὸν οἱ ἐχθροί, τῆς ἄνωθεν κραταιᾶς ἰσχύος κατὰ πάντων σοι χαριζομένης [V. 79] τὸ ἄμαχον, τοσοῦτον τὸ ἀληθινὸν αὐτοῦ ὄνομα ἀγαπῶντι καὶ κατὰ τῶν ἐχθρῶν ἐκείνου τὴν χεῖρα ὁπλίζοντι."

11. Οὕτω μὲν οὖν τὰ κατὰ τὴν ἑσπέραν οἰκονομήσας, αὐτὸς πρὸς τὸ κατεπεῖγον καὶ ὑπόγυιον τὸν κίνδυνον ἀπειλοῦν ἡτοιμάζετο, ἐγκαρτερῶν ἔτι τῇ βασιλίδι τῶν πόλεων, [B] σκοπῶν ὅπως διὰ παντοίας μεθόδου τοῖς εἰς προῦπτον ἐπι-

2. ἀπεστάλη C. 3. μαργάρων C. ἔχουσα ἔνδοθεν τμήματα A. 4. τοῦ C, τῶν P, τὸν G. 5. ἐντεθέντα χάρτην G. lege σαρδονύχιον cum Ducangio Gloss. I. p. 147. 6. ἀστεροπελέκιν A. 7. μακρῦναι et πλατῦναι PG, recte A. 8. τῆς om. A. 10. καὶ γαλήνη, ἥλιος PG, alterum A. vid. annotat. 11. ἀφανισμὸν C, ὀνειδισμὸν PG, ὀνειδισμὸν καὶ ἀφάνειαν A. 13. τοσοῦτο G. 16. αὐτὸς om. A. κατεπείγων G. ἀπειλοῦν C, ἁπλοῦν PG. 17. ἐγκαρτερῶν : καὶ τέως ἐν τῇ βασ. τῶν πολ. ἐγκαρτερῶν ἦν καὶ διὰ παντοίας A.

invicem voluntate simus, etiam necessitudinis familiaritas inter nos intercedat, ut alter alterius potentia aucti, terrori deo iuvante simus adversariis. misimus autem nobilitati tuae amicitiae et bonae voluntatis ergo crucem, quae in sinu gestari solet, auream et margaritis ornatam, pyxidem auream, in qua sanctorum particulae nonnullorum insunt, quorum cuiusque nomen ex apposita cuique chartula cognoscitur; pateram e sardonyche et poculum crystallinum, astriformem securim aurea ligatam fibula et opobalsamum. prolonget deus vitam tuam, dilatet fines imperii tui afficiatque omnes adversantes opprobrio et pernicie. pax sit dominationi tuae, et tranquillitatis lux universae terrae tibi subditae illucescat, et redigantur omnes hostes tui ad internecionem, coelesti dei potentia vim tibi contra omnes largiente invictam, quippe qui tantopere verum eius nomen colas et contra hostes illius armis accingare."

11. Ita rebus per Occidentem dispositis, ipse ad ea, quae urgebant praesensque periculum intentabant, sese paravit, in urbe etiam tum degens, dispexitque, qua ratione hostibus iamiam immi-

κειμένοις ἐχθροῖς ἀντικαθισταίη. καὶ ἐπεί, ὡς ὁ λόγος φθάσας ἐδήλωσε, τοὺς μὲν ἀθεωτάτους Τούρκους περὶ τὴν Προποντίδα ἑώρα ἐνδιατρίβοντας, τοῦ Σολυμᾶ τῆς ἑῴας ἁπάσης ἐξουσιάζοντος καὶ περὶ τὴν Νίκαιαν αὐλιζομένου (οὗ καὶ σουλτανίκιον ἦν, ὅπερ ἂν ἡμεῖς βασίλειον ὀνομάσαιμεν,) καὶ προνομὰς συνεχῶς ἀποστέλλοντος καὶ ληϊζομένου ἅπαντα τά τε περὶ τὴν Βιθυνίαν διακείμενα καὶ Θυνίαν, καὶ μέχρις αὐτῆς Βοσπόρου τῆς νῦν καλουμένης Δαμάλεως ἱππηλασίας καὶ ἐπιδρομὰς ποιουμένους καὶ λείαν πολλὴν C ἀφαιρουμένους καὶ μονονοὺ ὑπεράλλεσθαι καὶ αὐτῆς ἐπιχειροῦντας τῆς θαλάττης· οὓς οἱ Βυζάντιοι ὁρῶντες ἀφόβως πάντῃ ἐνδιατρίβοντας ἐν τοῖς περὶ τὰς ἀκτὰς διακειμένοις πολιχνίοις καὶ ἱεροῖς τεμένεσι, μή τινος ἐκεῖθεν αὐτοὺς ἀπελαύνοντος, ἔντρομοι διὰ παντὸς ὄντες, διηποροῦντο ὅ τι δεῖ διαπράξασθαι· ταῦτα ὁρῶν ὁ βασιλεύς, πολλαῖς κυμαινόμενος λογισμοῖς καὶ πολλὰς λαμβάνων μεταβολὰς καὶ τροπάς, τοῦ κρατήσαντος γίνεται λογισμοῦ καί, ὡς ἐνόν, ἔργου εἴχετο. ἀφ' ὧν οὖν ἐξ ὑπογυίου συνειλοχὼς ἦν Ῥωμαίων ἀνδρῶν καί τινων ἀπὸ τοῦ Χώματος ὡρμημένων δεκάρχας προχειρισάμενος καὶ ἐν D ἀκατίοις ἐνθέμενος, τοὺς μὲν ψιλοὺς τόξα καὶ ἀσπίδα φέροντας μόνον, τοὺς δὲ καὶ ἄλλως θωρήξασθαι εἰδότας κόρυσί τε

4. οὗ γὰρ G. 5. σουλτανίκη G. 6. πρὸς νομὰς G. τά om. G. 7. Θινίαν C. 9. δὲ καὶ ἐπιδρομὰς G. ἀφαιρούμενοι C. 10. ἐπισχυροῦντας P, ἐπιχειροῦντας CG. 11. θαλάσσης C. 13. αὐτοῖς G. ἔντρομοι — διηποροῦντο om. G. 16. κρατίστου G. 21. εἰωθότας coni. Diesterwegius. vid. annotat.

nentibus resisteret. cumque, ut supra narravimus, Turcas videret impiissimos circa Propontidem commorari, Solyma, qui Orienti toti imperitabat, Nicaeae habitante (ubi etiam sultanicium erat, quod nos palatium diceremus,) et praedatores quotidie immittente et omnes circa Bithyniam Thyniamque regiones depraedante, atque etiam usque ad ipsum Bosporum, quae Damalis nunc vocatur, incursiones illos facere praedamque multam agere et tantum non ipsum traiicere mare: quos cum Byzantii sine ullo metu in oppidulis circa littora sitis et in sacris templis morari animadverterent, nemine inde eos pellente, terrore indesinenter perculsi, quid consilii caperent non habebant; — haec igitur imperator videns, postquam multa cum animo agitavit sententiamque saepe mutavit, tandem consilium, quod optimum videbatur, secutus, quam poterat celeriter rem aggressus est. ex iis igitur, quos subito conscripserat Romanos et Chomate oriundos, decuriones delegit navibusque imposuit, alios leviter armatos arcu duntaxat et clypeo, alios etiam galeis clypeisque et ha-

καὶ ἀσπίσι καὶ δόρυσι, νύξι περὶ τὰς ἀκτὰς καὶ τοὺς αἰγιαλοὺς ἐρχομένους λάθρα ἐξάλλεσθαί τε καὶ τοῖς ἀθέοις εἰσπίπτειν ἐκέλευσεν, εἴγε κατανοοῖεν μὴ πολλαπλοῦς τῆς αὐτῶν ποσότητος ἐκείνους εἶναι, καὶ εὐθὺς παλινοστεῖν ἕκαστος ὅθεν ἐξῄει. ἀπειροπολέμους δὲ πάντῃ γινώσκων αὐτοὺς, ἐπέσκηπτεν ἀψοφητὶ τὴν εἰρεσίαν τοῖς ἐρέταις παραγγέλλειν ποιεῖσθαι, φυλαττομένους ἅμα καὶ ἀπὸ τῶν ἐν ταῖς ῥωγμαῖς τῶν πετρῶν λοχώντων βαρβάρων. τούτων γοῦν ἐπί τισιν ἡμέραις οὕτω τελουμένων, κατ' ὀλίγων τῶν περὶ τὴν θάλατταν χωρίων P. 96
ἀνωτέρω ἐχώρουν οἱ βάρβαροι. ὅπερ ὁ αὐτοκράτωρ μεμαθηκὼς, τοῖς ἀποσταλεῖσι παρεκελεύετο καταλαβεῖν, ἅπερ ἐκεῖνοι πρώην κατεῖχον πολίχνια καὶ οἰκοδομήματα, καὶ εἴσω τούτων διανυκτερεύειν· περὶ δὲ τὰς ἡλιακὰς αὐγὰς, ὁπηνίκα χορταγωγίας χάριν ἤ τινος καὶ ἑτέρας χρείας τοῖς ὑπεναντίοις ξυμβαίνει ἐξιέναι, ἀθρόον αὐτοῖς ἐπιτίθεσθαι, καὶ εἴ τι κατ' αὐτῶν δυνηθεῖεν, ἀρκεῖσθαι τούτῳ, κἂν μικρὸν ᾖ, καὶ μὴ B
πλεῖον ζητοῦντας παρακινδυνεύειν καὶ θάρσος τοῖς ἐχθροῖς ἐντεῦθεν διδόναι, ἀλλ' εὐθὺς ὑποστρέφειν καὶ εἴσω τῶν φρουρίων γίνεσθαι. οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ πορρωτέρω αὖθις οἱ βάρβαροι ἐγίνοντο, ὥστε ἀποθαρρῆσαι τὸν αὐτοκράτορα τοῖς τέως πεζοῖς καὶ ἱππάσασθαι κελεῦσαι καὶ δόρυ κινεῖν καὶ πολλοὺς διαύλους ἱππασίας κατὰ τῶν ἐναντίων ποιεῖν, οὐκέτι V. 80

2. τοῖς add. G. 3. κατανοῖεν P, recte G. 8. ῥογμαῖς C, voluit ῥωχμαῖς. 9. lege κατ' ὀλίγον. 10. ἀνωτέρων C. 15. συμβαίνει CG. 20. fortasse ἀποθαρρήσαντα.

stia instrui solitos; eosque noctu ad littora accedere, clam de navibus exsilire barbarosque invadere iussit, si quando illos non multo maiore, quam ipsi, numero esse cernerent, et statim regredi, unde quisque exisset. verum cum eos rei bellicae plane imperitos novisset, praecepit, ut nautas quam minimo strepitu remigare iuberent, simulque ab insidiis barbarorum in rupibus subsidentium sibi caverent. id ubi per dies aliquot ita factum esset, paulatim barbari ex maritimis locis in interiora recedebant. quo imperator cognito, iis, quos miserat, praecepit, oppidula et aedificia, quae illi ante obtinuissent, occuparent in iisque pernoctarent; primo autem mane, quo tempore commeatus vel alius rei causa prodire hostes solerent, cuncti aggrederentur, et si quid profecissent, eo, licet exiguo, contenti essent, nec, dum maiora concupiscerent, in periculum inciderent et hostibus animos redderent; sed illico cederent atque in arces sese reciperent. non ita multo post etiam ulterius barbari recesserunt; qua re confirmatus imperator animo, suos huc usque pedites etiam equitare iussit et hastam vibrare, saepiusque repetitis incur-

ἐν νυκτὶ οὐδὲ λάθρα ἐμπίπτουσιν, ἀλλὰ καὶ ἡμέρας ἄρτι αὐγαζούσης. καὶ οἱ τέως δεκάρχαι πεντηκοντάρχαι γεγόνασι, C καὶ οἱ πεζοὶ οἱ καὶ νυκτὸς μετὰ δέους πολλοῦ τοῖς ἐναντίοις μαχόμενοι, ἑωθινοὶ αὐτοῖς ἐπετίθεντο, καὶ ἡλίου ἐς μεσουράνημα φθάνοντος μετὰ θάρσους λαμπροὺς ξυνίστων πολέμους. οὕτως οὖν τοῖς μὲν εἰς τοὐπίσω προὐχώρει τὰ πράγματα, τῇ δὲ Ῥωμαίων ἀρχῇ ἀναλάμπειν κατὰ μικρὸν τὸν ὑποτυφόμενον τῆς ἐξουσίας σπινθῆρα συνέβαινεν. οὐ γὰρ ἀπὸ τῆς Βοσπόρου μόνον καὶ τῶν τῇ θαλάττῃ παρακειμένων χωρίων ὁ Κομνηνὸς αὐτοὺς πόρρω που μάλα ἀπήλασεν, ἀλλὰ καὶ τῶν περὶ Βιθυνίαν καὶ Θυνίαν ἅπασαν καὶ τῶν τῆς Νικο- D μήδους ὁρίων ἐκδιώξας, τὰ περὶ εἰρήνην ἀνέπεισε τὸν σουλτάνον μάλα θερμῶς ἐξαιτεῖσθαι. ὡς δὲ τὴν ἀκατάσχετον τοῦ Ῥομπέρτου ὁρμὴν ἐκ πολλῶν ἐβεβαιοῦτο, καὶ ὡς ἀπειροπληθεῖς συναγηοχὼς δυνάμεις ἤδη πρὸς τὴν ἠϊόνα τῆς Λογγιβαρδίας ἐγγίζειν ἐπείγεται, ἄσμενος τὸν περὶ εἰρήνης δέχεται λόγον. εἰ γὰρ μηδὲ τὸν Ἡρακλέα πρὸς δύο μάχεσθαι ἐνῆν, ὡς ὁ παροιμιώδης αἰνίττεται λόγος, πολλῷ μᾶλλον νέον ἀρχηγὸν νεωστὶ διεφθορυίας ἐπιδραξάμενον ἤδη ἀρχῆς, κατὰ μικρὸν μὲν πρὸ πολλοῦ φθινούσης, εἰς τοὔσχατον δὲ ἤδη ἐληλακυίας, μὴ δυνάμεις, μὴ χρήματα κεκτημένον· προπέποτο γὰρ ἅπαντα ἐν μηδενὶ χρησίμῳ καταναλωθέντα. ἔνθεν

4. ἐς om. G. μεσουράνημα P, μεσουράνισμα CG. 5. συνίστων C, ξυνίστων PG. 7. τὸν G, τὸ P. 11. Θινίαν C. 20. δ' G.

sionibus hostem lacessere; nec id amplius noctu et furtim, sed ipsa iam luce. ac decuriones qui hucusque erant, quinquaginta militum ductores fiebant, et pedites, qui noctu non sine magno pavore cum hostibus pugnaverant, mane adorti, ubi sol medium obtinuit coelum, fortiter cum iis acerrimeque dimicabant. sic illorum res retro se tulit, Romano autem imperio, ut sopita potentiae scintilla paullatim exardesceret, contigit. non enim a Bosporo solum et maritimis regionibus procul eos depulit Alexius, verum etiam Bithynia Thyniaque universa atque Nicomediae finibus cum Turcas eiecisset, sultanum eo adegit, ut pacem instanter peteret. iam cum de vehementissimo Roberti impetu a multis certior factus esset eumque, immensis copiis contractis, iam in Longibardiae littus contendere, libenter pacis conditiones accepit. nam ne Hercules quidem adversus duos, ut in proverbio est, certare potuit, nedum iuvenis imperator, qui vix susceperat imperium rei publicae, quae cum paullatim pridem imminuta esset, in ultimo iam discrimine erat, et copiis et pecuniis deficientibus: absumpta enim omnia erant sine ulla utilitate publica. id

τοι καὶ τοὺς Τούρκους διὰ παντοίας μεθόδου τῆς τε Δαμάλεως καὶ τῶν περὶ αὐτὴν παραλίων τόπων ἐκδιώξας, ἅμα δὲ καὶ δώροις δεξιωσάμενος, ἐξεβιάζετο εἰς εἰρηνικὰς ἀπονεῦσαι σπονδάς, καὶ ὅρον αὐτοῖς τὸν καλούμενον Δράκοντα ποταμὸν δεδωκώς, μὴ ὑπερβαίνειν ὅλως αὐτοῦ, μήτε ποτὲ πρὸς τὰ ὅρια Βιθυνῶν ἐξορμᾷν ἔπεισεν. P. 97

12. Οὕτω μὲν οὖν τὰ περὶ τὴν ἕω κατηύναστο. καταλαβὼν δὲ τὸ Δυρράχιον ὁ Παλαιολόγος, ταχυδρόμον ἀποστείλας τὰ περὶ τοῦ Μονομαχάτου ἐδήλου, ὅτι τὰ περὶ τὴν ἐκείνου ἄφιξιν μεμαθηκώς, σπουδαίως πρός τε τὸν Βοδῖνον καὶ τὸν Μιχαηλᾶν προσεληλύθει. ἐδεδίει γὰρ διὰ τὸ μὴ ὑπακοῦσαι, B ἀλλὰ κενὸν ἀποπέμψαι, ὃν πρὸ τοῦ τὴν μελετωμένην ἀποστασίαν εἰς φῶς ἀγαγεῖν ὁ βασιλεὺς Ἀλέξιος πρὸς αὐτὸν ἀποπεπόμφει γραμματοκομιστήν, χρήματα δι' αὐτοῦ αἰτούμενος, κἂν ὁ βασιλεὺς μηδὲν κατ' αὐτοῦ ἐναντίον διενοεῖτο, εἰ μὴ τὴν τῆς ἀρχῆς παράλυσιν διὰ τὴν ἤδη ῥηθεῖσαν αἰτίαν. διαγνοὺς δὲ τὰ κατὰ τὸν Μονομαχάτον ὁ αὐτοκράτωρ, χρυσόβουλλον λόγον πρὸς αὐτὸν ἐξαποστέλλει, πᾶσαν ἀφροντισίαν αὐτῷ παρέχων· ὃν ἐν χερσὶν ἐκεῖνος λαβὼν παλινδρομεῖ πρὸς τὰ βασίλεια. ὁ δὲ Ῥομπέρτος εἰς Ὑδροῦντα παραγενόμενος C καὶ τὴν ἅπασαν αὐτοῦ ἐξουσίαν καὶ αὐτῆς δὴ τῆς Λογγιβαρδίας τῷ υἱῷ αὐτοῦ Ῥογέρῃ ἀναθέμενος, ἐκεῖθεν ἐξελθών, τὸν

2. δὲ add. A. 3. ἐξεβιάζετο CG, ἐξεβιάσατο P, κατηνάγκασε A. 5. αὐτοῦ ὅλως A. 7. οὖν om. A. παρὰ A. ἑώαν A. 10. σπουδαῖος G. Βοδῦνον CG. καὶ om. P. 17. χρυσοβούλλου G. 18. ἀφροντησίαν G. 20. Ἱδροῦντα CA. 21. τῆς om. G. Λογγοβαρδίας P. 22. ἐκεῖθεν : πέραν A.

eum compulit, ut postquam Turcas variis modis Damali et locis circa maritimis eiecit, eosdemque insuper largitione devinxit, propensiore ad pacem animo esset. terminum iis Dracontem quem appellant fluvium concessit, quem ne traiicerent, neve in Bithyniorum fines irrumperent, pactus est.

12. Ita res Orientis compositae sunt. at Palaeologus ubi Dyrrhachium pervenit, cursore misso, Alexio significat, Monomachatum, audita Palaeologi profectione, celeriter ad Bodinum et Michaelam se recepisse. nam in metu erat, propterea quod non obtemperaverat, sed, quem ante factam rebellionem imperator Alexius cum litteris miserat nuntium pecuniam rogatum, vacuum dimiserat. quanquam nihil in eum gravius imperator decreverat, nisi quod magistratum erat abrogaturus propter causam, quam dixi. cum haec de Monomachato audivisset imperator, bullam ad ipsum auream misit, qua plenam ipsi securitatem dedit. qua ille accepta, reversus in aulam est. sed Robertus, postquam Hydruntem pervenit, et omnem suam ditio-

λιμένα τοῦ Βρεντησίου κατέλαβε, κἀκεῖσε τὴν τοῦ Παλαιολόγου εἰς τὸ Δυρράχιον ἔλευσιν μεμαθηκώς, παραχρῆμα ἐν
V. 81 τοῖς μείζοσι τῶν πλοίων πύργους δειμάμενος διὰ ξύλων, διὰ βύρσης τούτους περιέστειλε. καὶ πάντα τὰ πρὸς τειχομαχίαν ἐπιτήδεια ἐν ταῖς ναυσὶν εἰσαγαγὼν σπουδαίως, εἴς τε τοὺς δρόμωνας ἵππους τε καὶ ἐνόπλους ἱππέας εἰσελάσας, καὶ παν-
D ταχόθεν τὰ πρὸς πόλεμον ὀξέως μάλα ἐξαρτήσας, διαπερᾶν ἠπείγετο. ἐσκόπει γάρ, ὁπηνίκα τὸ Δυρράχιον καταλάβῃ, περιζῶσαι τοῦτο διὰ τῶν ἑλεπόλεων ἀπό τε θαλάττης καὶ ἠπείρου, ἵν' ἅμα μὲν καταπλήξῃ τοὺς ἐντός, ἅμα δὲ καὶ πανταχόθεν περιστοιχίσας αὐτούς, ἐξ ἐφόδου τὴν πόλιν αἱρήσεται. θόρυβος τοίνυν ἐντεῦθεν τούς τε νησιώτας καὶ τοὺς περὶ τὴν ἠιόνα τοῦ Δυρραχίου ταῦτα μεμαθηκότας κατέσχε πολύς. ἐπεὶ δὲ κατὰ γνώμην αὐτῷ πάντα ἤδη τετέλεσται, λύσας τὰ πρυμνήσια, τούς τε δρόμωνας καὶ τὰς τριήρεις νῆας καὶ μονήρεις κατὰ τὴν τῶν ναυτικῶν ἐμπειρίαν εἰς πο-
P. 98 λέμου σχῆμα διατυπώσας, σὺν εὐταξίᾳ τοῦ πλοὸς ἀπεπειρᾶτο. οὐρίου δὲ τυχὼν πνεύματος, τὴν κατὰ τὸν Αὐλῶνα περαίαν κατέλαβε, καὶ τὴν ἠιόνα παραπλέων, ἀπῆλθε μέχρι Βοθρεντοῦ. κἀκεῖσε ἑνωθεὶς μετὰ τοῦ υἱοῦ αὐτοῦ Βαϊμούντου τοῦ προφθάσαντος περᾶσαι καὶ τὸν Αὐλῶνα ἐξ ἐφό-

1. Βρεντησίου GA, Βροντησίου C, Βρεντεσίου P. 7. lege ἐξαρτύσας. 10. δὲ om. G. 11. περιστοιχίσας C, περιστοιχήσας PG. 14. γνώμην : νοῦν A. τὰ πάντα A. ἤδη om. PG, add. CA. 17. ἀταξίᾳ CG. 18. δὲ : τε A. 19. ἠόνα A. διαπλέων G. ἀπῆλθε μέχρι A, ἀπῆλθεν μέχρι C, ἀπῆλθεν ἐν μέχρι PG. 20. βοθρωτοῦ A. βαϊμούνδου GA hic et infra. 21. τοῦ add. G.

nem atque adeo ipsam Longibardiam Rogerio filio commisit, inde solvens Brundusi portum occupavit; ubi audito Palaeologum Dyrrhachium advenisse, in maioribus statim navigiis turres aedificari ligneas iussit, quas corio contexit. omnibusque, quibus ad oppugnandum opus est, in naves diligenter comportatis, equis equitibusque armatis in dromones impositis, rebusque ceteris ad bellum undecunque summa industria paratis, traiicere properabat. in animo enim erat, si Dyrrhachium pervenisset, machinis urbem terra marique circumdare, ut perculsis qui intus essent et omni ex parte inclusis, primo impetu urbem caperet. hinc et insulani et qui Dyrrhachii litus incolebant, cum nuntium illum accepissent, in summa trepidatione erant. Robertus, omnibus iam ex sententia confectis, ancoras solvit, ac dromonibus et triremibus unifemibusque rerum nauticarum usu in belli speciem ornatis, ordine expeditionem ingressus est. ventum nactus secundum, adversae ad Aulonem ripae appulit, indeque oram legens Buthrotum

δου κατασχεῖν, διχῇ τὸ ἅπαν διελὼν στράτευμα, τὸ μὲν αὐτὸς κατεῖχε, διὰ θαλάττης τὸν ἀπόπλουν ὡς πρὸς τὸ Δυρράχιον ἐθέλων ποιήσασθαι, τοῦ δὲ τὸν Βαϊμοῦντον ἄρχειν ἐπέτρεψε, διὰ ξηρᾶς μέλλοντα πρὸς τὸ Δυρράχιον ἀθεῦ- B σαι. καὶ δὴ τὴν Κορυφὼ διελθὼν καὶ πρὸς τὸ Δυρράχιον ἀποκλίνας, κατὰ τὸ ἀκρωτήριον Γλῶσσαν καλούμενον μεγίστῳ κλύδωνι αἴφνης περιπεπτώκει. νιφετὸς γὰρ πολὺς καὶ ἄνεμοι τῶν ὀρῶν κινηθέντες τὴν θάλατταν σφοδρῶς συνετάραττον. κἀντεῦθεν ἠγείρετό τε τὰ κύματα καὶ ἐπωρύετο, αἵ τε κῶπαι τῶν προσκώπων καθημένων ἐθραύοντο, τά θ' ἱστία διαβιβρώσκοντες ἦσαν οἱ ἄνεμοι, αἱ δὲ κεραῖαι συνθλώμεναι κατὰ τοῦ καταστρώματος ἔπιπτον, καὶ αὔτανδρα ἤδη τὰ σκάφη κατεποντίζοντο, κἂν θέρους ὥρα ἦν, τοῦ ἡλίου τὸν καρκῖνον C ἤδη παρελθόντος καὶ πρὸς τὸν λέοντα ἐπειγομένου, ὁπότε καὶ τὴν τοῦ κυνὸς ἐπιτολὴν εἶναί φασιν. ἐταράττοντο οὖν ἅπαντες ἐξαπορούμενοι, καὶ οὐκ εἶχον ὅ τι καὶ δράσωσιν, πολεμίοις τοιούτοις ἀντικαθίστασθαι μὴ δυνάμενοι. θροῦς δὲ ἐπῆρτο πολύς, ᾤμωζον, ἐποτνιῶντο, ἐθεοκλύτουν θεὸν σωτῆρα ἐπικαλούμενοι, καὶ τὴν ἤπειρον θεάσασθαι ἐπηύχοντο. ὁ δὲ κλύδων τέως οὐκ ἐνεδίδου, μηνίοντος ὥσπερ τοῦ θεοῦ πρὸς τὸ τοῦ Ῥομπέρτου ἀκάθεκτον καὶ ὑπέρογκον φρύαγμα καὶ τὸ D

4. ἐπέτρεψε A, ἐπέτρεψεν PG. 5. δὴ om. G. 10. καθημένων A, καθιέντων PG. τὰ δὲ G. 11. οἱ om. G. 12. καταστρώματος : στρατεύματος A. 15. γοῦν A. 17. δ' P, δὲ GA. 18. ᾤμοζον PG, recte A. ἐθεοκλύτουν C, ἐθεοκλήτουν PGA. θεὸν καὶ σωτῆρα G. 19. ηὔχοντο A.

pervenit. ubi adiuncto sibi Boëmundo filio, qui prius traiecerat et Aulonem primo impetu ceperat, in duas partes universas copias divisit, quarum alteram ipse duxit, mari Dyrrhachium navigaturus, alteri filium Boëmundum praefecit, qui terrestri itinere Dyrrhachium proficisceretur. iamque Corcyram praetervectus ad Dyrrhachium tenebat, cum circa promontorium, quod Glossa dicitur, procella eum maxima oppressit. tempestas enim nivalis et venti ex montibus perflantes mare vehementer turbabant. dum fluctus cientur et immane sonant, remi franguntur, cessante remige; discerpuntur vela vi ventorum; antennae fractae in foros cadunt, et cum ipsis hominibus iam navigia merguntur; quanquam aestivum tempus erat, sole post cancrum superatum ad leonem festinante, quod caniculae exorientis tempus esse aiunt. gravis igitur perturbatio invasit omnes, nec quid agerent habebant; nam talibus hostibus resistere non poterant. clamorem quisque tollere, lamentari, miseros se appellare, deum invocare salvatorem, et ut terram conspicerent, vota facere. nec tamen remisit tum tempestas, irascente quasi deo propter impotentem et immodicam

τέλος ἐκ πρώτης ἀφετηρίας οὐκ εὐτυχὲς παραδεικνύοντος ἤδη. τὰ μὲν οὖν τῶν πλοίων σὺν αὐτοῖς πλωτῆρσι κατεποντίσθη, τὰ δὲ ταῖς ἀκταῖς προσαραχθέντα συνεθλάσθη. τῶν δὲ περιστελλουσῶν τοὺς πύργους βυρσῶν ὑπὸ τοῦ ὑετοῦ χαλαρωτέρων γεγονυιῶν, οἵ τε ἧλοι τῶν οἰκείων τόπων ἐξέστησαν, V. 82 καὶ τὸ ἐντεῦθεν αἱ βύρσαι βάρος εἰληφυῖαι τοὺς ξυλίνους ἐκείνους πύργους ταχὺ περιέτρεψαν, καὶ καταρραγέντες τὰς ναῦς κατέδυσαν. τὸ δέ γε σκάφος, ἐν ᾧ ὁ Ῥομπέρτος ἐνῆν, ἡμίθραυστον γεγονὸς μόγις διεσώθη· διεσώθησαν δὲ καί τινες τῶν ὁλκάδων σὺν τοῖς πλωτῆρσι παραδόξως. πολλοὺς μὲν P. 99 οὖν ἡ θάλαττα ἀποπτύσασα, οὐκ ὀλίγα δὲ βαλάντια καὶ ἄλλ' ἄττα ἐξ ὧν τὸ ναυτικὸν τοῦ Ῥομπέρτου συνεπεφέρετο, περὶ τὴν ψάμμον κατέστρωσε. τοὺς μέντοι νεκροὺς οἱ σωθέντες περιστέλλοντες ἔθαπτον, κἀντεῦθεν πολλῆς τῆς ἐκ τούτων δυσωδίας ἐμπίμπλαντο. οὐ γὰρ ἐνῆν αὐτοῖς τοσούτους ῥᾳδίως ἐνσοριάσαι. τῶν οὖν ἐδωδίμων ἁπάντων ἀφανισθέντων, τάχα ἂν καὶ ὑπὸ λιμοῦ διεφθάρησαν οἱ τέως σωθέντες, εἰ μὴ τὰ λήϊα πάντα καὶ οἱ ἀγροὶ καὶ οἱ κῆποι τοῖς καρποῖς ἔβριθον. συνετὰ μὲν οὖν ταῦτα ἦσαν πᾶσι τοῖς φρονοῦσιν ὀρθῶς, τὸν δὲ Ῥομπέρ- B τον οὐδὲν τῶν γεγονότων ἐφόβει, ἀκαταπτοήτως ἔχοντα καὶ

4. ἀπὸ GA. 5. τόπων : ἁρμονιῶν A. 8. γε om. A. 9. διεσώθησαν A, ἐσώθησαν PG. 11. οὖν om. A. θάλαττα C, θάλασσα PGA. ἀποπτύουσα CG, ἀποπτύσασα PA. ἄλλα τὰ libri, correxi. 12. κατέστρωσε περὶ τὴν ψάμμον G. 13. περιστείλαντες ἔθαψαν A. 15. ἐπίπλαντο A. lege ἐνεπίμπλαντο. ἐνσωριάσαι PG, recte CA. 16. ἐδοδίμων P. πάντων A. τάχ' ἂν A. καὶ om. G. 19. πᾶσι add. CA.

Roberti insolentiam, et exitum ipso principio non felicem fore iam significante. navium aliae cum ipsis vectoribus mari hauriebantur, aliae littori illisae frangebantur. coriis autem, quae turres tegebant, magis magisque imbre laxatis, clavi locis suis excidebant, et coria, iam pondus nacta, facile evertebant ligneas istas turres; quarum ruina naves ipsae submersae sunt. navigium, quo Robertus vehebatur, semifractum vix servatum est; servatae quoque sunt onerariae aliquot naves cum vectoribus praeter exspectationem. multos mare eiecit, nec pauca marsupia et alia quaedam de iis, quae classiarii secum attulerant, in littore sparsit. mortuos rite sepelierunt, qui servati erant; quod dum faciunt, multo cadaverum foetore implebantur; neque enim celeriter tanto numero humari poterant. cum autem commeatus omnis mari absumtus esset, non multum abfuit, quin etiam superstites fame perirent, nisi segetes omnes et agri et horti frugibus onusti fuissent. hoc infortunium quid significaret, facile omnes, qui saperent, intelligebant; at Robertum nihil eorum, quae acciderant,

εἰς τοσοῦτον, οἶμαι, τὴν ζωὴν ἑαυτῷ διαρκέσαι ἐπευχόμενον, ἐφ' ὅσον πρὸς οὓς ἐθέλει μάχεσθαι δύναιτο ἄν. ἔνθεν τοι καὶ τοῦ προκειμένου σκοποῦ τῶν γεγονότων οὐδὲν ἀπεῖρξεν αὐτόν. ἀλλὰ μετὰ τῶν περισωθέντων (ἦσαν γάρ τινες οἱ θεοῦ ἀμάχῳ δυνάμει τοῦ κινδύνου ῥυσθέντες) ἑβδόμην ἡμέραν εἰς τὴν Γλαβινίτζαν ἐγκαρτερήσας, ἐφ' ᾧ αὐτὸν ἀνακτήσασθαι, διαναπαῦσαι δὲ καὶ τοὺς ἐκ τοῦ κλύδωνος τῆς θαλάττης διασωθέντας, φθάσαι δὲ καὶ τοὺς εἰς τὸ Βρεντήσιον καταλειφθέντας καὶ μὴν καὶ τοὺς ἄλλοθεν προσδοκωμένους C διὰ στόλου καταλαβεῖν, τούς τε πρὸ μικροῦ φθάσαντας διὰ τῆς ἠπείρου διαπεραιωθῆναι ἱππέας ἐνόπλους καὶ πεζοὺς καὶ τὸ ψιλὸν τῆς αὐτοῦ δυνάμεως, ἅπαντας συναγηοχὼς διά τε τῆς ξηρᾶς καὶ τῆς θαλάσσης, τὸ Ἰλλυρικὸν πεδίον κατέλαβε μετὰ πασῶν τῶν αὐτοῦ δυνάμεων. συνῆν δὲ αὐτῷ καὶ ὁ ταῦτά μοι διηγούμενος Λατῖνος, ὡς ἔλεγε, πρέσβυς τοῦ ἐπισκόπου Βαρέως πρὸς τὸν Ῥομπέρτον ἀποσταλείς, καὶ ὡς διεβεβαιοῦτο, σὺν τῷ Ῥομπέρτῳ τὴν τοιαύτην διέτριβε πεδιάδα. καὶ δὴ ἐντὸς τῶν ἐρειπωθέντων τειχῶν D τῆς πάλαι καλουμένης πόλεως Ἐπιδάμνου καλύβας ἐπήγνυντο, ἰλαδὸν τὰς δυνάμεις κατατιθέμενοι. ἐν ᾗ βασιλεύς ποτε Ἠπειρώτης Πύρρος Ταραντίνοις ἑνωθεὶς Ῥωμαίοις ἐν Ἀπουλίᾳ καρτερὸν τὸν πόλεμον συνεστήσατο· καὶ ἀνδροκτασίας

3. τῶν γεγονότων om. P. 4. περισωθέντων A, σωθέντων PG. 18. ἐριπωθέντων A. 21. Ταραντῖνος C. 22. τὸν add. A.

perterrefaciebat, cum impavido esset animo et eatenus, opinor, vitam sibi superesse precaretur, ut, contra quos vellet, pugnare posset. itaque a consilio nihil eorum, quae acciderant, eum deterrebat; sed cum iis, qui supererant, (nonnulla enim pars erat divina potentia periculo erepta,) Glabinitzae substitit dies septem, ut se suosque, qui ex tempestate elapsi erant, quiete reficeret; praeterea ut et ii, quos Brundusii reliquerat et quos aliunde classe adventuros exspectabat, et qui paulo ante terrestri itinere Buthroto profecti erant equites armati ac pedites levisque armaturae milites, adventarent. quibus collectis terra marique omnibus, Illyricum agrum cum universa copiarum vi occupavit. una cum eo erat quoque, qui haec mihi narravit, Latinus, episcopi Barensis, ut aiebat, ad Robertum legatus, qui se apud Robertum per expeditionis illius tempus commoratum affirmavit. atque intra diruta moenia urbis, quae Epidamnus olim dicebatur, tabernacula collocarunt, copiis catervatim dispositis. in qua urbe qui regnavit quondam Pyrrhus Epirota, ubi societatem cum Tarentinis iniit, grave contra Romanos in Apulia bellum suscepit. cumque magna

ἐντεῦθεν πολλῆς γεγονυίας, ὡς ἄρδην ἅπαντας ξίφους παρανάλωμα γεγονέναι, ἄοικος πάντῃ καταλέλειπται. ἐν ὑστέροις δὲ χρόνοις, ὡς Ἕλληνές φασι καὶ αὐτὰ δὴ τὰ ἐν τῇ πόλει γλυπτὰ γράμματα μαρτυροῦσιν, ὑπ' Ἀμφίονος καὶ Ζήθου
P. 100 ἀνοικοδομηθεῖσα εἰς ὃ νῦν ὁρᾶται σχῆμα, αὐτίκα καὶ τὴν κλῆσιν μεταμείψασα Δυρράχιον προσηγόρευται. τοσαῦτα μὲν οὖν παριστορείσθω καὶ περὶ ταύτης τῆς πόλεως· καὶ ἡμῖν τὰ τοῦ τρίτου λόγου ἐνταυθοῖ συμπεπεράνθω, τὰ δ' ἐφεξῆς ὁ μετὰ τοῦτον εὐθὺς ἱστορήσειεν.

1. ἐντεῦθεν A, ἐκεῖθεν PG. ἅπαντας ἄρδην A. 4. ἐπ' CG. 6. παραμείψασα G. προσαγορεύεται G. 7. παριστορείσθω C, περιϊστορείσθω PG, προσιστορείσθω A. 8. τοῦ om. G. ἐνταῦθα G. συμπεράνθω G.

caede facta, ad unum omnes periissent, urbs vasta plane mansit. posterioribus autem temporibus, ut Graeci narrant atque ipsae etiam litterae urbis monumentis insculptae testantur, ab Amphione et Zetho in eam, qua hodie visitur, restituta formam, mutato iam nomine, Dyrrhachium appellata est. hactenus de hac urbe in transcursu, et finem hic faciamus libri tertii; reliqua sequens iam exponet.

ΑΛΕΞΙΑΣ Δ.

ALEXIADIS LIBER IV.

ARGUMENTUM.

Dyrrhachium a Roberto terra marique obsidetur. Georgius Palaeologus per litteras Alexium edocet de urbis periculo (1). *is praeter Turcas in auxilium Venetos arcessit. quorum classem, prope Dyrrhachium appulsam, Boëmundus adoritur damno suo* (2). *nihil intermissa per hiemem obsidione, Roberti exercitus insequente anno fame morboque graviter affligitur* (3). *imperator Cpoli in Robertum movet, Isaacio fratre ad tutelam urbis relicto. in itinere de rebus ad Dyrrhachium gestis certior fit* (4). *ubi advenit, Palaeologum in castra evocat. an acie decertandum sit, consultant* (5). *interim Robertus fert pacis conditiones. quibus repudiatis, ne sui mox proeliaturi spem in fuga ponant, naves demergi iubet* (6). *utrimque acies instruitur* (7). *Romani nobilissimi in proelio occumbunt; Alexius ipse vulneratus fugae se mandat* (8). *mirabiliter se ab insequentibus hostibus expedit* (9). *bidui itinere Achridem pervenit, ubi Dyrrhachii tuendi rationem init* (10).

1. Ἡ μὲν οὖν ἤπειρος τὸν Ῥομπέρτον εἶχεν ἐν αὐτῇ αὐ- P. 102
λιζόμενον, ἑπτὰ καὶ δεκάτην ἄγοντος τοῦ Ἰουνίου μηνὸς τῆς V. 83

ΑΛΕΞΙΑΔΟΣ βιβλίον δ' GA. 2. ἔχοντες G.

1. In terra igitur continenti Robertus castra metatus est, die decimo septimo mensis Iunii indictione quarta, cum equestribus pe-

τετάρτης ἐπινεμήσεως, μεθ' ἱππέων καὶ πεζῶν δυνάμεων ἀριθμὸν ὑπερβαινουσῶν, καὶ φοβερὸν ἰδεῖν ἀπό τε τοῦ σχήματος ἀπό τε τῆς στρατηγικῆς καταστάσεως· ἤδη γὰρ ἁπανταχόθεν
P. 103 αὖθις συνήθροιστο στράτευμα· ἐν δὲ τῇ θαλάττῃ παντοῖον εἶδος πλοίων μεθ' ἑτέρων στρατιωτῶν, ἐμπειρίαν πολλὴν τοῦ διὰ θαλάττης πολέμου ἐχόντων, τὸ ναυτικὸν αὐτοῦ διεπλωΐζετο. περιστοιχισθέντες οὖν οἱ τοῦ Δυρραχίου ἐντὸς ἐξ ἑκατέρου μέρους, θαλάττης φημὶ καὶ ἠπείρου, καὶ ἀπειροπληθεῖς τὰς τοῦ Ῥομπέρτου ὁρῶντες δυνάμεις καὶ πάντα λόγον ὑπερβαινούσας, μεγίστῳ δέει συνείχοντο. ὁ δέ γε Παλαιολόγος Γεώργιος γενναῖος ὢν ἀνὴρ καὶ στρατηγικὴν
B πᾶσαν ἐξησκημένος, μυρίους δὲ πολέμους ἀγωνισάμενος κατὰ τὴν ἕω καὶ νικητὴς ἀναδειχθείς, ἀκατάπληκτος ὢν τὴν πόλιν κατωχύρου, τάς τε ἐπάλξεις κατασκευάζων κατὰ τὰς ὑποθημοσύνας τοῦ αὐτοκράτορος, καὶ λιθοβόλοις τὰ τείχη καταπυκνῶν μηχανήμασι, τούς τε ἀναπεπτωκότας τῶν στρατιωτῶν ἀνακτώμενος, καὶ σκοποὺς δι' ὅλου καταστήσας τοῦ τείχους. καὶ αὐτὸς δὴ περιπολεύων διὰ πάσης νυκτὸς καὶ ἡμέρας ἐπαγρυπνεῖν τοὺς φυλάσσοντας παρεκελεύετο. τηνικαῦτα δὲ καὶ διὰ γραμμάτων τὴν τοῦ Ῥομπέρτου ἔφοδον ἐδήλου τῷ αὐτο-
C κράτορι, καὶ ὅτι τὴν πόλιν πολιορκήσων τὸ Δυρράχιον παρεγένετο. οἱ δὲ ἐντὸς ὁρῶντες τὰς ἔξωθεν ἑλεπόλεις καὶ τὸν

2. an φοβερῶν? ἰδὼν G. 3. καὶ ἀπὸ τῆς G. ; γὰρ om. G. 5. παντοίων G. 6. θαλάσσης CA. 7. διεπλωΐζετο C, διεπλοΐζετο PG. vid. annotat. περιστοιχίσαντες C. 12. κατὰ : περὶ C. 13. ἀναδεχθεὶς G. 14. κατὰ : ἣν κατὰ A. 18. ἐναγρυπνεῖν G.

destribusque copiis innumeris, terribili specie propter habitum ordinandique rationem; iam enim undique exercitus rursus convenerat; a mari vero omnis generis navigia cum aliis militibus, qui multum maritimi belli usum habebant, navales eius copias vehebant. circumventi igitur qui Dyrrhachium obtinebant, ex utraque parte, terra dico marique, et immensas Roberti omnemque numerum superantes copias conspicati, maximo terrore affecti sunt. at Palaeologus Georgius, vir fortis et totius rei militaris peritus, qui ex innumeris in Oriente commissis proeliis victor discesserat, intrepido animo urbem communiebat, et propugnacula exstruens, prout imperator mandaverat, et ballistas moenibus imponens; milites praeterea, siqui animum abiecerant, erigebat, speculatoribusque per murorum circuitum dispositis, ipse ambiens noctu diuque vigilare custodes iubebat. eo etiam tempore imperatorem litteris de Roberti irruptione edocuit eumque urbis Dyrrhachii expugnandae consilio advenisse. oppidani autem,

κατασκευασθέντα ὑπερμεγέθη μόσυνα ὑπερανεστηκότα καὶ αὐτῶν τῶν τοῦ Δυρραχίου τειχῶν, βύρσαις τε πανταχόθεν περιπεφραγμένον, καὶ τὰ λιθοβόλα μηχανήματα κατὰ κορυφὴν τούτου ἱστάμενα, τήν τε πᾶσαν περιβολὴν τῶν τειχῶν ἔξωθεν τοῦ στρατοπέδου περιζωσθεῖσαν, καὶ τοὺς ἁπανταχόθεν συρρέοντας συμμάχους πρὸς τὸν Ῥομπέρτον, καὶ τὰς παρακειμένας πόλεις ἐξ ἐπιδρομῆς πορθουμένας, καὶ τὰς καλύβας ἐκεῖθεν καθεκάστην πολλαπλασιαζομένας, δέει συνείχοντο, διαγινώσκοντες ἤδη τὸν σκοπὸν τοῦ δουκὸς Ῥομπέρτου, D ὡς οὐκ ἐπὶ τῷ πόλεις καὶ χώρας δῃώσασθαι καὶ λείαν πολλὴν ἐκ τούτων συγκομισάμενος αὖθις εἰς Ἀπουλήϊαν ἐπαναστρέψαι, ὡς ἁπανταχοῦ διεκηρυκεύετο, τὸ Ἰλλυρικὸν πεδίον κατέλαβεν, ἀλλὰ τῆς ἀρχῆς τῆς Ῥωμαίων βασιλείας ἱμειρόμενος, τὸ Δυρράχιον, ὅ φασιν, ἐκ πρώτης ἀφετηρίας πολιορκῆσαι ἠπείγετο. κελεύει τοίνυν ὁ Παλαιολόγος ἄνωθεν πυθέ- P. 104 σθαι, ὅτου χάριν παραγέγονεν. ὁ δέ φησιν "ὥστε τὸν τῆς V. 84 βασιλείας ἐξωσθέντα Μιχαὴλ τὸν ἐμὸν κηδεστὴν εἰς τὴν ἰδίαν τιμὴν αὖθις ἀποκαταστῆσαι καὶ τὰς εἰς αὐτὸν γεγονυίας ὕβρεις ἐπεξελθεῖν καὶ τὸ ὅλον ἐκδικῆσαι αὐτόν." οἱ δέ φασι πρὸς αὐτόν, ὡς "εἰ τὸν Μιχαὴλ θεασάμενοι γνωρίσομεν, προσκυνήσομέν τε εὐθὺς αὐτὸν καὶ τὴν πόλιν παραδῶμεν." ταῦτα ἀκούσας ὁ Ῥομπέρτος προστάσσει εὐθὺς τὸν Μιχαὴλ

1. τοῦ om. CG. τε : δὲ G. πανταχοῦ CG. 5. ante τοῦ excidit διά. 7. καὶ τὰς καλύβας — πολλαπλασιαζομένας add. P in margine. 8. καθεκάστην om. CG. 10. τῷ : τὸ G. 12. διεκκρυκεύετο P. 17. ἐξωθέντα A. 18. τιμὴν om. A.

cum machinas extra urbem et ingentem exstructam turrem conspexissent, ipsis Dyrrhachii muris altiorem, coriis undique circumdatam, et ballistas insuper impositas, et totum murorum ambitum castris cinctum, et confluentes undique ad Robertum socios, et oppida, quae adiacebant, in transcursu diruta, et tabernacula hinc quotidie multiplicata: terrore affecti sunt. etenim perspexerunt iam, ducem Robertum non eo consilio Illyricum occupasse, ut urbibus agrisque vastatis, praeda magna potitus, in Apuliam rediret, quemadmodum ubique perhibebat, sed imperium Romanorum appetentem, Dyrrhachium ab ipso, quod aiunt, carcere oppugnatum contendere. iussit igitur Palaeologus de muris interrogari Robertum, cur advenisset? quibus respondit, in animo esse, Michaelem, regno pulsum, sibi affinem, in dignitatem pristinam restituere et iniurias illatas animadvertere omninoque eum ulcisci. ad haec illi, si Michaelem conspicati agnoscerent, continuo se adoraturos urbemque tradituros. quibus Robertus auditis, iussit statim Michaelem, splendida veste indutum,

λαμπρῶς ἀμφιασθέντα ὑποδειχθῆναι τοῖς τῆς πόλεως οἰκήτορσιν. ἀπαγαγόντες δὲ τὸν τοιοῦτον μετὰ λαμπρᾶς προπομπῆς, B παντοίοις ὀργάνοις μουσικοῖς καὶ κυμβάλοις καταχτυπούμενον ὑποδεικνύουσιν. ἅμα δὲ τῷ τοῦτον θεάσασθαι, ἄνωθεν μυρίαις ὕβρεσιν ἔπλυνον, μὴ ἐπιγινώσκειν αὐτὸν ὅλως διισχυριζόμενοι. ὁ δὲ Ῥομπέρτος παρ' οὐδὲν ταῦτα θέμενος, τοῦ προκειμένου ἔργου εἴχετο. ἐν ὅσῳ δὲ ταῦτα οἵ τε ἐντός, οἵ τε ἐκτὸς πρὸς ἀλλήλους ἔλεγον, ἄφνω τῆς πόλεως ἐκπηδήσαντές τινες μετὰ τῶν Λατίνων συναίρουσι πόλεμον, καὶ μερικῶς αὐτοὺς καταβλάψαντες αὖθις εἰσῆλθον εἰς τὸ Δυρράχιον. περὶ δέ γε τοῦ συνεφεπομένου μοναχοῦ τῷ Ῥομπέρτῳ διαφόρου γνώμης ἦσαν οἱ πλείους. οἱ μὲν διεκήρυττον τὸν C οἰνοχόον λέγοντες εἶναι Μιχαὴλ βασιλέως τοῦ Δούκα, οἱ δὲ αὐτὸν ἐκεῖνον διεβεβαιοῦντο τὸν αὐτοκράτορα Μιχαὴλ τὸν τοῦ βαρβάρου συμπένθερον, δι' ὃν καὶ τὸν πολὺν ἀνείλετο πόλεμον, ὥς φασιν· ἔνιοι δὲ διενίσταντο ἀκριβῶς εἰδέναι, ὅτι σκῆψις ἦν τὸ ὅλον τοῦ Ῥομπέρτου. οὐ γὰρ αὐτόμολος εἰς αὐτὸν ἐκεῖνος ἐληλύθει, ἀλλ' ἐπεὶ ἀπὸ ἐσχάτης πενίας καὶ τύχης ἀφανοῦς διὰ δραστηριότητα φύσεως καὶ φρονήματος ὄγκον πασῶν τῶν κατὰ τὴν Λογγιβαρδίαν πόλεων καὶ χωρῶν καὶ αὐτῆς τῆς Ἀπουλίας ἐγκρατὴς γεγονὼς κύριον ἑαυτὸν κατέστησεν, ὡς ὁ λόγος ἄνωθεν φθάσας ἱστόρησε, μετ' οὐ

1. ἀμφιασθῆναι καὶ CG. 2. καὶ ἀπαγαγόντες τοῦτον A. τὸν τοιοῦτον C et in margine P, τοῦτον PGA. vid. annotat. πομπῆς A. 4. ὑποδείκνυσιν G. μυρίοις C. 5. ἐπέπλυνον CG. 7. ἐντὸς καὶ ἐκτὸς CA. 8. διέλεγον A. 11. τοῦ om. G. 18. ἐκεῖνον CG. 19. τῆς φύσεως G. 22. ὁ om. G.

urbis incolis ostendi; cumque is splendida pompa, musicorum omnis generis instrumentorum et cymbalorum cantu, in conspectum prodiret, illico de muris omnia in eum maledicta iaciunt, agnoscere se hominem prorsus negantes. Robertus nihili haec habens, operi proposito instabat. sed dum quique intus quique extra erant, ita inter se colloquuntur, clam egressi ex urbe nonnulli, manum cum Latinis conserunt, et postquam aliquantum damni intulere, Dyrrhachium recedunt. de eo autem, qui Robertum comitabatur, monacho inter se plerique dissentiebant. nam alii pincernam esse imperatoris Michaelis Ducae affirmabant, alii Michaelem ipsum barbari illius consocerum, propter quem etiam magnum suscepisset bellum; nonnulli perseverabant certo se scire, totum Roberti commentum esse. neque enim (ita aiebant) Michael ad Robertum transfugit; sed cum hic ex summa egestate et obscuritate fortunae audaci et arroganti animo omnibus Longibardiae urbibus agrisque atque ipsa Apulia potitus, regnum

πολὺ εἰς ἔφεσιν πλειόνων ἐλθών, ὁποῖα ταῖς ἀκορέστοις ἐγγί- D
γνεσθαι εἴωθε ψυχαῖς, τῶν κατὰ τὸ Ἰλλυρικὸν διακειμένων πόλεων δεῖν ἔγνω ἀποπειρᾶσθαι καὶ οὕτως, εἰ εὔοδα αὐτῷ τὰ πράγματα γένοιτο, τοῖς ἔμπροσθεν ἐπεκτείνεσθαι. καὶ γὰρ πᾶς φιλοχρήματος, ἐπειδὰν ἀρχῆς δράξαιτο, γαγγραίνης P. 105
οὐδὲν διενήνοχεν, ἥτις ἐπειδὰν σώματος ἐπιλάβοιτο, οὐδαμῶς ἵσταται, μέχρις ἂν τὸ ὅλον διαπορευομένη λυμήνηται.

2. Ὁ δὲ αὐτοκράτωρ πάντα διὰ γραμμάτων τοῦ Παλαιολόγου ἀναδιδαχθείς, καὶ ὅτι κατὰ τὸν Ἰούνιον μῆνα διαπεράσας (ὡς ὁ λόγος φθάσας ἐδήλωσε,) καὶ τοσούτῳ κλύδωνι καὶ ναυαγίῳ κατασχεθεὶς καὶ οἷα θεομηνίᾳ περιπεσών, οὐχ ὑπεστάλη, ἀλλὰ τὸν Αὐλῶνα μετὰ τῶν σὺν αὐτῷ συνελθόντων ἐξ ἐφόδου κατέσχε, καὶ ὅπως αὖθις ἁπανταχόθεν ἀπειροπληθεῖς δυνάμεις ἐς αὐτὸν συρρέουσι νιφάσιν ἐοικυῖαι χειμερίῃσι, καὶ οἱ κουφότεροι τὸν ψευδώνυμον ἐπ' ἀληθείας B
Μιχαὴλ εἶναι τὸν βασιλέα πιστεύοντες προσέρχονται τῷ Ῥομ- V. 85
πέρτῳ, ἐδεδίει πρὸς τὸ τῆς ὑποθέσεως ἀποβλέπων μέγεθος. καὶ τὰς ὑπ' αὐτὸν δυνάμεις μηδὲ τὸ πολλοστὸν τῶν τοῦ Ῥομπέρτου σωζούσας κατανοῶν, δέον ἔκρινεν ἐκ τῆς ἑῴας τοὺς Τούρκους μετακαλέσασθαι, καὶ τηνικαῦτα περὶ τούτου δηλοῖ τῷ σουλτάνῳ. ἀλλὰ καὶ τοὺς Βενετίκους προσκαλεῖται δι' ὑποσχέσεων καὶ δώρων, (ἀφ' ὧν, ὥς φασι, καὶ τὸ βένετον

2. εἴωθε γίγνεσθαι G, εἴωθε γίνεσθαι C. τὸ om. G. 6. κατὰ οὐδὲν C. 8. αὐτοκράτωρ : βασιλεὺς A. γραμμάτων: γραφῶν A. 9. ἀναδιδαχθεὶς : ἀναμαθὼν A. 16. τὸν βασιλέα εἶναι A. 19. τοὺς add. A. 21. σουλτὰν G.

sibi comparasset, ut supra exposuimus; brevi post maiora appetens, id quod immodicis insitum esse solet ingeniis, Illyrici urbes tentandas duxit: quae si prospere sibi successissent, ulterius grassandum. quippe omnis avaritia, ubi initium cepit, a gangraena nihil differt, quae cum corporis partem attigerit, nullo modo consistit, donec totum perdiderit.

2. Sed imperator cum Palaeologi litteris edoctus esset, mense illum Iunio (ut supra iam relatum est,) traiecisse et quamvis tempestate gravissima ac naufragio interceptum deique ira adflictum, tamen non absterritum esse, sed Aulonem cum iis, qui comitabantur, statim cepisse, et innumeras undecunque ad eum copias nivium instar hibernarum confluere, et qui leviore animo essent, Pseudomichaelem illum re vera pro imperatore habentes, ad Robertum transire; sollicitatus est, difficultatem rei, quam sibi proposuit. secum reputans. cumque suas copias ne multesimam quidem partem Roberti copiarum aequare animadverteret, ex Oriente Turcas arcessendos duxit; idque sultano significavit. idem pollicitationibus donisque Venetos,

χρῶμα ἐν ταῖς ἱππικαῖς ἁμίλλαις Ῥωμαίοις ἐξεύρηται,) τὰ μὲν ἐπαγγειλάμενος, τὰ δὲ καὶ προτείνων ἤδη, εἰ μόνον θε-
C λήσαιεν τὸ ναυτικὸν ἁπάσης τῆς χώρας αὐτῶν ἐξοπλίσαι καὶ τάχιον εἰς τὸ Δυρράχιον καταλαβεῖν, ἐφ' ᾧ τοῦτο μὲν φυλάξαι, μετὰ δὲ τοῦ στόλου τοῦ Ῥομπέρτου καρτερὸν συστήσασθαι πόλεμον. καὶ εἰ κατὰ τὰ διαμηνυθέντα αὐτοῖς ποιήσαιεν, εἴτε θεοῦ ἐπαρήγοντος τὴν νικῶσαν σχοῖεν, εἴτε (ὁποῖα συμβαίνειν εἴωθεν,) ἡττηθεῖεν, ἐκεῖνα αὐτὰ λήψονται κατὰ τὰ ὑπεσχημένα, ὥσπερ εἰ κατὰ κράτος ἐνίκησαν. ἀλλὰ καὶ ὁπόσα τῶν θελημάτων αὐτῶν μὴ ἐπισφαλῆ τῇ τῶν Ῥωμαίων ἀρχῇ εἶεν, ἀποπληρωθήσονται διὰ χρυσοβούλλων λόγων ἐμπεδωθέντα. οἱ δὲ τούτων ἀκούσαντες, πάντα ὅσαπερ ἤθελον αὖθις
D διὰ πρέσβεων ἐξαιτησάμενοι, τὰς ὑποσχέσεις βεβαίας λαμβάνουσι. τηνικαῦτα τοίνυν στόλον εὐτρεπίσαντες διὰ παντοίου εἴδους πλοίων, τὸν πρὸς Δυρράχιον ἀπόπλουν ἐποιοῦντο σὺν εὐταξίᾳ πολλῇ. καὶ πολλοὺς κελεύθους διανηξάμενοι, κατέλαβον τὸ ἐπ' ὀνόματι τῆς ὑπεραμώμου θεοτόκου πάλαι ἀνοικοδομηθὲν τέμενος εἰς τόπον Παλλία καλούμενον ἀπέχοντα τῆς παρεμβολῆς τοῦ Ῥομπέρτου, ἔξωθεν τοῦ Δυρραχίου κειμένης, ὡσεὶ σταδίους ὀκτωκαίδεκα. θεασάμενοι δὲ τὸ ναυτι-
P. 106 κὸν τοῦ Ῥομπέρτου ἐκεῖθεν τῆς πόλεως Δυρραχίου παντοίῳ

1. ἁμίλλαις om. A. Ῥωμαίων G. 4. εἰς om. G. 6. διαμηνυθέντα C, μηνυθέντα PG. 11. ἀποπληρωθήσεται C, ἀποπληρώσονται G, ἀποπληρωσήσονται A. 14. τοίνυν A et in margine P, γοῦν PG. 15. πλοίων πρὸς τὸ Δυῤῥάχιον A. 16. πολλοὺς : lege πελάγους. vid. annotat. 17. ὑπεραμώμου : ὑπεραγίας A. 20. σταδίοις G. δὲ : καὶ G, om. A.

(unde veneto colori in certaminibus equestribus nomen a Romanis inditum fuisse dicitur) in auxilium vocat, partim promittens, alia etiam statim offerens, dummodo cum omnibus copiis maritimis celerrime Dyrrhachium vellent petere, ut et urbem tuerentur, et cum classe Roberti proelio dimicarent. quod si fecissent, quemadmodum ipsis significatum esset, sive deo iuvante victoriam reportassent, sive, ut sunt casus rerum, superati essent, eadem illa, quae polliceretur, accepturos esse, acsi devicissent hostem. praeterea etiam, si quae cuperent, quae salva re Romana concedi possent, ea, bullis aureis firmata, praestitum iri. quibus illi auditis, quaecunque volebant, per legatos postulant, et ubi promissorum fidem acceperunt, classe ex omnis generis navibus ornata, Dyrrhachium solvunt satis bono ordine; et pelagi alta permensi, appellunt ad templum in nomine superimmaculatae dei matris olim exstructum in loco, qui Pallia vocatur, a Roberti castris, extra Dyrrhachium positis, octodecim ferme stadiorum spatio. sed cum Roberti classem e regione Dyrrhachii

εἴδει πολεμικῶν ὀργάνων περιπεφραγμένον, ἀπεδειλίασαν πρὸς
τὸν πόλεμον. μεμαθηκὼς δὲ τὴν τούτων ἔλευσιν ὁ Ῥομπέρ-
τος, πέμπει τὸν υἱὸν αὐτοῦ Βαϊμοῦντον πρὸς αὐτοὺς μετὰ
στόλου, μηνύων εὐφημῆσαι τὸν βασιλέα Μιχαὴλ καὶ αὐτὸν
τὸν Ῥομπέρτον. οἱ δὲ εἰς νέωτα τὴν εὐφημίαν ἀνήρτων.
ἑσπέρας δὲ καταλαβούσης, ἐπεὶ οὐκ ἐνῆν αὐτοῖς ταῖς ἀκταῖς
προσπελάσαι, νηνεμίας οὔσης, συναρτήσαντες τὰ μείζονα
τῶν πλοίων καλωδίοις τε δεσμήσαντες καὶ τὸν λεγόμενον
παλαγολιμένα συναπαρτίσαντες, πύργους τε ξυλίνους ἐν τοῖς
ἱστοῖς αὐτῶν οἰκοδομήσαντες, διὰ καλωδίων ἀνήγαγον ἐν αὐ- B
τοῖς τὰ ἑκάστῳ αὐτῶν συνεφεπόμενα μικρὰ ἀκάτια. ἐντὸς
δὲ τῶν τοιούτων ἄνδρας ἐνόπλους εἰσαγαγόντες, ξύλα τε πα-
χύτατα εἰς μέρη διατεμόντες, οὐκ εἰς πλεῖον πήχεως ἑνός,
σιδηρέους ἥλους ὀξεῖς ἐμπήξαντες ἐν αὐτοῖς, τὴν τοῦ Φραγγικοῦ
στόλου ἐξεδέχοντο ἔλευσιν. ἡμέρας δὲ ἤδη αὐγαζούσης, κα-
ταλαμβάνει ὁ Βαϊμοῦντος τὴν εὐφημίαν ἐξαιτούμενος. τῶν
δὲ εἰς τὸν πώγωνα αὐτοῦ ἐφυβρισάντων, τοῦτο ὁ Βαϊμοῦντος
μὴ ἐνεγκών, αὐτὸς πρῶτος κατ' αὐτῶν ἐξορμήσας, τοῖς μεγί- V.86
στοις τῶν αὐτῶν πλοίων προσεπέλασεν, εἶτα καὶ ὁ λοιπὸς C
στόλος. καρτεροῦ δὲ πολέμου συρραγέντος, ἐπεὶ ὁ Βαϊμοῦν-
τος καρτερώτερον αὐτοῖς ἐπεμάχετο, ἓν τῶν εἰρημένων ξύλων

3. Βαϊμοῦνδον GA hic et infra. 5. ἀνήργουν A. 6. ἐνῆν : ἦν A. 7. οὐκ οὔσης coni. Hoeschel. vid. annotat. συναρτίσαντες A. 10. ἱστίοις libri, correxit Wilken. Hist. Comn. p. 161. 12. τῶν τοιούτων : τούτων G. 13. πήχεος GA. 14. πήξαντες G. 16. αἰτούμενος A. 21. καρτερώτατον A. ἀπεμάχετο A.

conspexissent, omni instrumentorum bellicorum genere instructam, animum ad proelium demittebant. Robertus, cognito eorum adventu, Boëmundum filium cum classe mittit, qui eos et regi Michaeli et ipsi Roberto fausta acclamare iussit; quam rem in crastinum illi distulere. vesperascente autem coelo, cum littori applicare non liceret, maiora navigia, cessante vento, rudentibus inter se devinciunt maritimumque, qui dici solet, portum efficiunt; turres ligneas in malis ita exstruunt, ut quae singulas naves sequebantur scaphae, eas funibus sublime traherent; in quas armatos imponunt stipitesque crassissimos, in longitudinem fere cubiti dissectos, acutis infixis clavis ferreis. sic Francicae classis opperiuntur adventum. luce orta, Boëmundus accedit, et ut acclamarent poscit; at illi cum in os eum illuderent, id Boëmundus non ferens, ipse primus in eos invehitur, et maxima eorum navigia aggreditur: quem cetera classis sequitur. atroci exorta pugna, cum Boëmundus gravius instaret, illi, uno ex truncis, quos diximus, deiecto, statim perforant navem, in qua Boëmundus

ἄνωθεν ῥίψαντες, εὐθὺς διέτρησαν τὴν ναῦν, ἐν ᾗ ὁ Βαϊμοῦντος ἐτύγχανεν ὤν. ὡς δὲ ἀναῤῥοιβδήσαντος τοῦ ὕδατος καταποντίζεσθαι ἔμελλεν, οἱ μὲν ἐξερχόμενοι τῆς νεώς, ἐξ οὗπερ ἔφυγον, εἰς τοῦτ' αὐτὸ ἐνέπιπτον καὶ ἐβυθίζοντο, οἱ δὲ μετὰ τῶν Βενετίκων μαχόμενοι ἀνῃρέθησαν· ἐκεῖνος δὲ εἰς κίνδυνον ἤδη ἐληλακώς, εἰς ἓν τῶν αὐτοῦ πλοίων εἰσπηδήσας, εἴσεισιν. ἐπὶ πλέον δὲ θαῤῥήσαντες οἱ Βενέτικοι καὶ D τὴν κατ' αὐτῶν μάχην θαῤῥαλεώτερον συνάψαντες καὶ τελείως κατατροπωσάμενοι τούτους, ἐδίωξαν ἄχρι τῆς τοῦ Ῥομπέρτου σκηνῆς. ἅμα δὲ τῷ τῇ χέρσῳ πελάσαι, εἰσπηδήσαντες ἄλλον πόλεμον μετὰ τοῦ Ῥομπέρτου συνάπτουσι. τούτους θεασάμενος ὁ Παλαιολόγος, ἐξελθὼν καὶ αὐτὸς ἀπὸ τοῦ κάστρου Δυῤῥαχίου μαχόμενος ἦν μετ' αὐτῶν. καρτεροῦ γοῦν γεγονότος πολέμου καὶ μέχρι τῆς Ῥομπέρτου παρεμβολῆς φθάσαντος, ἐκεῖθεν ταύτης πολλοὶ ἐδιώχθησαν, πολλοὶ δὲ καὶ παρανάλωμα ξιφῶν γεγόνασιν. οἱ δὲ Βενέτικοι λείαν πολλὴν ἀφελόμενοι, εἰς τὰ ἴδια πλοῖα παλινοστήσαντες εἰσήεσαν, P. 107 ὁ δὲ Παλαιολόγος εἰς τὸ κάστρον αὖθις εἴσεισιν. ἡμέρας γοῦν τινὰς οἱ Βενέτικοι διαναπαυσάμενοι, ἀποστέλλουσι πρὸς τὸν βασιλέα πρέσβεις διαμηνύοντες τὰ γεγονότα. ὁ δὲ φιλοφρονησάμενος αὐτούς, ὡς εἰκός, καὶ μυρίων εὐεργεσιῶν ἀξιώσας ἀπέλυσεν, ἀποστείλας μετ' αὐτῶν χρήματα ἱκανὰ πρός τε τὸν δοῦκα Βενετίας καὶ τοὺς ὑπ' αὐτὸν ἄρχοντας.

3. ἔμελλεν A, ἔμελλον PG. 4. οὗπερ CA, ᾗσπερ P, ᾗπερ G. τοῦτο αὐτὸ A. 5. ἀνῄρουντο A. 6. ἐληλαχηκὼς G. 18. αὖθις A, εὐθὺς PG. 22. στείλας A.

forte erat. quae, subeunte aqua, cum in eo esset, ut mergeretur, alii navem egressi, in id ipsum, quod fugiunt malum, ruunt et merguntur: alii cum Venetis pugnantes occiduntur. Boëmundus autem, qui in discrimen iam adductus esset, in aliud navigium insiliens se subduxit. Veneti alacriori animo cum hostibus contendunt, eosque plane in fugam versos persequuntur usque ad Roberti castra. ubi littori appropinquarunt, e navibus in terram descendunt et aliud proelii genus cum Roberto conserunt. quos conspicatus Palaeologus, eruptione et ipse ex Dyrrhachii arce facta, cum Venetis arma coniungit. cumque gravis dein exorta pugna ad Roberti usque castra processisset, in fugam hinc multi pelluntur, multi etiam trucidantur. Veneti, magna praeda potiti, ad naves suas redeunt; Palaeologus se in arcem rursus recipit. postquam aliquot dies quieti indulserunt, Veneti legatos ad imperatorem mittunt, qui ea, quae contigerant, nuntiarent. quos ille benevole, ut par erat, exceptos et innumeris beneficiis affectos dimittit, satis amplis ad Venetiae ducem quique sub eo erant magistratus, muneribus una missis.

3. Ὁ δὲ Ῥομπέρτος μαχιμώτατος ὤν, δεῖν ἔγνω μὴ ἀφίστασθαι τοῦ πολέμου, ἀλλὰ καρτερῶς μάχεσθαι. χειμῶνος δὲ ὄντος οὐκ ἦν αὐτῷ τὰ πλοῖα εἰς τὴν θάλασσαν καθελκύσαι· ἀπεῖργε δὲ καὶ τοὺς ἀπὸ Λογγιβαρδίας ἐρχομένους B καὶ τοὺς τὰ πρὸς χρείαν αὐτῷ ἐκεῖθεν κομίζοντας ὅ τε Ῥωμαϊκὸς καὶ ὁ τῶν Βενετίκων στόλος, τὸν ἀναμεταξὺ πορθμὸν ἐπιμελῶς τηροῦντες. ὡς δὲ τὸ ἔαρ ἤδη παρῆν καὶ ὁ θαλάττιος κλύδων ἐπέπαυτο, πρῶτον μὲν οἱ Βενέτικοι λύσαντες τὰ πρυμνήσια κατὰ τοῦ Ῥομπέρτου ἐξώρμησαν· ἐχομένως δὲ τούτοις ὁ Μαύριξ μετὰ τοῦ Ῥωμαϊκοῦ ἀπέπλευσε στόλου. καὶ συναίρεται πόλεμος ἐντεῦθεν βαρύτατος, καὶ οἱ τοῦ Ῥομπέρτου τὰ νῶτα διδόασιν. εἶτα δεῖν ἔγνω ὁ Ῥομπέρτος ἅπαντα τὸν αὐτοῦ στόλον ἑλκύσαι εἰς τὴν χέρσον. οἱ δὲ νησιῶται καὶ τὰ παρὰ θάλατταν τῆς ἠπείρου πολίχνια καὶ ὁπόσοι ἄλ- C λοι φόρους παρεῖχον τῷ Ῥομπέρτῳ, τεθαρρηκότες διὰ τὰ συμπεσόντα αὐτῷ, οὐχ ἑτοίμως τὰ ἐπιτεθέντα βάρη ἐδίδουν, τὴν αὐτοῦ κατὰ θάλατταν μαθόντες ἧτταν. δεῖν οὖν ἔγνω πλείονι περιεργίᾳ πολέμου χρήσασθαι καὶ διά τε θαλάσσης καὶ ἠπείρου μάχεσθαι. ἐπεὶ δὲ οὐκ ἐνῆν τὰ κατὰ γνώμην εἰς ἔργον προάγειν, δεδιὼς τὸ ναυάγιον, ἀνέμων μεγάλων τηνικαῦτα πνεόντων, ἐγκαρτερήσας ἐπὶ δυσὶ μησὶ πρὸς τὸν

3. οὐκ ἦ . . . . . πλοῖα A. an ἐνῆν? 7. τὸ om. G. 10. μάβριξ A. μετὰ A, κατὰ PG. τοῦ om. A. 12. διδόασι, καὶ περὶ τὸν γλυκὺν ποταμὸν ηὐλίσαντο. ἐπεὶ δὲ καὶ οἱ ἐκ τοῦ δυῤῥαχίου ἀπεῖργον χορταγωγίας χάριν A. 20. προάγειν C, ἄγειν PG. 21. μησὶ δυσὶ G.

3. Robertus, ut impiger militiae erat, bellum deponere non oportere arbitrabatur, verum fortiter pugnandum. sed cum hiems esset, naves in mare deducere non licuit; prohibuit etiam qui e Longibardia veniebant commeatumque apportabant, classis Romana et Veneta, freto inter utramque terram diligenter custodito. vere autem inito, cum mare ventis saevire desiiset, primum Veneti contra Robertum solvunt: quibus mox Maurix cum classe Romana se adiungit; proelioque commisso gravissimo, Roberti milites terga vertunt. tum Robertus classem omnem in continentem subducendam statuit. insulani autem et continentis oppida maritima et quotquot praeterea vectigales Roberto erant, animo propter ea, quae illi acciderant, erecto, aegre iam tributa pendebant, quippe qui cladem mari acceptam cognossent. censuit igitur maiorem sibi ad bellum diligentiam adhibendam et terra marique pugnandum. sed cum quae animo agitabat, perficere non posset, validis eo tempore ventis flantibus, naufragium timens, duos fere menses in portu urbis Iericho se continebat atque ad bellum terra

λιμένα τῆς Ἱεριχὼ ηὐτρεπίζετο, βουλόμενος ἀπό τε τῆς θα-
D λάττης καὶ τῆς ἠπείρου μάχεσθαι, καὶ τὰ τῆς μάχης ἐξήρτυεν.
V. 87 ὁ δὲ στόλος ὅ τε Βενέτικος καὶ ὁ Ῥωμαϊκός, ὡς ἐνόν, τὸν
πορθμὸν ἐτήρει, καὶ ὁπηνίκα μικρὸν ἡ θάλασσα τοῖς βουλο-
μένοις πλεῖν νῶτα ὑπεῖχε, τοὺς ἐκεῖθεν πρὸς τὸν Ῥομπέρτον
ἐπιχειροῦντας διαπερᾶν ἀπεῖργεν. ὡς δὲ οὐδ' ἀπὸ τῆς ἠπεί-
ρου ῥαδίως ἐνῆν τὰ πρὸς χρείαν κομίζεσθαι περὶ τὸν Γλυ-
κὺν ποταμὸν αὐλιζομένοις αὐτοῖς, τῶν ἐκ τοῦ Δυρραχίου
ἀπειργόντων τοὺς χορταγωγίας χάριν ἢ συγκομιδῆς ἑτέρας
P. 108 ἐξιόντας τῆς τοῦ Ῥομπέρτου ταφρείας, λιμώττειν ἐντεῦθεν
τούτοις συνέβαινεν· ἀλλὰ καὶ τὸ ἄηθες τοῦ τόπου μεγάλως
αὐτοὺς ἐλυμαίνετο. διὰ παραδρομῆς τοίνυν μηνῶν τριῶν,
ὡς λέγεται, φθορὰ γέγονεν ἀνδρῶν εἰς χιλιάδας δέκα συμπο-
σουμένων. ἡ δὲ νόσος αὕτη καὶ τὰς μετὰ τοῦ Ῥομπέρτου
ἱππικὰς δυνάμεις καταλαβοῦσα, πολλοὺς διέφθειρεν. ἀπὸ
μὲν γὰρ τῶν ἱππέων κόμητες καὶ λογάδες ἀλκιμώτατοι ἄν-
δρες μέχρι τῶν πεντακοσίων νόσου καὶ λιμοῦ παρανάλωμα
γεγόνασι, τῆς δὲ χθαμαλωτέρας τύχης ἱππεῖς ἀναρίθμη-
τοι. τῶν δὲ πλοίων αὐτοῦ εἰς τὸν Γλυκὺν ἐνορμισθέν-
B των ποταμόν, ὡς εἴρηται, τούτου ὀλιγωθέντος διὰ τὴν ἀνυ-
δρίαν, ἤδη μετὰ τὸν χειμῶνα καὶ τὸ ἐπιγεγονὸς ἔαρ τοῦ

3. τε om. CG. 6. διαπερᾶν . ἀπεῖργεν δὲ P, διαπερᾶν . ἀπει-ρίως δὲ G, recte C. 7. περὶ : πρὸς CG. 9. συγκομιδῆς καὶ ἑτέρας χρείας ἐξιόντας A. 10. τοῦ om. A. ταφρίας A. 12. τριῶν μηνῶν A. 13. ποσουμένων CAG. 15. πολλὰς A. 16. μὲν om. A. 19. τὸ δὲ πλοῖον αὐτῶν A. Γλυκὴν P. ἐνορμισθέντες A. 21. μετὰ τὸν — ὀπόσον ταῖς om. CG.

marique gerendum, quae opus erant, parabat. classis autem et Veneta et Romana, ut poterat, transitum custodiebat, et quando vel paululum mare navigationis patiens erat, qui ex Longibardia ad Robertum traiicere conabantur, prohibebat. verum nec terra, quae usui necessaria erant, comparare iis proclive erat, ad Glycyn fluvium considentibus. qui enim Dyrrhachium tenebant, arcebant omnes, qui frumentandi vel alius rei comportandae causa Roberti vallum egrediebantur. unde accidit, ut fame premerentur; deinde etiam insueta coeli temperies admodum eos affligebat. tribus igitur mensibus periisse dicunt ad decem millia hominum. morbi vis equitatum quoque Roberti invasit, multosque consumsit. nam ex equitibus comites et electi viri fortissimi ad quingentos lue et fame exstincti sunt; humilioris fortunae equites innumeri. navibus autem in Glycyn fluvium subductis, ut diximus, cum propter siccitatem hic paene exaruisset, aestivis iam caloribus post hiemem et quod subierat ver urgentibus, ac ne tan-

θέρους θερμότερον ἐπιβάλλοντος, καὶ μηδ' ὁπόσον ταῖς χαράδραις εἴωθε καταρρεῖν ὕδωρ ἔχοντος, ἐν ἀμηχανίᾳ ἦν, μὴ δυνάμενος αὖθις αὐτὰ εἰς τὴν θάλασσαν ἑλκύσαι. ἀλλ' οἷα μηχανικώτατος ὢν καὶ βαθύνους ἀνήρ, πασσάλους ἑκατέρωθεν ἐκέλευε πήγνυσθαι τοῦ ποταμοῦ, συνδεδέσθαι δὲ τούτους διὰ λύγων πυκνῶν, εἶτα δένδρη παμμεγέθη κόπτοντας ῥιζόθεν ὄπισθεν αὐτῶν καταστρωννύειν, ψάμμον ἐπιπάττοντας ἄνωθεν, ὡς εἰς ἕνα τὸ ὕδωρ συλλείβεσθαι τόπον, ὥσπερ εἰς διώρυχα μίαν τὴν ἐκ τῶν πασσάλων γεγονυῖαν συναθροιζόμενον. καὶ κατὰ μικρὸν ἀναλιμνάζον τὸ C ὕδωρ τὴν κρηπῖδα πᾶσαν ἐπλήρου τοῦ ποταμοῦ καὶ εἰς βάθος ἀξιόλογον ἤρχετο, ἕως τὰς ναῦς ἀνεκούφισε καὶ τὰς τέως ἐρηρεισμένας νῆας τῇ γῇ ἀνέσχε τε καὶ ἀκρόπλους ἐποίησε. καὶ τὸ ἀπὸ τοῦδε εὐπλοΐας ἐπιδραξάμενα τὰ πλοῖα, εὐκόλως πρὸς τὴν θάλασσαν εἱλκύσθησαν.

4. Μεμαθηκὼς δὲ τὰ κατὰ τὸν Ῥομπέρτον ὁ αὐτοκράτωρ, παραχρῆμα διὰ γραφῆς τῷ Πακουριανῷ τὴν αὐτοῦ ἀκάθεκτον ὁρμὴν παρίστησι καὶ ὅπως τὸν Αὐλῶνα κατέλαβε, μὴ πεφροντικὼς ὅλως τῶν συμπεσόντων αὐτῷ δεινῶν κατ' ἤπει- D ρόν τε καὶ θάλατταν, μήτε τῆς ἥττης ἐκείνης, ἣν ἐκ πρώτης, ὅ φασιν, ἀφετηρίας ἐπεπόνθει· καὶ ὡς χρὴ μὴ μέλλειν, ἀλλὰ θᾶττον τὰς δυνάμεις ἐπισυναγαγόντα ἑνωθῆναί

6. δένδρα A. 7. ὄπισθεν — τόπον om. CG. 9. post γεγονυῖαν add. G ὡς εἰς ἕνα τὸ ὕδωρ συλλείβεσθαι τόπον. 13. νῆας om. A. 14. εὐπλοίας A. 16. τὸν add. CA. 18. κατελάβετο G. 19. αὐτῷ add. CG. 20. τῆς om. G.

tum quidem aquae haberet, quantum in torrentibus esse solet, in angustiis erat, quoniam naves in mare rursus deducere nequibat. verum ut erat consilii plenus et alta mente praeditus, palos in utraque fluvii parte infigi densisque viminibus devinciri, dein ingentes arbores excisas radicitus pone sterni et arenam superfundi iussit, ut in unum aqua conflueret locum, quasi in fossam unam, ex palis factam, corrivata. ac paullatim accrescens fluvius crepidinem omnem explevit, satisque magnam profunditatem nactus, naves levavit et hucusque in vado haerentia navigia tulit. quo factum est, ut classis mox facili negotio in mare deduceretur.

4. His rebus imperator cognitis, statim per litteras Pacuriano nuntiat, Robertum, gravissima irruptione facta, Aulonem occupasse, neque quicquam mala, quibus terra marique afflictus esset, et quam primo, ut aiunt, limine cladem accepisset, omnino curare. quapropter ne cunctaretur, sed copias coactas celerrime sibi adiungeret. haec ad Pacurianum. ipse extemplo Cpoli proficiscitur, mense

οἱ. ταῦτα μὲν οὖν πρὸς τὸν Πακουριανόν. αὐτὸς δὲ παραυτίκα ἔξεισι τῆς Κωνσταντίνου εἰς μῆνα Αὔγουστον τῆς τεταρ-
P. 109 της ἐπινεμήσεως, τὸν Ἰσαάκιον εἰς τὴν μεγαλόπολιν καταλιπών, ἐφ' ᾧ τὰ κατὰ τὴν πόλιν ἑδράζεσθαι, καὶ εἴπου τινὲς λόγοι ἀπᾴδοντες ἐξ ἐχθρῶν ἐξακούοιντο, ὁποῖα εἴωθεν, αὐτὸν διασκεδάζειν τε καὶ φρουρεῖν τὰ βασίλεια καὶ τὴν πό-
V. 88 λιν, ἅμα καὶ τὸ τῶν γυναικῶν φιλοπενθὲς ἀνακτώμενον. τὸ δέ γε εἰς τὴν μητέρα ἧκον, οὐδεμιᾶς, ὡς οἶμαι, βοηθείας ἐδεῖτο, ῥωμαλαιοτάτης καθισταμένης ἐκείνης καὶ ἄλλως μεταχειρίζεσθαι τὰ πράγματα δεξιωτάτης. τοιγαροῦν τὸ γράμμα ὁ Πακουριανὸς ἀνελίξας, τηνικαῦτα ὑποστράτηγον προχειρίζεται Νικόλαον τὸν Βρανᾶν, ἄνδρα γενναῖον καὶ πολλὴν ἐμ-
B πειρίαν ἔχοντα περὶ τὰ πολεμικά· ὁ δὲ μετὰ τοῦ ὁπλιτικοῦ παντὸς καὶ τῶν τῆς μείζονος τύχης τῆς Ὀρεστιάδος σπουδαίως ἔξεισιν, ἑνωθῆναι τῷ βασιλεῖ ἐπειγόμενος. ἐφθακὼς δὲ καὶ ὁ αὐτοκράτωρ εὐθὺς εἰς πολέμου σχῆμα τὸ ὁπλιτικὸν ἅπαν κατέστησεν, ἡγεμόνας τῶν λογάδων ἐπιστήσας ἄνδρας γενναιοτάτους, παρακελευσάμενος οὕτω τῆς ὁδοιπορίας ἔχεσθαι, οὗπερ ὁ τόπος αὐτοῖς τοῦτο δίδωσιν, ἵνα τὸ σχῆμα τῆς παρατάξεως διαγνόντες καὶ τὸν ἴδιον ἕκαστος γνωρίσας τόπον, ἐν τῷ καιρῷ τῆς μάχης ἀσύγχυτοι μένωσι, καὶ μὴ ῥᾳδίως μεταφέροιντο καὶ ὡς ἔτυχεν. ἐξῆρχε μὲν οὖν τοῦ τῶν ἐξκου-

1. παραυτίκα CA, αὐτίκα PG. 3. τετάρτης ἐπινεμήσεως. καὶ τὰ ταγματα συναθροίσας καὶ καταστήσας, πανστρατὶ κατὰ τοῦ ῥομπέρτου ἐξώρμησε A. 5. ἐπᾴδοντες CG. ἐπακούοιντο G. 7. ἅμα δὲ καὶ G. 9. lege ῥωμαλεωτάτης. 18. παρακελευόμενος CG. 22. ἐξουβιτῶν libri, correxit Ducang. Gloss. I. p. 404.

Augusto quartae indictionis, Isaacio in urbe relicto, qui rerum urbanarum curam gereret, et si qui sermones seditiosi, quemadmodum assolet, ex inimicis audirentur, eos opprimeret, palatiumque et urbem custodiret, simul etiam mulierum dolorem consolando levaret. quanquam matrem quod attinet, nullo eam arbitror solatio indiguisse, quippe quae et forti esset animo, et ceteroqui in expediendis rebus dexterrima. interim Pacurianus, epistola lecta, Nicolaum Branam, virum fortem et multa rei bellicae experientia, legatum creat; ipse cum exercitu universo et nobiliorum flore Orestiade celeriter egressus, imperatori se adiungere festinat. iam et hic omnes statim copias belli more ordinaverat, cumque e delectorum numero homines praefecisset strenuissimos, iter eodem modo facere iussit, ubi locorum natura permitteret; ut aciei forma perspecta, suo quisque loco assuefacti, in pugnae discrimine non confunderentur, neve facile ac

βίτων τάγματος Κωνσταντῖνος ὁ Ὦπος, τῶν Μακεδόνων ὁ C Ἀντίοχος, τῶν Θετταλῶν δὲ Ἀλέξανδρος ὁ Καβασίλας, ὁ δέ γε Τατίκιος καὶ μέγας τῷ τότε πριμικήριος τῶν περὶ τὴν Ἀχριδὼ οἰκούντων Τούρκων ἡγεμόνευε, γενναιότατος ὢν καὶ ἀκατάπληκτος ἐν μάχαις, οὐκ ἐλευθέρας μὲν ὢν τύχης ἐκ προγόνων· καὶ γὰρ ὁ πατὴρ αὐτοῦ Σαρακηνὸς ὢν ἐκ προνομῆς περιῆλθε τῷ πρὸς πατρὸς ἐμῷ πάππῳ Ἰωάννῃ τῷ Κομνηνῷ. τῶν δέ γε Μανιχαίων πρὸς τοῖς ὀκτακοσίοις εἰς δισχιλίους ποσουμένων ἡγεμόνες ἦσαν ὁ Ξαντᾶς καὶ ὁ Κουλέων, τῆς αὐτῆς αἱρέσεως καὶ οὗτοι· ἄνδρες ἅπαντες οὗτοι μαχιμώτατοι καὶ αἵματος ἀπογεύσασθαι τῶν ἐχθρῶν καιροῦ καλοῦντος ἑτοιμότατοι, καὶ πρός γε ἔτι καὶ ἰταμοὶ καὶ ἀναί- D σχυντοι· τῶν δέ γε οἰκειοτέρων αὐτῷ (βεστιαρίτας ἡ συνήθεια καλεῖ,) καὶ τῶν Φραγγικῶν ταγμάτων ὁ Πανουκωμίτης καὶ Κωνσταντῖνος ὁ Οὐμπερτόπουλος, ἐκ γένους τὴν ἐπωνυμίαν λαχών. οὕτως οὖν τὰ τάγματα καταστήσας, πανστρατὶ κατὰ τοῦ Ῥομπέρτου ἐξώρμησε. συναντήσας δέ τινι ἐκεῖθεν ἐξερχομένῳ, περὶ τῶν κατὰ τὸ Δυρράχιον πυθόμενος σαφέστερον ἐμεμαθήκει, ὅτι ὁ Ῥομπέρτος κινήσας πάντα P. 110

2. Θετταλῶν δὲ Ἀνδρόνικος ἢ Ἀλέξανδρος PG, Ἀνδρ. ἢ om. F, ἢ om. C. 3. τὴν FP, τῶν G. Ἀχριδὼ FC, Ἀχριδῶν PG. 5. μὲν : δὲ? 7. περιῆλθε FP, περιελθὼν CG. 9. Ζάντας G. 11. ἀπογεύσασθαι FP, ἀπογεύεσθαι CG. 12. καὶ alterum om. G, add. FP. 13. αὐτῷ C, αὐτῶν PG. 14. Φραγκικῶν P. Πάνυ Κομήτης G, Πανουκομήτης P, Πανουκωμίτης F. 15. Οὐμπερτόπολος PG, recte C. 16. λαβὼν PG, λαχὼν FC. 18. ἐρχομένῳ A. 19. μεμαθήκει A. νικήσας PG, κινήσας FA et in margine P.

temere loco moverentur. excubitarum agmini praefectus erat Constantinus Opus, Macedonibus Antiochus, Thessalis Alexander Cabasilas; Taticius magnus tunc primicerius Turcos circum Achridonem habitantes ducebat, qui summa fortitudine erat et in proeliis animo intrepido; non ingenuae ille quidem a maioribus conditionis; pater enim eius Saracenus cum esset, inter praedandum captus, avo meo paterno Iohanni Comneno servivit. Manichaeis bis mille et octingentis praeerant Xantas et Culeo, eiusdem et ipsi haeresis; qui omnes homines sunt bellicosissimi et ad hostium caedem, ubi occasio est, faciendam paratissimi; ad hoc temerarii insolentesque. familiaribus denique imperatoris, (vestiaritae vocari solent,) et Francicis cohortibus praeerant Panucomites et Constantinus Ubertopulus, a genere cognomen nactus. sic constitutis Alexius ordinibus, cum universo exercitu in Robertum movet. ubi obviam factus est cuidam, qui inde veniebat, sciscitatus, quomodo Dyrrhachii res se haberent, distinctius cognovit: Robertum om-

τὰ πρὸς τειχομαχίαν ἐπιτήδεια ὄργανα τοῖς τείχεσι προσεπέ-
λασεν. ὁ δὲ Παλαιολόγος Γεώργιος διὰ πάσης νυκτὸς καὶ
ἡμέρας πρὸς τὰς ἔξωθεν ἑλεπόλεις καὶ τὰ μηχανήματα ἀν-
τικαθιστάμενος καὶ ἀπαγορεύσας ἤδη καὶ τὰς πύλας ἀναπε-
τάσας καὶ ἐξελθὼν μετ' αὐτὸν καρτερὸν συνεστήσατο πόλε-
μον. καὶ καιρίως ἐν διαφόροις τοῦ σώματος τόποις ἐπλήγη,
καὶ μᾶλλον περὶ τὸν κρόταφον, βέλους διελθόντος. ὃ βιαζό-
μενος ἐξελεῖν καὶ μὴ δυνηθείς, μετακαλεσάμενός τινα τῶν
ἐμπείρων, περιεῖλε τὰ ἄκρα, τόν τε στύρακά φημι καὶ οὗ
B τὸ βέλος πτερύσσεται, τὸ δ' ἐπίλοιπον μέρος τῷ τόπῳ τῆς
πληγῆς ἐναπέμεινε. δεσμήσας δὲ τὴν κεφαλήν, ὡς ὁ καιρὸς
ἐνεδίδου, αὖθις ἐς μέσους τοὺς ἐναντίους ἑαυτὸν ὠθήσας, μαχό-
μενος μέχρι δείλης ἑσπέρας ἀκλόνητος ἵστατο. ταῦτα ἀκη-
κοὼς ὁ βασιλεὺς καὶ διαγνοὺς ἀρωγῆς ταχείας τοῦτον δεῖ-
σθαι, ἐπέτεινε τὴν ὁδοιπορίαν. καταλαβὼν δὲ τὴν Θεσσαλο-
νίκην, διὰ πολλῶν ἐπὶ πλέον τὰ κατὰ τὸν Ῥομπέρτον ἐβε-
V.89 βαιοῦτο. καὶ γὰρ ἕτοιμος ὢν ὁ Ῥομπέρτος καὶ γενναίους
μὲν παρετοιμάσας στρατιώτας, πολλὴν δὲ καὶ ὕλην κατὰ τὴν
πεδιάδα συναθροίσας τοῦ Δυρραχίου, τὴν παρεμβολὴν κατέ-
C θετο ὡσεὶ τόξου βολὴν τῶν τειχῶν τούτου ἀπέχουσαν· πολ-

2. Γεώργιος om. A. 3. τὰς : τὰ A. ἔξωθεν om. G. τὰ om. G. 4. ἤδη καὶ om. A. 5. αὐτὸν P, αὐτῶν CG. lege αὐτοῦ. συνέστησε C, ἐνεστήσατο G. 8. μεταπεμψάμενος A. 11. δὲ : οὖν A. 12. ἐδίδου CG, alterum PA. καὶ αὖθις coni. Hoeschel. 15. ἐπέτεινε CA, ἐπιτείνει G, ἐπέτειγε P. 16. τὰ κατὰ τὸν Ῥομπ. ἐπὶ πλέον P, altero ordine AG. 18. μὲν CG, μὴν P.

nes, quibus ad oppugnandam urbem opus est, machinas moenibus admovisse; quibus cum Palaeologus dies noctesque obstitisset, desperantem iam aperuisse urbis portas, et egressum atrox cum eo commisisse proelium. graviter eum variis corporis partibus sauciatum esse, praesertim circa tempora, telo transfixo; quod cum evellere frustra conatus esset, advocato medico, teli partem extremam, qua parte pennulae affigi solent, incidisse, reliqua sagitta in vulnere relicta; et obligato, prout tempus sivisset, capite, rursus in medios hostes irruisse et usque ad vesperam invictum stetisse. his imperator auditis, maturo auxilio opus esse intelligens, iter acceleravit. cumque Thessalonicam pervenisset, per multos de iis, quae Robertus ageret, exploratiora etiam cognovit. is etenim expeditus, tum strenuis paratis copiis, tum multa in campo Dyrrhachiensi comportata materia, castra posuerat non longius ab urbe, quam quo telum adiici posset; sed magnam tamen exercitus sui partem in montibus circa et vallibus clivisque collo-

λάς μέντοι τῶν ὑπ' αὐτὸν δυνάμεις καὶ περὶ τὰ ὄρη καὶ τα τέμπη καὶ τοὺς βουνοὺς κατέθετο. ἀλλὰ καὶ τὴν τοῦ Παλαιολόγου ἐπιμέλειαν ἐκ πολλῶν κατεμάνθανε. ἤδη γὰρ ὁ Παλαιολόγος ἐμπρῆσαι διανοούμενος τὸν ἑτοιμασθέντα παρὰ Ῥομπέρτου μόσυνα, καὶ τοῖς τείχεσιν ἐπιθεὶς νάφθαν καὶ πίσσαν καὶ ξηρῶν ξύλων σχίδακας καὶ λιθοβόλα ὄργανα, τὴν τοῦ πολέμου συμβολὴν ἐκαραδόκει. προσδόκιμον δὲ τὸν Ῥομπέρτον ἔχων ἐς νέωτα, ὃν προφθάσας ἡτοίμασεν ἐντὸς ξύλινον πύργον κατευθὺ τοῦ ἔξωθεν ἐρχομένου πύργου καταστήσας, δι' ὅλης νυκτὸς δοκιμασίαν ἐπεποίητο τοῦ ἄνωθεν τού- D του δοκοῦ, ὃν προβάλλεσθαι ἔμελλον κατὰ τῶν θυρέτρων τοῦ μόσυνος τοῦ ἔξωθεν ἐνηνεγμένου, εἰ ῥᾷστά τε κινοῖτο καὶ ἀντιπρόσωπος ἀντιπίπτων ταῖς θύραις οὐκ εὐκόλως ἀνοίγνυσθαι ξυγχωρήσειεν. διαγνοὺς δὲ ὡς εὐπετῶς τὸ ξύλον ὠθεῖται καὶ εὐστοχήκει τοῦ πράγματος, ἀπεθάρρησεν ἤδη πρὸς τὸν ἐλπιζόμενον πόλεμον. τῇ μετ' αὐτὴν δὲ σιδηροφορῆσαι κελεύσαντος τοῦ Ῥομπέρτου ἅπαντας καὶ ἐντὸς τοῦ πύργου πεζούς τε καὶ ἱππεῖς ὁπλοφόρους ὡσεὶ πεντακοσίους εἰσαγα- P. 111 γόντος, ἐπεὶ τῷ τείχει τοῦτον προσπελάσαντες ἤδη τὴν ἄνωθεν οὖσαν θύραν ἀναπεταννύειν ἠπείγοντο, ὡς γεφύρᾳ ταύτῃ χρησόμενοι πρὸς τὴν τοῦ κάστρου εἰσέλευσιν, ὁ Παλαιολόγος

1. ὑπ' : ἐπ' G. καὶ περὶ τὰ τέμπη G. 6. πίδακας G. 7. συμπλοκὴν CG. 10. ἐξεπεποίητο G. 12. ἐνηγγελμένου P. 15. ἠστοχήκει C. 16. τῇ : τὴν A. 17. τοῦ ξυλίνου πύργου A. 19. ἐπεὶ A, ἐπὶ PG. 20. ἀναπεταγύειν PG, recte CA. 21. χρησάμενοι CG. τὴν om. P. ἀντικάστρου C, ἀντικάῤῥου G.

carat. nec vero non Palaeologi in defendendo industriam ex multis didicit. iam enim Palaeologus, exstructam a Roberto turrim ligneam incensurus, naphta et pice aridisque lignis una cum ballistis in moenibus impositis, hostium impetum expectabat. cum postero die Robertum aggressurum esse putaret, quam antea exstruxerat intus turrim ligneam, recta extrinsecus venienti turri opposuit, et trabem suspensam superne, quam ianuae turris extrinsecus admotae obiecturi erant, per totam noctem periclitatus est, num et facillime moveretur, et portam occurrens impediret, quominus aperiri posset. ubi trabem commode moveri, nec rem male cessisse vidit, magna iam fiducia hostium impetum expectabat. postridie eius diei Robertus omnes arma sumere, et armatos fere quingentos et pedites et equites turrim ingredi iussit; qua moenibus admota, cum iam in eo essent, ut portam superne aperirent, qua velut ponte uterentur ad ingrediendam arcem, Palaeologus intus trabe illa longissima per machinas, quas antea para-

ἐντὸς τὸ παμμέγεθες ξύλον τηνικαῦτα ὠθήσας δι' ὧν φθάσας
προκατεσκεύασε μηχανῶν καὶ ἀνδρῶν πολλῶν καὶ γενναίων,
ἄπρακτον τὴν τοῦ Ῥομπέρτου μηχανὴν ἐποίησε, τοῦ δοκοῦ
τὸ παράπαν μὴ συγχωροῦντος ἀνεῳχθῆναι τὴν θύραν. εἶτα
B βάλλων τοὺς ἄνωθεν τοῦ πύργου ἱσταμένους Κελτοὺς συνε-
χῶς οὐκ ἀνίει· οἱ δὲ τὰς βολὰς μὴ φέροντες ἐκρύπτοντο.
κελεύει τοίνυν ἐμπρησθῆναι τὸν πύργον. καὶ οὔπω πᾶν εἴ-
ρητο ἔπος, καὶ εὐθὺς ἔργον ἡ τοῦ πύργου πυρκαϊὰ ἐγένετο.
καὶ οἱ μὲν ἄνωθεν ἐκρημνίζοντο, οἱ δὲ κάτωθεν ἀνοίξαντες
τὴν περικέζιον τοῦ πύργου θύραν ἔφευγον. τούτους δὲ φεύ-
γοντας ὁρῶν ὁ Παλαιολόγος, τηνικαῦτα γενναίους ἄνδρας
ὁπλοφόρους ἐξάγει διὰ τῆς πυλίδος τοῦ κάστρου καὶ ἑτέρους
μετὰ ἀξινῶν, ὡς ἂν δι' αὐτῶν ὁ ξύλινος πύργος ἀφανισθῇ.
C καὶ οὐδὲ τούτου ἠστοχήκει, ἀλλὰ τοῦ πύργου τὰ μὲν ἄνωθεν
ἐμπρήσας, τὰ δὲ κάτωθεν διά τινων λαξευτηρίων ὀργάνων
ποδοκοπήσας τελείως ἠφάνισεν.

5. Ἐπεὶ δὲ ὁ ταῦτα διηγησάμενος ἔλεγεν, ὡς ὁ Ῥομ-
πέρτος αὖθις ἕτερον κατασκευάζειν μόσυνα ἠπείγετο, παρό-
μοιον τῷ προκατασκευασθέντι, καὶ ἑλεπόλεις κατὰ τοῦ Δυρ-
ραχίου ἡτοίμαζε, διαγνοὺς ὁ βασιλεὺς ἀρωγῆς τοὺς ἐν τῷ
Δυρραχίῳ ταχείας δεῖσθαι, καταστήσας τὰς ἰδίας δυνάμεις,
V. 90 τῆς πρὸς τὸ Δυρράχιον ὁδοῦ εἴχετο. καταλαβὼν οὖν ἐκεῖσε

5. συνεχῶς om. A. 8. καὶ om. A. ἔργον C, ἔργου P, ἔριον G, om. A. 13. ξύλινος om. C. 14. τοῦ μὲν πύργου G. 15. κάτωθεν A, κάτω PG. 17. ὁ CG, ὡς P 18. μόσυνον CG. ἠπείγετο P, ἐπεχείρει CG. 21. ταχείας C, ταχὺ PG. 22. ἐκεῖθεν C.

verat, hominesque multos eosque fortissimos mota, inutilem Roberti machinam reddidit. nam trabs, quominus porta aperiretur, plane impedivit. dein Gallos in summa turri stantes telis continuo petere non destitit; quod illi haud ferentes se occultarunt. tum incendi turrim iussit: et dicto citius turris in flammas abit. qui in superioribus tabulatis erant, praecipites se dant; qui in inferiore parte, ianua turris infima reclusa, fugam capessunt. quos cum Palaeologus fugientes conspexisset, armatos viros fortes per portulam arcis eduxit, aliosque cum securibus, qui turrim exscinderent. nec id male successit; sed turrim, superiore parte flammis absumtam, inferiore instrumentis lapicidinariis, funditus delevit.

5. Haec qui retulit, cum idem adderet, Robertum operam dare, ut alteram turrim exstrueret, prius conditae parem, aliasque machinas, quas Dyrrhachio admoveret, comparare, imperator celeri auxilio obsessis opus esse intellexit, instructisque copiis iter Dyrrhachium in-

καὶ τάφρον ποιήσας καὶ τὰ στρατεύματα καταθεὶς εἰς τὸν D λεγόμενον Χαρζάνην ποταμόν, εὐθὺς διά τινων ἀποστείλας ἠρώτα τὸν Ῥομπέρτον, ὅτου χάριν παρεγένετο καὶ τίς αὐτῷ ὁ σκοπός; ἐκεῖθεν δὲ ἀπάρας ἔρχεται εἰς τὸ ἐπ' ὀνόματι τοῦ ἐν ἱεράρχαις μεγίστου Νικολάου ἱδρυμένον τέμενος, τέσσαρας σταδίους τοῦ Δυρραχίου ἀπέχον, καὶ τὴν τοῦ τόπου διεσκοπεῖτο θέσιν, ὥστε τὸν ἐπικαιρότατον τόπον, ὅποι χρὴ τὰς φάλαγγας ἐν καιρῷ μάχης καταστήσασθαι, προκαταλαβεῖν. πεντεκαιδεκάτη δ' ἦν τηνικαῦτα τοῦ Ὀκτωβρίου μηνός. αὐχὴν δὲ ἦν ἀπὸ Δαλματίας διήκων πρὸς θάλασσαν, ἀποτελευτῶν εἰς ἀκρωτήριόν τι ὅπερ οἷον χερρόνησός ἐστιν, ἐν ᾧ καὶ τὸ P. 112 ἤδη ῥηθὲν ᾠκοδόμηται τέμενος. ἠρέμα δὲ τὸ τοῦ αὐχένος πρανὲς συμβάλλον τῇ πεδιάδι πρὸς τὸ Δυρράχιον ἀπονενευκός, ἐξ εὐωνύμου μὲν τὴν θάλασσαν, δεξιόθεν δὲ ὄρος ὑψηλὸν καὶ ὑπερκείμενον ἔχει. ἐκεῖσε γοῦν τὸ ὁπλιτικὸν ἅπαν συναγαγὼν καὶ τὸν χάρακα πηξάμενος, τηνικαῦτα καὶ τὸν Παλαιολόγον μετεκαλεῖτο Γεώργιον. ὁ δὲ πεῖραν σχὼν τῶν τοιούτων ἐκ μακροῦ, μὴ συμφέρον τοῦτο λογιζόμενος, ἀνένευε τὴν ἐξέλευσιν, αὐτὸ τοῦτο πρὸς τὸν βασιλέα δηλώσας. ὡς δ' αὖθις ὁ βασιλεὺς ἐπιμελέστερον τοῦτον μετεκαλεῖτο, B φησιν "ἐμοὶ λίαν ὀλέθριον δοκεῖ πολιορκουμένου τοῦ κάστρου ἐξελθεῖν, καὶ εἰ μὴ τὸν δακτύλιον τῆς χειρὸς τῆς σῆς βασιλείας θεάσομαι, οὐκ ἐξελεύσομαι." ἀποσταλέντα δὲ τοῦτον

5. ἱδρυμένον om. C. 7. τόπου om. G. 9. δὲ G. 10. πρὸς C, εἰς PG. 11. οἷον om. CG. 13. συμβάλλων P. 16. καὶ alterum om. GA. 18. ante ἀνένευε add. τηνικαῦτα A.

gressus est. eo ubi pervenit, et ad fluvium Charzanem, vallo ducto, milites considere iussit, per legatos statim Robertum interrogavit, cur advenisset et quid consilii haberet. movet inde ad aedem Nicolai, inter pontifices summi, quae a Dyrrhachio quatuor abest stadia, et naturam regionis explorat, ut aciei instruendae locum aptissimum ante caperet. agebatur tum quintus decimus mensis Octobris dies. iugum erat a Dalmatia ad mare usque pertinens, quod in promontorium desinebat, peninsulae fere forma; ubi etiam aedes, quam diximus, condita erat. cuius iugi declivitas leniter se demittens Dyrrhachium versus, mare a sinistra, a dextra montem excelsum et imminentem habet. ibi exercitu contracto universo positisque castris, Palaeologum Georgium arcessivit. at is harum rerum ex longo usu peritissimus, parum e re id esse ratus, urbe egredi recusat, legato ad imperatorem misso. cum vero hic, missis iterum nuntiis, instaret, "mihi quidem, respondit, admodum perniciosum videtur, arce obsessa egredi, nec nisi annulum manus tuae regiae videro, hinc non exibo." mi-

θεασάμενος, τηνικαῦτα φοιτᾷ πρὸς τὸν βασιλέα μετὰ πολε-
μικῶν νηῶν. ὁ δὲ βασιλεὺς τοῦτον ἰδών, τὰ κατὰ τὸν Ῥομ-
πέρτον αὐτοῦ ἐπυνθάνετο. τούτου δὲ πάντα αὐτῷ διασαφή-
σαντος, ἠρώτα εἰ χρὴ τὸν μετ' αὐτοῦ ἀποθαρρῆσαι πόλεμον.
ὁ δὲ πρὸς τοῦτον ἀνένευε τέως. ἀλλὰ καί τινες τῶν περὶ τὰ
C πολεμικὰ πεῖραν ἐκ μακροῦ χρόνου ἐσχηκότων ἐπιμελῶς τοῦ-
τον ἐκώλυον, συμβουλευόμενοι καρτερῆσαι δι' ἀκροβολισμῶν
σπεῦσαι στενοχωρῆσαι τὸν Ῥομπέρτον, μὴ συγχωρουμένων
τῶν ὑπ' αὐτὸν χορταγωγίας χάριν ἢ προνομῆς τῆς ἰδίας πα-
ρεμβολῆς ἐξιέναι, τοῦτο δὲ καὶ τῷ Βοδίνῳ καὶ τοῖς Δαλμά-
ταις καὶ τοῖς λοιποῖς ἀρχηγοῖς τῶν παρακειμένων χωρῶν πα-
ρακελεύσασθαι ποιεῖν, διαβεβαιούμενοι, ὡς τοῦτον τὸν τρό-
πον ῥᾳδίως ὁ Ῥομπέρτος ἡττηθήσεται. οἱ δὲ πλείονες τῶν
νεωτέρων τοῦ στρατοῦ τὸν πόλεμον προὐτρέποντο, καὶ πάν-
D των μᾶλλον Κωνστάντιος ὁ Πορφυρογέννητος καὶ Νικηφόρος
ὁ Συναδηνὸς καὶ ὁ τῶν Βαράγγων ἡγεμὼν Ναμπίτης καὶ αὐ-
τοὶ οἱ τοῦ προβεβασιλευκότος Ῥωμανοῦ τοῦ Διογένους υἱεῖς,
ὅ τε Λέων καὶ ὁ Νικηφόρος. ἅμα δὲ καὶ οἱ πρὸς τὸν Ῥομ-
P. 113 πέρτον ἀποσταλέντες ἐπανεληλυθότες, τὰ ἐκείνου πρὸς τὸν
V. 91 βασιλέα ἀπεστομάτιζον· ὡς "ἐγὼ μέν" φησιν "οὐδαμῶς
κατὰ τῆς σῆς βασιλείας ἐξελήλυθα, ἀλλ' ἐκδικήσων μᾶλλον

1. τηνικαῦτα om. A. 3. αὐτοῦ ἐπυνθ. G, αὐτῷ P, αὐτοῦ om. A. 4. αὐτῶν P, αὐτοῦ CA, μετὰ τούτου G. 7. καρτερῆσαι om. A. lege καὶ δι'. 8. συγχωρούμενον CG. 9. τῶν om. GA. αὐτῶν G. 15. scribendum videtur Κωνσταντῖνος. vid. annotat. 16. ἀμπίτης A. 17. Ῥωμαίων CG. 21. κατὰ τῆς σῆς βασιλείας οὐδαμῶς A. μᾶλλον om. A.

sit imperator annulum; quo conspecto, Palaeologus navibus bellicis advehitur. ubi eum imperator conspexit, de Roberto percontatus est. cognitis rebus omnibus, ecquid acie decertandum cum eo censeret, quaesivit. dissuadebat tum ille quidem; nec is solum, verum etiam alii, rei bellicae peritiam diuturno usu nacti, vehementer dehortabantur. perstaret potius atque in id incumberet, ut levibus proeliis lacessendo Robertum in angustias cogeret, prohibitis militibus eius frumentandi vel pabulandi causa castris suis exire. idem ut facerent, Bodino et Dalmatis et reliquis adiacentium regionum praefectis imperare eum iubebant. ita fore, ut facili negotio Robertus superaretur. at iuniorum, qui in exercitu erant, plerique pugnam malebant, inprimis Constantinus Porphyrogenitus et Nicephorus Synadenus et Barangorum dux Nampites et ipsi Romani Diogenis quondam imperatoris filii, Leo et Nicephorus. eodem tempore reversi sunt legati ad Robertum missi, et eius ad imperatorem responsa retulere. "ego, inquit, nequaquam contra tuam maiestatem expeditionem hanc

τὴν γενομένην εἰς τὸν ἐμὸν συμπένθερον ἀδικίαν. εἰ δὲ σὺ τὴν μετ' ἐμοῦ θέλεις εἰρήνην, ἀσπάζομαι τοῦτο κἀγώ, μόνον εἰ καὶ αὐτὸς τὰ μετὰ τῶν ἐμῶν δηλωθέντα σοι πρέσβεων προθυμηθῇς ἀποπληρῶσαι." ἐπεὶ δὲ ἀδύνατα παντάπασιν ἐπεζήτει καὶ ἐπιβλαβῆ τῇ Ῥωμαίων ἀρχῇ, ὑπισχνούμενος ἅμα, εἰ τεύξεται τῶν παρ' αὐτοῦ ζητουμένων, καὶ αὐτὴν τὴν Λογγιβαρδίαν ὡς ἀπὸ τοῦ βασιλέως λογίσασθαι, καὶ βοηθεῖν ὁπηνίκα χρεία ἐστίν· τὰ δὲ σκῆψις ἦν, ἵνα δόξῃ δι' ὧν μὲν B
αἰτεῖται, αὐτὸς τὴν εἰρήνην θέλειν, ἀδύνατα δὲ λέγων καὶ μὴ τυγχάνων, τῆς μάχης ἀνθέξεται, εἶτα τὴν τῆς μάχης αἰτίαν τῷ βασιλεῖ Ῥωμαίων προστρίψειεν· διὰ τοῦτο οὐδὲ πρὸς συμβιβάσεις ἤθελον ἀπονεῦσαι. ἀτελέστατα γοῦν αἰτησάμενος καὶ μὴ τυχών, συγκαλεσάμενος πάντας τοὺς κόμητάς φησι πρὸς αὐτούς· "οἴδατε τὴν παρὰ τοῦ βασιλέως Νικηφόρου τοῦ Βοτανειάτου γεγονυῖαν ἀδικίαν εἰς τὸν ἐμὸν συμπένθερον, καὶ τὴν ἀτιμίαν, ἣν ἡ ἐμὴ θυγάτηρ Ἑλένη ἐπεπόνθει τῆς βασιλείας σὺν αὐτῷ ἐξωσθεῖσα. τοῦτο δὲ μὴ φέροντες, εἰς ἐκδίκησιν τούτων κατὰ τοῦ Βοτανειάτου τῆς χώρας ἡμῶν ἐξε- C
ληλύθειμεν· ἐκείνου δὲ τῆς ἀρχῆς παραλυθέντος, νῦν πρὸς βασιλέα ἔχομεν νέον καὶ στρατιώτην γενναῖον, ὑπὲρ τὸν χρό-

2. ἐμοῦ: αὐτοῦ C. τοῦτο νῦν G, νῦν τοῦτο C, νῦν om. PA. 4. δὲ om. P. παντάπασιν ἀδύνατα G. 9. αὐτὸς add. C et in margine P. 10. τὴν αἰτίαν τῆς μάχης G. 11. διὰ τοῦτο — ἀπονεῦσαι om. C. 12. ἤθελεν G. ἀτελέστατα A, ἀτέλεστα PG. 13. πάντας τοὺς κόμητας συγκαλεσάμενος PG, altero ordine A. 15. Βοτανειάτου τοῦ Νικηφόρου PG, recte A. 17. ἐξωσθεῖσα AG, ἐξεωθεῖσα C, ἐξεωσθεῖσα P. 19. πρὸς om. G.

suscepi, sed ulturus potius iniuriam, consocero meo illatam. quodsi tu pacem mecum cupis, amplector hoc et ipse, modo ea, quae per legatos meos significanda curavi, perficere tibi in animo sit." ceterum quae petiit, concedi nullo modo poterant, et perniciosa imperio Romano erant, quamvis idem polliceretur, si, quae peteret, impetrasset, se et ipsam Longibardiam pro imperatoris beneficio habiturum, et auxilium laturum, quandoque opus foret. verum haec simulatio fuit, ut eo, quod peteret, ipse pacem malle videretur; repudiatis autem quas proposuisset conditionibus iniquis, ad arma progressus, causam atque invidiam belli in Romanorum imperatorem conferret. hanc igitur ob rem ad compositionem propensi non erant. itaque cum immane quantum postulasset nec impetrasset, convocatis omnibus comitibus, hanc orationem habuit: "scitis, quam ab imperatore Botaniate Nicephoro iniuriam passus sit consocer meus, quaque ignominia fuerit affecta filia mea Helena, regno cum eo expulsa. quae cum ferri non possent, ad ulciscenda ea adversus Botaniatem patria sumus egressi;

νον αὐτοῦ πεῖραν τῆς στρατιωτικῆς ἐπιστήμης ἐσχηκότα, καὶ οὐ χρὴ ὡς ἔτυχε τὸν μετ' αὐτοῦ ἀναδέξασθαι πόλεμον. ὅπου γὰρ πολυαρχία, ἐκεῖ καὶ σύγχυσις, τῆς διαφόρου γνώμης τῶν πολλῶν ταύτην εἰσαγούσης. λοιπὸν χρὴ ἑνός τινος ἡμῶν τοὺς λοιποὺς ἐπακούειν, κἀκεῖνον μὲν τὴν ἐξ ἁπάντων βουλὴν ἐπιζητεῖν καὶ μὴ τοῖς οἰκείοις λογισμοῖς ἀπεριμερίμνως χρᾶσθαι καὶ ὡς ἔτυχε, τοὺς δέ γε λοιποὺς τὸ δοκοῦν αὐτοῖς μετ' εὐ-
D θύτητος λέγειν πρὸς αὐτόν, ἑπομένους ἅμα τῇ τοῦ προκριθέντος βουλῇ. καὶ ἰδοὺ ἐγὼ εἷς ἐξ ἁπάντων ἕτοιμος ὢν ὑπείκειν, ᾧ ἂν πάντες προκρίνητε." πάντες οὖν τὴν βουλὴν ταύτην ἐπαινέσαντες καὶ καλῶς λέγειν τὸν Ῥομπέρτον φάμενοι, τηνικαῦτα αὐτῷ τῶν πρωτείων παρακεχωρήκασιν ἅπαντες εἰς τοῦτο ὁμογνωμονήσαντες. ὁ δὲ ἀκκιζόμενος οἷον ἀνε-
P. 114 βάλλετο τέως τὴν ἐγχείρησιν· οἱ δὲ μᾶλλον ἐπέκειντο τοῦτο αὐτὸν αἰτοῦντες. ὑπείξας οὖν τῷ φαινομένῳ ταῖς αὐτῶν παρακλήσεσι, κἂν τούτῳ ὠδίνων ἐκ μακροῦ, λόγους ἐκ λόγων περιέπλεκε, καὶ αἰτίας αἰτίαις συνείρων εὐφυῶς, εἰς ὅπερ ἱμείρετο, ἄκων ἐδόκει τοῖς μὴ εἰς νοῦν βάπτουσιν ἔρχεσθαι. λοιπόν φησι πρὸς αὐτούς· "ἀκούσατε τῆς ἐμῆς βουλῆς, κόμητες καὶ τὸ λοιπὸν τοῦ στρατοῦ. ἐπεὶ τὰς σφῶν πατρίδας καταλελοιπότες ἐνταυθοῖ παρεγενόμεθα, καὶ ἡ προκειμένη μά-

2. μετ' : κατ' A. 4. τινος ἡμῶν : τῶν ἐφ' ἡμῶν CG. τοὺς λοιποὺς om. P. 5. ὑπακούειν G. 7. ὡς ἔτυχε : ἀσυμβούλως CG. 10. πάντες : ταύτην οὖν τ. β. ἐπαινέσαντες CG. 13. ἀκιζόμενος C. 15. αὐτὸν : αὐτὸ CG. 16. τούτῳ: lege τοῦτο. vid. annotat. 18. βάλλουσιν G.

quoniam autem hic regno excidit, nunc cum imperatore nobis res est iuveni et milite forti, rerum bellicarum supra aetatem perito. contra quem non oportet temere bellum suscipere. ubi enim multi imperant, ibi etiam perturbatio est, quae ex diversis multorum sententiis oritur. proinde uni alicui nostrum parere ceteros oportet; qui tamen omnes in consilium adhibere, nec suam ipsius sententiam inconsiderate ac temere sequi debet: ceteros autem, quid sibi videatur, libere oportet dicere; sed ita tamen, ut sententiam eius, qui prae reliquis electus est, sequantur. en, ego unus ante omnes paratus sum obedire ei, quem vos omnes elegeritis." laudant omnes hoc consilium Roberti, et recte eum dixisse affirmantes, primas partes communi sententia ei cedunt. at is callide quasi fastidiens, honorem sibi delatum tum recusabat. quare illi magis etiam instabant id rogare. quorum precibus cum victum se simulat, quamvis dudum eam rem cuperet, aliud ex alio intulit; et causas nectendo commode, quo nitebatur, eo invitus animum haud introspicientibus pervenire visus est. iamque haec ad eos locutus est: "audite consilium meum, comites militesque reliqui;

χη πρὸς ἀνδρικώτατον βασιλέα ἐστὶν καὶ ἄρτι μὲν τοὺς V. 92
τῆς βασιλείας οἴακας ἀναδεξάμενον, πολλοὺς δὲ πολέμους ἐπὶ B
τῶν πρὸ αὐτοῦ βεβασιλευκότων νενικηκότα καὶ μεγίστους ἀποστάτας δορυαλώτους αὐτοῖς προσενηνοχότα, ὁλοψύχως χρὴ τῆς μάχης ἀνθέξεσθαι. καὶ εἰ τὴν νικῶσαν ἡμῖν ἐπιψηφιεῖται θεός, οὐκέτι χρημάτων ἐν χρείᾳ ἐσόμεθα. χρὴ τοιγαροῦν τὰς μὲν σκευὰς ἁπάσας ἐμπρῆσαι, τὰς δὲ ὁλκάδας διατρήσαντας κατὰ τοῦ πελάγους ἀφεῖναι, καὶ οὕτω τὴν μετ' αὐτοῦ ἀναδέξασθαι μάχην, ὡς τηνικαῦτα γεννηθέντας καὶ τεθνηξομένους." ἐπὶ τούτοις κατένευσαν ἅπαντες.

6. Ἀλλὰ τοιαῦτα μὲν τὰ τοῦ Ῥομπέρτου διανοήματά τε καὶ βουλεύματα· ἄλλα ταυτὰ τοῦ αὐτοκράτορος ποικιλώτερά τε καὶ ὀξύτερα. συνεῖχον δ' ὅμως οἱ δημαγωγοὶ ἄμφω C
τὰ στρατεύματα, στρατηγίας καὶ δημαγωγίας πέρι βουλευόμενοι, ὅπως μετ' ἐπιστήμης δημαγωγήσαιεν καὶ στρατεύσοιντο. καὶ ὁ μὲν αὐτοκράτωρ αἴφνης νυκτὸς ἐξ ἑκατέρου μέρους ἐπιπεσεῖν τῇ τοῦ Ῥομπέρτου παρεμβολῇ σκεπτόμενος, τὸ μὲν ἐθνικὸν ἅπαν στράτευμα ἀπὸ τοῦ ὄπισθεν μέρους ἐπέτρεψε προσβαλεῖν διὰ τῶν ἀλυκῶν διελθόντας, καὶ πλείονα τὴν ὁδοιπορίαν ἀναδέξασθαι αὐτοὺς διὰ τὸ ἀνύποπτον οὐκ ἀπηνήνα-

1. βασιλέα C, βασιλέων PG. 5. ἀνθέξεσθαι CAG, ἀνθέξασθαι P. 6. ὁ θεὸς PG, θεὸς CA. 8. αὐτῷ P, αὐτοῦ CGA. 11. τὰ om. G. 12. τε om. G. ἀλλ' αὐτὰ G, ἄλλα δ' οὖν τὰ A, ἀλλὰ δ' αὐτὰ C. lege ἄλλα δ' αὖ τά. 14. πέρι om. G. 15. καταστρατεύσοιντο G. 16. ἐπιπεσεῖν C, ἐπεισπεσεῖν GPA. 18. ἅπαν om. C. ὄπισθε A. ἐπέτρεψε A, ἐπέτρεψεν PG. 19. προσβάλλειν τῷ Ῥομπέρτῳ A. ἁλικῶν AG. διελθὼν G.

quandoquidem relicta patria huc pervenimus, et pugna adversus fortissimum instat imperatorem, qui licet nuperrime imperii gubernacula nactus, ex multis tamen bellis sub prioribus imperatoribus victor discessit et maximos seditionum auctores bello captos adduxit: toto nobis animo haec pugna est capessenda. quodsi victoriam deus nobis annuerit, non amplius pecuniam desiderabimus. oportet igitur vasa cuncta comburere, naves onerarias perforatas demergere, atque sic proelium cum Alexio inire, tanquam hic natos et morituros." his assensi sunt omnes.

6. Talia Robertus agitabat consilia; alia rursus imperator moliebatur magis callida acutioraque. continebant tamen ambo copias suas, dum secum de belli administrandi ratione deliberant, ut prudenter munere suo fungerentur. atque imperator quidem ex utraque subito parte noctu impetum facere in Roberti castra statuit. itaque a tergo barbarorum copias universas, ora maritima emensa, iussit in-

το· αὐτὸς δὲ ἀπὸ τῶν ἔμπροσθεν, ὁπηνίκα γνοίη ἐφθακότας τοὺς ἀποσταλέντας, ἠβούλετο προσβαλεῖν τῷ Ῥομπέρτῳ. ὃς κενὰς τὰς σκηνὰς καταλιπὼν καὶ νυκτὸς διὰ τῆς γεφύρας D διεληλυθώς, (ὀγδόη δ' ἦν πρὸς τῇ δεκάτῃ τοῦ παριππεύοντος μηνὸς Ὀκτωβρίου ἐπινεμήσεως πέμπτης,) τὸ παρὰ τὴν θάλατταν ἐπ' ὀνόματι τοῦ μάρτυρος Θεοδώρου πάλαι ἀνοικοδομηθὲν τέμενος κατέλαβε μετὰ παντὸς τοῦ στρατεύματος. καὶ δι' ὅλης νυκτὸς τὸ θεῖον ἐξευμενιζόμενοι, τῶν ἀχράντων καὶ θείων μυστηρίων μετελάμβανον. εἶτα τὰς ἰδίας καταστήσας φάλαγγας, τὴν μέσην εἶχε τοῦ συντάγματος χώραν, τὸ δέ γε P. 115 πρὸς θάλατταν κέρας τῷ Ἀμικέτῃ ἐπέτρεψε κόμητι, (κόμης δὲ οὗτος τῶν ἐπιφανῶν, γενναῖος καὶ χεῖρα καὶ γνώμην,) θάτερον δὲ τῷ υἱῷ αὐτοῦ Βαϊμούντῳ, τὴν ἐπίκλησιν Σανίσκῳ. τούτων ὁ αὐτοκράτωρ αἰσθόμενος, δεινὸς ὢν τὸ συνοῖσον ἐν ὀξείᾳ εὑρηκέναι ῥοπῇ, μεθαρμοσάμενος ἑαυτὸν πρὸς τὸ συμπεσόν, αὐτοῦ που κατὰ τὸ πρανὲς παρὰ τὴν θάλασσαν τὰς παρατάξεις κατέστησε. καὶ διελὼν τὰ στρατεύματα, τοὺς μὲν ἐπὶ τὰς σκηνὰς τοῦ Ῥομπέρτου ἀπερχομένους βαρβάρους τῆς ὁρμῆς οὐκ ἀνέκοψε, τοὺς δὲ ἐπὶ τῶν ὤμων τὰ ἑτερόκοπα B φέροντας ξίφη παρακατασχὼν μετὰ τοῦ σφῶν ἀρχηγοῦ τοῦ Ναμπίτου, ἀποβάντας τῶν ἵππων, ἔμπροσθεν ἐκ μικροῦ δια-

1. πεφθακότας A. 3. ἐληλυθὼς CG, διεληλυθὼς AP. 4. παριππεύοντος om. G. 5. Ὀκτωβρίου μηνὸς G. 7. μετὰ: κατὰ P. 10. εἵλετο PG, εἴχετο CA, εἶχε P in margine. 11. Ἀμικέτῃ C constanter, Ἀμηκέτῃ PA. κόμητι om. C. 12. καὶ γενναῖος G. 16. θάλατταν G, παρὰ θαλάττης C. 17. διελθὼν C.

vadere, nec, quo certius insidiae laterent, itineris ambage eos uti noluit. ipse a fronte, simulatque eos, quos miserat, advenisse animadvertisset, adoriri Robertum volebat. qui quidem, tabernaculis vacuis relictis, pontem nocte transgressus, (erat decimus octavus mensis Octobris dies indictione quinta,) in templum ad mare Theodoro martyri olim exstructum se contulit cum universo exercitu; ubi per totam noctem precibus placato numine, immaculata divinaque mysteria percepere. instructis dein copiis, medium aciei locum ipse tenuit; cornu, quod ad mare spectabat, Amicetae commisit, viro inter comites illustri, et manu et consilio prompto; alterum Boëmundo filio, cognomine Sanisco. his imperator animadversis, qua erat animi alacritate ad ea, quae facto opus essent, temporis momento perspicienda, consilio pro re mutato, in iugi declivitate praeter maris oram aciem constituit. divisisque copiis, barbaros ad Roberti castra invadenda profectos revocare noluit; qui autem in humeris gladios ancipites gestant, eos una cum duce Nampita retinuit et, relictis

στήματος προπορεύεσθαι στοιχηδὸν ἐπέτρεψε· τοῦτο δὲ γένος ἀσπιδοφόρον ξύμπαντες. τὸ δὲ λοιπὸν τοῦ στρατεύματος εἰς φάλαγγας διελὼν, αὐτὸς μὲν τὸ μεσαίτατον εἶχε τῆς παρατάξεως, δεξιόθεν δὲ καὶ ἐξ εὐωνύμου φαλαγγάρχας τὸν καίσαρα Νικηφόρον τὸν Μελισσηνὸν ἐπέστησε καὶ τὸν καλούμενον Πακουριανὸν καὶ μέγαν δομέστικον. τὸ δὲ μεσαίτατον αὐτοῦ τε καὶ τῶν πεζῇ βαδιζόντων βαρβάρων ἱκανοὺς εἶχε στρατιώτας τῆς τοξείας εἰδήμονας, οὓς κατὰ τοῦ Ῥομπέρτου προεκπέμπειν ἠβούλετο, ἐπιτρέψας τῷ Ναμπίτῃ, ὁπηνίκα βούλοιντο C πρὸς τοὺς Κελτοὺς ἐξιππάσασθαι καὶ αὖθις ὑποστρέφειν, χώραν αὐτοῖς ἐξ ἐφόδου διδόναι ἐφ' ἑκάτερα σχιζομένους, εἶτα αὖθις συνεχίζεσθαι καὶ συνησπικότας πορεύεσθαι. οὕτω γοῦν τὸ ἅπαν διατυπώσας στράτευμα, αὐτὸς μὲν κατὰ V. 93 μέτωπον ἵετο τῶν Κελτικῶν στρατευμάτων, τὴν ἠϊόνα παραθέων· οἱ δὲ ἀποσταλέντες βάρβαροι τὰς ἁλυκὰς διεληλυθότες, ἐπεὶ καὶ οἱ ἐντὸς τοῦ Δυρραχίου τὰς πύλας ἀνεπέτασαν, τοῦτο αὐτοῖς τοῦ αὐτοκράτορος ἐπισκήψαντος, ἐν ταὐτῷ ταῖς Κελτικαῖς σκηναῖς προσέβαλλον. κατ' ἀλλήλων δὲ τῶν δημαγωγῶν D ἐρχομένων, ἀποσπάδας ἀποστέλλων ὁ Ῥομπέρτος ἱππασίας ἐκέλευε ποιεῖσθαι, εἴ που ἐκεῖθεν ὑποσῦραί τινας δυνηθεῖεν τοῦ Ῥωμαϊκοῦ στρατεύματος. ἀλλ' οὐδ' ὁ βασιλεὺς πρὸς τοῦτο ἀνεπεπτώκει· ἔπεμπε δὲ μᾶλλον καὶ συχνοὺς τοὺς ἀν-

2. ἀσπιδοφόρων G. ἅπαντες CG. τοῦ δὲ στρατεύματος τὸ λοιπὸν GA. 7. τὸν P. 9. ἀμπίτῃ G. 13. αὐτοῖς CG. 14. ἵετο G. Κελτῶν G. ἠόνα A. παραθεόντων coni. Hoeschel. 15. ἁλικὰς G, ἀκτὰς A. 18. προσέβαλλον C, προσέβαλον PG. 22. τοὺς add. G.

equis, modico ante aciem intervallo, ordine procedere iussit. tota haec gens clypeis armata est. reliquo exercitu in phalanges distributo, mediam aciem ipse tenebat, a dextra et sinistra praefecit legionibus caesarem Nicephorum Melissenum et Pacurianum quem vocabant magnum domesticum. medium inter se et qui pedites incedebant barbaros locum milites satis multi occupaverunt, iaculandi periti, quos in Robertum praemittere volebat. mandaverat itaque Nampitae, ut sicubi in Gallos equis prorumpere vellent et rursus se recipere, transitum ipsis statim darent, utroque regressi; mox rursus coirent et confertim progrederentur. sic instructo exercitu, ipse in frontem aciei Francicae signa infert, oram transvolans. barbari ad circumeundum missi, ubi maritimum emensi sunt tractum, atque etiam Dyrrhachii praesidia iussu imperatoris aperuerunt portas, simul in castra Gallorum impetum fecere. dum vero acies utriusque ducis obviam procedit, Robertus turmas equitum misit, qui exercitum Romanum lacesserent, si quos inde elicere forte possent. nec

τικαταστησαμένους αὐτοῖς πελταστάς. ἀκροβολισμοῖς οὖν μετρίοις ἀμφοτέρων κατ' ἀλλήλων χρησαμένων, ἐπεὶ καὶ ὁ Ῥομπέρτος ἠρέμα τούτοις εἵπετο καὶ τὸ μεταίχμιον ἤδη ἀπεστενοῦτο διάστημα, τῆς φάλαγγος τοῦ Ἀμικέτου προεκδραμόντες πεζοὶ καὶ ἱππεῖς περὶ τὸ ἄκρον τῆς παρατάξεως τῆς τοῦ Ναμπίτου P. 116 *προσέβαλλον. γενναιότερον δ' αὐτῶν ἀντικαταστάντων, παλίνορσοι γεγόνασιν, ἐπεὶ οὐ πάντες λογάδες ἦσαν, καὶ τῇ θαλάσσῃ ἑαυτοὺς ἐπιρρίψαντες ἄχρι τοῦ τραχήλου, ταῖς νηυσὶ τοῦ Ῥωμαϊκοῦ καὶ Βενετικοῦ στόλου πελάζοντες, ἐκεῖθεν ᾐτοῦντο τὴν σωτηρίαν, καὶ παρ' ἐκείνων οὐ προσεδέχοντο. ἡ δέ γε Γαΐτα, ὥς λόγος τίς φησιν, ἡ τοῦ Ῥομπέρτου σύνευνος αὐτῷ συστρατευομένη, Παλλὰς ἄλλη κἂν μὴ Ἀθήνη, θεασαμένη τοὺς φεύγοντας, δριμὺ τούτοις ἐνατενίσασα, κατ' αὐτῶν μεγίστην ἀφιεῖσα φωνήν, μονονοὺ τὸ Ὁμηρικὸν ἔπος τῇ ἰδίᾳ διαλέκτῳ λέγειν ἐῴκει, "μέχρι πόσου φεύξεσθε; στῆτε,* B *ἀνέρες ἔστε." ὡς δὲ ἔτι φεύγοντας τούτους ἑώρα, δόρυ μακρὸν ἐναγκαλισαμένη, ὅλους ῥυτῆρας ἐνδοῦσα κατὰ τῶν φευγόντων ἵεται. τοῦτο θεασάμενοι καὶ ἑαυτῶν γεγονότες, αὖθις πρὸς μάχην ἑαυτοὺς ἀνεκαλέσαντο. ἐπεὶ δὲ οἱ πελεκυφόροι καὶ αὐτὸς ὁ τούτων ἀρχηγὸς ὁ Ναμπίτης δι' ἀπειρίαν καὶ*

1. ἀκροβολισμοὺς μετρίους C. 6. ἀποκαταστάντων A. 7. τῇ add. A. 8. τοῦ om. A. 13. τούτοις A, τούτσυς PG. ἐνατενίζουσα CG, ἐνητένιζε A. 14. ἀφεῖσα P, ἀφιεῖσα CAG. ἔπος om. GA. 16. ἐστὲ libri, correxi. τούτους φεύγοντας A. 18. ἵεται G. 19. αὐτοὺς G. ἐπειδὴ C. πελεκυφόροι G, πελεκοφόροι PA. 20. αὐτὸς om. A. ἐμπειρίαν CG.

imperator quidem supinus erat, quin potius magno numero, qui oppositi erant, peltastas misit. his aliquantum inter se velitantibus, cum etiam Robertus sensim suos sequeretur, et spatium inter utramque aciem angustius iam fieret, prosilientes ex Amicetae phalange pedites atque equites extremum Nampitae agmen invadunt; sed ubi fortius hi resisterent, terga verterunt. quippe non omnes milites erant egregii. atque in mare se praecipitantes collo tenus, ad naves Romanae Venetaeque classis confugiebant, quae tamen eos non recipiunt. ibi tum Gaïta, Roberti uxor, in bellum coniugem secuta, Pallas altera, licet non Minerva, conspicata fugientes, torvo vultu, maxima voce eos increpuit et sua lingua tantum non Homericum illud dicere videbatur "quo usque fugietis? state, viri estote." quos ubi fugam non omittere vidit, longa arrepta hasta, citato cursu fugientes persequitur. ea re illi animadversa, sui compotes facti, rursus ad pugnam se revocabant. cum autem bipenniferi et ipse eorum dux, Nampites, propter imprudentiam et pugnandi ardorem citius progressi, longe

θερμότητα ὀξύτερον βεβαδικότες, ἱκανὸν τῆς Ῥωμαϊκῆς παρατάξεως ἀπέστησαν, σπεύδοντες συμβαλεῖν ἐν ἴσῳ θυμῷ τοῖς Κελτοῖς, (καὶ γὰρ οὐχ ἧττον ἐκείνων περὶ τὰς μάχας καὶ οὗτοι ἐκθυμότεροί εἰσιν καὶ τῶν Κελτῶν ἐν τούτῳ τῷ μέρει μὴ ἀποδέοντες,) κεκοπιακότας τούτους ἤδη καὶ ἀσθμαίνοντας ὁ Ῥομπέρτος θεασάμενος, καὶ τοῦτο ἀπό τε τῆς ὀξείας κινήσεως, τοῦ τε διαστήματος βεβαιωθεὶς καὶ τοῦ ἄχθους τῶν C ὅπλων, τινὰς τῶν τούτου πεζῶν ἐπέσκηψε κατ' αὐτῶν εἰσπηδῆσαι. οἱ δὲ προκεκμηκότες ἤδη, μαλακώτεροι τῶν Κελτῶν ἐφαίνοντο. πίπτει γοῦν τὸ τηνικαῦτα τὸ βάρβαρον ἅπαν, καὶ ὁπόσοι τούτων ἐσώθησαν, περὶ τὸ τέμενος τοῦ ἀρχιστρατήγου Μιχαὴλ προσπεφευγότες, οἱ μὲν καὶ ὁπόσους ἐξεχώρει τὸ τέμενος ἐντός, εἰσῄεσαν, οἱ δὲ ἄνωθεν τοῦ τεμένους ἀνελθόντες εἱστήκεσαν, τὴν σωτηρίαν, ὡς ᾤοντο, ἐκεῖθεν πραγματευσάμενοι. οἱ δὲ Λατῖνοι πῦρ κατ' αὐτῶν ἀφέντες, σὺν τῷ τεμένει πάντας κατέκαυσαν. τὸ δέ γε λοιπὸν τῆς Ῥωμαϊκῆς φάλαγγος καρτερῶς πρὸς αὐτοὺς ἀπεμάχοντο. ὁ δὲ D Ῥομπέρτος καθάπερ τις πτερωτὸς ἱππότης σὺν ταῖς λοιπαῖς δυνάμεσι ἐλᾷ κατὰ τῆς Ῥωμαϊκῆς φάλαγγος καὶ ὠθεῖται ταύτην καὶ εἰς μέρη πολλὰ διασπᾷ. ἐντεῦθεν οἱ μὲν τῶν ἀντικειμένων ἐν αὐτῷ τῷ πολέμῳ μαχόμενοι πίπτουσιν, οἱ δὲ φυγῇ τὴν ἑαυτῶν ἐπραγματεύσαντο σωτηρίαν. ὁ δέ γε βασιλεὺς Ἀλέξιος καθάπερ τις πύργος ἀκλόνητος ἔμενε, κἂν V. 94

2. ξυμβαλεῖν P, alterum CAG. 4. τῷ : τὸ P. 8. τούτου add. AG. 10. τὸ prius add. A. 13. ἀνωτέρω A. 14. εἱστήκησαν PG, recte A. πραγματευσόμενοι PA, alterum CG. 19. κατὰ τῆς Ρωμαϊκῆς ἐλᾷ, omisso φάλαγγος PG, recte A. 22. γε add. A.

a Romanorum acie abessent, congredi properantes cum Gallis pari virtute, (non enim minus illi in proelio fortes sunt, nec Gallis ab ea parte quidquam concedunt,) Robertus, qui eos defatigatos iam et anhelantes conspiceret, eiusque rei et celeritas gradus et longitudo spatii et armorum pondus fidem facerent, peditum manum invadere eos iussit. atque illi iam defessi, a Gallis superantur. tum omnes caeduntur barbari, et si qui proelio elapsi erant, ii fuga templum Michaelis archistrategi petebant. quorum alii, quantum quidem aedes capere potuit, intrant, pars templi tectum ascendunt, ibi tutos se fore rati. verum Latini, igne immisso, ipsos cum templo concremarunt universos. interea reliqua Romanae aciei pars fortiter cum hoste pugnabant. sed Robertus, velut alatus quidam eques, cum reliquis copiis impetu in aciem Romanorum facto, urgebat eos dissipavitque. ibi adversariorum alii in ipso proelio occumbunt, alii fuga salutem petunt. imperator autem Alexius, veluti turris, immotus stabat, licet multos

πολλοὺς τῶν μετ' αὐτοῦ ἀποβεβλήκει ἀνδρῶν καὶ γένει καὶ πείρᾳ στρατιωτικῇ διαφερόντων. πεπτώκει γὰρ τὸ τηνικαῦτα ὁ Κωνστάντιος υἱὸς μὲν τοῦ προβεβασιλευκότος Κωνσταντί- p. 117 νου τοῦ Δούκα, οὐκ ἰδιωτεύοντος αὐτοῦ ἔτι ἀποτεχθείς, ἀλλ' ἐν πορφύρᾳ καὶ γεννηθεὶς καὶ τραφεὶς καὶ ταινίας τῷ τότε καιρῷ βασιλικῆς παρὰ τοῦ πατρὸς ἀξιωθείς· καὶ ὁ Νικηφόρος μὲν τὴν κλῆσιν, Συναδηνὸς δὲ τὴν ἐπίκλησιν καλούμενος, ἀνὴρ γενναῖος καὶ ὡραιότατος καὶ σφαδάζων πάντων ὑπερτερῆσαι κατὰ τὴν ἡμέραν ἐκείνην μαχόμενος· μεθ' οὗ ὁ ἤδη ῥηθεὶς Κωνστάντιος περὶ κήδους ἐπὶ τῇ ἰδίᾳ ἀδελφῇ πολλάκις ὡμίλει· ναὶ μὴν καὶ ὁ τοῦ Παλαιολόγου πατὴρ Νικηφόρος καὶ ἕτεροι τῶν ἐπιφανῶν· πλήττεται γὰρ καὶ ὁ Ζαχαρίας καιρίαν κατὰ τοῦ στέρνου καὶ τὴν ψυχὴν ἅμα τῇ πληγῇ ἐπαφίησι, καὶ ὁ Ἀσπιέτης καὶ πολλοὶ τῶν λογάδων. B τῆς δὲ μάχης μὴ διαλυομένης, ἐπεὶ τὸν βασιλέα ἑώρων ἔτι ἀντικαθιστάμενον, ἀποκριθέντες τινὲς τῶν Λατίνων τρεῖς, ἀφ' ὧν εἷς ὁ ἤδη ῥηθεὶς Ἀμικέτης ἦν, ὁ δὲ ἕτερος Πέτρος ὁ τοῦ Ἀλίφα, ὡς αὐτὸς ἐκεῖνος ἔλεγεν, ὁ δὲ τρίτος κατ' οὐδὲν τούτων ἐλάττων, ὅλους ῥυτῆρας ἐνδόντες τοῖς ἵπποις, δόρατα μακρὰ ἐναγκαλισάμενοι, κατ' αὐτοῦ ἵενται. καὶ ὁ μὲν Ἀμι-

2. πεπτώκει A, πέπτωκε P, πεπτώκασι G. τὸ add. A. 3. ὁ om. A. Κωνσταντῖνος hic et mox Wilken. Hist. Comn. p. 175. ὁ υἱὸς τοῦ προβασιλ. κωνσταντ. τοῦ δούκα, ὁ ἐν πορφύρᾳ γεννηθεὶς A. 6. ὁ om. CG. 8. καὶ ὡραιότατος om. CG. 11. ὁ τοῦ παλαιολόγου υἱὸς νικόλαος καὶ ὁ ἀμπίτης καὶ πολλοὶ τῶν λογάδων A. 13. Ζαχίας G. 14. Ἀσπιέτης C, Ἀσπέτης P, Ἀσπιώτης G. 17. εἷς om. G. ἕτερος add. A. ὁ ante τοῦ add. A. 20. ἵενται G.

suorum perderet, tum genere, tum usu rei militaris insignes. cecidit enim tum Constantinus, Constantini Ducae olim augusti filius, non privato quidem patre genitus, sed in purpura natus nutritusque et imperatoria tunc temporis a patre taenia ornatus. cecidit Nicephorus quoque, Synadenus cognomine, vir generosus et forma praestans, qui omnes illo die anteire fortitudine gestiverat: cum eo Constantinus, cuius modo mentionem feci, de nuptiis cum sorore saepe egerat. ipse etiam Palaeologi pater, Nicephorus, aliique ex illustribus occubuerunt. quippe Zacharias letali circa pectus ictu percussus, simul vulnus accepit, animam efflavit, itemque Aspietes et multi viri egregii. nondum autem proelio finito, cum imperatorem adhuc locum obtinentem cernerent, tres Latinorum, quorum unus Amicetes erat, de quo iam diximus, alter Petrus Aliphae filius, ut ipse affirmavit, tertius alius quidam, illis nequaquam inferior, admissis equis, longis armati hastis, in eum irruere. atque Amicetes quidem feriendo aberravit, declinante paululum equo; alterius hastam impe-

κέτης διημαρτήκει τοῦ βασιλέως, μικρὸν παρεκκλίναντος τοῦ ἵππου· τοῦ δ' ἄλλου τὸ δόρυ διὰ τοῦ ξίφους ὁ βασιλεὺς ἀπωσάμενος καὶ τονώσας τὴν χεῖρα, παίει τοῦτον κατὰ τὴν κλεῖδα καὶ τὴν χεῖρα τοῦ λοιποῦ ἀποτέμνει σώματος. ὁ δέ γε τρίτος πλήττει τοῦτον εὐθὺς κατὰ τὸ μέτωπον, ὁ δὲ φρενήρης C τε ὢν καὶ ἑδραῖος τὸν νοῦν, μηδὲν ὅλως συγχυθείς, γοργότητι γνώμης ἐν ἀσκέπτῳ χρόνῳ τὸ δέον συνείς, ὕπτιον ἅμα τῇ πληγῇ ἑαυτὸν ὡς ἐπ' οὐρὰν τοῦ ἵππου ἔθετο. καὶ εὐθὺς τὸν χρῶτα τοῦ σώματος μικρὸν παραξέσασα ἡ τοῦ ξίφους ἀκμή, περὶ τὴν ἀκωκὴν παραποδισθεῖσα τῆς κόρυθος καὶ τὸν συνέχοντα ταύτην ὑπὸ τὴν γένυν ἱμάντα διασπάσασα, ὦσε ταύτην εἰς γῆν. τηνικαῦτα δὲ ὁ μὲν Κελτὸς ἐκεῖνος παραθέει, ὃν ᾤετο κατακρημνίσαι τοῦ ἵππου, ὁ δ' εὐθὺς ὀρθωθείς, ἐπὶ τῆς ἐφεστρίδος ἑδραῖος ἐκάθητο, μηδὲν τῶν ὅπλων ἀποβαλών. ἀλλὰ καὶ γυμνὸν τὸ ξίφος κατέχων τῇ δεξιᾷ, D τῷ δὲ λύθρῳ τοῦ ἰδίου πεφοινιγμένος αἵματος, καὶ τὴν κεφαλὴν ἀπερικάλυπτον ἔχων καὶ τὴν πυρσὴν καὶ ἡλιῶσαν κόμην περιπλανωμένην ταῖς ὄψεσι καὶ διοχλοῦσαν αὐτόν· ὁ γὰρ ἵππος ταραττόμενος καὶ ἀποπτύων τοὺς χαλινοὺς καὶ φριμάσσων, ἀτακτότερον ἐμπίπτειν τῷ προσώπῳ τοὺς βοστρύχους παρεσκεύαζεν· ἀλλὰ καὶ ὣς ἑαυτὸν ἀνακαλεσάμενος, ὡς ἐνῆν, τοῖς

2. τοῦ prius : τῶν P. 5. εὐθὺς om. A. 6. συσχεθεὶς γοργότητι A. 10. ἀκοὴν P, ἀκωκὴν AG. παραταθεῖσα A. 11. ξυνέχοντα A. γένυν : ὀσφῦν A. ἐκσπάσας A. 12. ὦσε : ἀφῆκε A. ἐς G, ἐπὶ τὴν γῆν A. 13. δὲ A. εὐθὺς : αὖθις G. 15. καὶ om. G. κατέχει A. 18. πεπλανημένην G. διοχλοῦσαν P.

rator gladio repulit, et vehementem intorquens ictum, carpum percussit manumque a reliquo abscidit corpore; tertius imperatorem recta in fronte ferit. verum ille, quo erat praesenti ac firmo animo, nihil omnino confusus, ingenii dexteritate celerrime, quid opus esset, perspexit. itaque ubi venientem sensit ictum, supinum se in equi caudam reiecit; quo factum est, ut cute dumtaxat corporis leviter perstricta, cuspidis mucro ad summam offensus galeam, lorum, quo sub mento ea adstringitur, ruperit ipsamque in terram deiecerit. tum Gallus, excussisse se imperatorem equo ratus, praetervehitur; ille statim erectus, in sella firmiter insedit, nullis amissis armis. immo strictum manu tenens gladium, sanguine suo cruentatus, nudo capite, coma flava splendidaque oculis circumfusa, non sine molestia: nam equus efferatus et freni impatiens exsultando effecit, ut incomposite crines in frontem defluerent: tamen vel sic, ubi se, quantum poterat, revocavit ad seipsum, hostibus se obiecit. verum ubi etiam Turcas

ἐναντίοις ἀντικαθίστατο. ἐπεὶ δὲ καὶ τοὺς Τούρκους φεύγοντας ἑώρα καὶ αὐτὸν τὸν Βοδῖνον ἀπολέμητον ὑποχωροῦντα· ὥπλιστο γὰρ καὶ οὗτος καὶ εἰς πολέμου τύπον τὸ αὐτοῦ διατυπώσας στράτευμα, κατὰ ταυτηνὶ τὴν ἡμέραν ἵστατο, ὡς
P. 118 *ἐπαρήξων τάχα τῷ αὐτοκράτορι κατὰ τὰς πρὸς αὐτὸν γεγενημένας συνθήκας· ἐκαραδόκει δέ, ὡς ἔοικεν, ἵνα, εἰ μὲν τὴν ῥοπὴν τῆς νίκης τῷ αὐτοκράτορι δοθεῖσαν γνοίη, ἐπιτεθείη καὶ αὐτὸς τοῖς Κελτοῖς, εἰ δὲ τοὐναντίον, ἀτρεμήσῃ τε καὶ ὀπισθόπους γένηται· ταῦτα διαλογιζόμενος, ὡς ἐξ ὧν ἐπε-*
V. 95 *πράχει δῆλον, καὶ τὴν νικῶσαν ἀπάρτι τοὺς Κελτοὺς ἐγνωκὼς ἔχοντας, ἄγευστος πολέμου τὸ παράπαν, οἴκαδε ἐπαναδεδραμήκει· ὁ δὲ αὐτοκράτωρ ταῦτα θεασάμενος καὶ μη-*
B *δένα τὸν αὐτῷ ἐπαμύνοντα βλέπων, τὰ μετάφρενα καὶ αὐτὸς τηνικαῦτα δίδωσι τοῖς ἐναντίοις. καὶ οὕτως ἐδίωκον οἱ Λατῖνοι τὸ Ῥωμαϊκὸν στράτευμα.*

7. *Ὁ δὲ Ῥομπέρτος καταλαβὼν τὸ τέμενος τοῦ ἁγίου Νικολάου, ὅπου καὶ ἡ βασιλικὴ σκηνὴ καὶ ἅπασα ἡ σκευὴ τοῦ Ῥωμαϊκοῦ στρατεύματος, ὁπόσους εὐσθενεῖς εἶχε, τὸν βασιλέα διώκειν ἐκπέπομφεν, αὐτοῦ που αὐτὸς ἐγκαρτερῶν, φανταζόμενος τὴν τοῦ αὐτοκράτορος κατάσχεσιν. τοιοῦτοι γὰρ λογισμοὶ τούτου τὸ ὑπέρογκον ἐξέκαιον φρόνημα. οἱ δὲ εὐψύχως μάλα τοῦτον ἐδίωκον μέχρι τόπου τινὸς παρὰ τῶν*

1. *ἀντικαθιστᾷ* A. 3. *τόπον* CG. 5. *τὰς* om. G. 11. *τοῦ πολέμου* G. *τὸ* om. G. 12. *καὶ ὡς μηδένα* PA, *ὡς* om. CG. 13. *ἐπαμύνων* G. 19. *αὐτοὺς ἐγκαρτεροῦντας* A. 22. *παρὰ τῶν ἐγχωρίων* : *ἐγχωρίως* A.

fugientes vidit et ipsum Bodinum, pugna haud tentata, recedentem, (erat enim hic quoque in armis, et proelii more agmine suorum instructo, ita se gesserat hoc die, tanquam auxilium imperatori iam iamque ex pacto laturus; sed morabatur aperte, ut, si victoriam ad imperatorem se inclinare cerneret, Gallos et ipse aggrederetur; sin minus, pugnando abstineret seque reciperet: qui cum talia, ut re ipsa apparuit, animo agitaret, simulac victoriam in Gallorum manibus esse intellexit, proelii omnino expers, domum se proripuit,) ubi igitur haec imperator vidit, seque destitutum plane ab omnibus cognovit, tergum et ipse tandem hostibus dedit. sicque Latini exercitum Romanum persequebantur.

7. Postquam Robertus S. Nicolai templum occupavit, ubi praetorium omniaque Romani exercitus supellectilia erant, valentissimos quos habebat milites ad insequendum imperatorem misit, dum ipse ibidem permanet, fore ut imperator caperetur, sperans. quales cogitationes spiritus eius atque arrogantiam alebant. illi strenuissime

ἐγχωρίων καλουμένου Κακὴ Πλευρά. ἡ δὲ τούτου θέσις πο- C ταμὸς ῥέων κάτωθεν ὁ Χαρζάνης καλούμενος, ἔνθεν δὲ ὑπερκειμένη πέτρα ὑψηλή. ἀναμεταξὺ δὲ τούτων φθάνουσιν αὐτὸν οἱ διώκοντες· οἳ καὶ παίουσιν αὐτὸν κατὰ τὴν ἀριστερὰν πλευρὰν διὰ τῶν δοράτων, (ἐννέα δὲ ἦσαν ξύμπαντες,) καὶ ἐπὶ τὰ θάτερα κλίνουσι. τάχα δ' ἂν καὶ ἐπεπτώκει, εἰ μὴ τὸ ξίφος, ὃ τῇ δεξιᾷ κατεῖχε χειρί, ἔφθασεν ἐναπερεισθῆναι τῇ γῇ. ναὶ μὴν καὶ ἡ τοῦ μύωπος ἀκμὴ τοῦ ἀριστεροῦ ποδὸς ἐνδακοῦσα τὸ ἄκρον τῆς ἐφεστρίδος, ὃ ὑπόστρωμα λέγουσιν, ἀκλινέστερον τὸν ἱππότην ἐποίει. καὶ αὐτὸς δὲ τῇ λαιᾷ τῆς χαίτης δραξάμενος τοῦ ἵππου, ἀνεῖχεν ἑαυτόν. βοηθεῖται D μέντοι ἐκ θείας τινὸς δυνάμεως, σωτηρίαν παρ' ἐχθρῶν αὐτῷ κομιζούσης παραδόξως. ἀναφύει γὰρ δεξιόθεν ἄλλους Κελτοὺς τὰ δόρατα πρὸς ἐκεῖνον ὀρθώσαντας· οἳ καὶ τὰ ἄκρα τῶν δοράτων κατὰ τὴν δεξιὰν πλευρὰν ἐμβαλόντες, ὤρθωσάν τε ἀθρόον τὸν στρατιώτην καὶ εἰς τὸ μέσον κατέστησαν. καὶ ἦν ἰδεῖν θαῦμα παράδοξον. οἱ μὲν γὰρ ἐξ εὐωνύμων P. 119 ἀνατρέπειν ἠπείγοντο, οἱ δὲ ἐκ τῶν δεξιῶν τὰ δόρατα τῇ πλευρᾷ πήξαντες, ὥσπερ τοῖς πρώην ἐναντιούμενοι καὶ ἀντε-

1. κακὴ C. 2. ἔνθεν δὲ : ἔνδοθεν A. 5. δ' G. ἦσαν om. C. 6. τὰ add. A. 7. κατέσχε A. 9. λέγουσιν A, λέγουσι PG. 10. ἀκλινέστερον CA, κλινέστερον PG. 11. δραξάμενος τοῦ ἵππου AG, τοῦ ἵ. δραξάμενος P. 12. μέντοι : μὲν CG. παρ' : ἐξ CG. 13. κομιζούσης αὐτῷ G. ἀνεφίει G, ἀνεφύει A, ἀναφύει P. γὰρ : μὲν A. 15. ἐκβαλόντες G. 16. ἀθρόως C. 19. τοῖς πρώην : αὐτοῖς πάλιν A. ἀντερείδοντες — δόρατα : ἀντιβάλλοντες δεξιόθεν τὰ δόρατα A.

imperatorem persequebantur usque ad locum, quem incolae Caceopleura vocant. cuius loci hic situs est: fluit infra qui Charzanes appellatur amnis; hinc alta imminet rupes. inter utrumque imperatorem deprehendunt hostes insectantes; qui quidem laevum eius latus hastis percutiunt, (novem omnino erant,) et in dextram partem eum inclinant. deiecissentque fortasse equo, nisi ensis, quem dextra tenebat, solo innisus eum sustinuisset. etiam calcaris laevi aculeus, extremo strato, quod substramen dicitur, implicitus, firmius equo inhaerentem reddidit. atque adeo ipse, laeva manu equi correpta iuba, sese sustinebat. quanquam servatus est ope quadam divina, quae salutem ei ab hostibus praeter spem attulit. immisit enim a dextra alios Gallos, qui cum imperatorem hastis peterent easque dextro eius lateri applicarent, erigebant repente illum et in medio strato collocabant. ac spectaculum erat miraculi plenum. nam a laeva alteri deiicere nitebantur, alteri, dextro lateri hastis infixis, dum illis quasi adversantur

ρείδοντες δόρασι δόρατα, ἐπ' ὀρθοῦ σχήματος τὸν βασιλέα ἐποίησαν. ἑδράσαντος δὲ ἑαυτὸν γενναιότερον καὶ συσφίγξαντος περιβάδην τὸν ἵππον ὁμοῦ καὶ τὴν ἐφεστρίδα, τηνικαῦτα γίνεταί τι τῆς γενναιότητος ἐκείνου τεκμήριον. ὁ γὰρ ἵππος ἄλλως μὲν καὶ θερμότατος ὢν καὶ ὑγροσκελής, ἄλλως δὲ καὶ B ἀθλητικώτατος καὶ πολεμικός, (ἔφθη γὰρ ὅπου τοῦτον ἀναλαβέσθαι τοῦ Βρυεννίου μετὰ τῆς ἐρυθροβαφοῦς ἐφεστρίδος, ὁπότε τοῦτον εἷλεν ἐν τῷ καιρῷ τῆς μάχης, βασιλεύοντος ἔτι Νικηφόρου τοῦ Βοτανειάτου,) τὸ δὲ ὅλον εἰπεῖν, ὑπὸ θείας προνοίας ἐμπνευσθείς, πάλλεταί τε εὐθὺς καὶ διαέριος γίνεται καὶ ἐπ' ἄκρου τῆς εἰρημένης πέτρας ἐφίσταται, ὥσπερ ὑπόπτερος κουφισθεὶς καί, τοῦτο δὴ τὸ τοῦ μύθου, Πεγάσου πτερὰ λαβών· Σγουρίτζην τουτονὶ τὸν ἵππον ὁ Βρυέννιος C ὠνόμαζεν. τὰ δὲ τῶν βαρβάρων δόρατα, ὥσπερ κενεμβατήσαντα τὰ μὲν καὶ τῶν χειρῶν τούτων ἐξέπεσον, τὰ δὲ διαπεπαρμένα τοῖς μέρεσι τοῦ ἐσθήματος τοῦ βασιλέως ἐναπομείναντα, μετεωρισθέντα τῷ ἵππῳ συνηκολούθησαν. ὁ δὲ V. 96 εὐθὺς ἀποκόπτει τὰ ἐπαγόμενα δόρατα. καὶ οὔτε τεθορύβηται τὴν ψυχὴν ἐν τοσούτοις δεινοῖς καταστάς, οὔτε συνεθολώθη τοὺς λογισμούς, ἀλλὰ ταχὺ τοῦ συνοίσοντος γίνεται καὶ τὸ παράδοξον ἐκ μέσου αὐτῶν ποιεῖται. οἱ δέ γε Κελτοὶ

2. ἐδράσαντες G. ἑαυτὸν : αὐτοῦ A. 4. τι om. CAG. 5. καὶ tertium add. AG. 9. τοῦ Βοταν. Νικηφορου G, τοῦ Βοτανιάτου omisso Νικηφόρου A. 10. ὑπάλλεταί AG. lege ὑφάλλεται. 12. τὸ : τὰ G. τοῦ μύθου A, τῶν μύθων PG. 13. τὸν ἵππον ὠνόμαζον A, ὠνόμαζεν ὁ Βρυέννιος G. 15. καὶ om. A. 16. μέλεσι τοῦ βασιλέως AG. 19. τοιούτοις G. 21. αὐτῶν AG, ἑαυτὸν P.

et hastis hastas obiiciunt, imperatorem erectum constituebant. qui ubi in sede se certius firmavit et equum pariter ac stratum feminibus constrinxit, fortitudinis documentum ab illo editum est. etenim equus, cum ceteroquin et perfervidus esset firmisque cruribus, et plane aptus ad belli certamina, (acceperat eum a Bryennio quondam cum purpureo ephippio, cum is in proelio captus esset, Nicephoro Botaniate etiam tum imperatore,) divina denique providentia inflammatus, subsilit repente in altum et in summa rupe, cuius modo meminimus, insistit, velut volucris sublatus atque, ut in fabula est, Pegasi alas nactus: Sguritzem hunc equum Bryennius nominaverat. barbarorum hastae, partim in vanum coniectae, horum manibus excidebant, aliae infixae vestimentis imperatoris inhaerentesque, sublime una cum equo ferebantur; quas ille statim excussit. ac licet in tanto discrimine versaretur, tamen nec perturbatus animo erat, nec consilii inops, sed statim, quod facto opus erat, aggressus, miraculum e medio amolitur.

κεχηνότες εἱστήκεσαν, τὸ γεγονὸς ἐκπληττόμενοι· καὶ γὰρ ἦν ἐκπλήξεως ἄξιον· θεασάμενοι δὲ τοῦτον ἐφ' ἑτέραν τραπέντα, καὶ αὖθις ἐδίωκον. ὁ δὲ ἐπὶ πολὺ νῶτα τοῖς μεταδιώκουσι στρατιώταις διδούς, στρέψας τὸν χαλινὸν καὶ συναντήσας ἑνὶ τῶν διωκόντων, διελαύνει τὸ δόρυ τοῖς στέρνοις. D ὁ δὲ τηνικαῦτα εἰς γῆν ὕπτιος ἔκειτο. ὁ δὲ βασιλεὺς αὖθις τὰς ἡνίας στρέψας, εἴχετο τῆς προτέρας ὁδοῦ. συναντᾷ τοίνυν ἀπὸ τῶν ἔμπροσθεν διωκόντων τὰς Ῥωμαϊκὰς δυνάμεις Κελτοῖς οὐκ ὀλίγοις· οἱ δὲ πόρρωθεν τοῦτον θεασάμενοι, συνησπικότες ἔστησαν, τούς τε ἵππους ἀναψῦξαι βουλόμενοι, ἅμα δὲ καὶ ζωγρῆσαι τοῦτον ἐθέλοντες κἀντεῦθεν ὥσπερ τι λάφυρον τῷ Ῥομπέρτῳ κομίσαι. ὁ δὲ ἅμα μὲν τοὺς ὄπισθεν φεύγων διώκοντας καὶ τοὺς ἔμπροσθεν θεασάμενος, ἀπεγνώκει τὰς σῴζούσας ἐλπίδας. συλλεξάμενος δὲ ἑαυτόν, ἐπεὶ P. 120 τῶν ἄλλων μέσον τινὰ ἐθεάσατο, ἀπό τε τοῦ σώματος καὶ τῆς τῶν ὅπλων ἀποπαλλομένης αἴγλης τὸν Ῥομπέρτον εἶναι νομίσας, καταστήσας τὸν ἵππον, κατ' αὐτοῦ φέρεται· κἀκεῖνος δ' ἐκεῖθεν, πρὸς αὐτὸν τὸ δόρυ εὐθύνας. καὶ μέντοι γε καὶ συνελάσαντες ἄμφω κατὰ τὸ μεταίχμιον, κατ' ἀλλήλων ἵενται. πρότερος δὲ ὁ αὐτοκράτωρ διιθύνας τὴν χεῖρα, παίει τοῦτον διὰ τοῦ δόρατος· τὸ δὲ αὐτόθεν διὰ τῶν μαζῶν εἰς

1. εἱστήκεσαν A, εἱστήκησαν PG. 3. τὸ πολὺ A. 4. τοὺς χαλινοὺς AG. 6. αὖθις: εὐθὺς G. 11. κἀντεῦθεν: καὶ A. 13. διώκοντας φεύγων A. 14. ἐπεὶ A, ἐπὶ PG. 17. φέρεται: φαίνεται A. 18. τὸ δόρυ om. A. γε om. A. 19. μεταίχμιον AG, μεσαίχμιον P. ἵενται P, recte AG. 20. πρότερος A, πρότερον PG..

Galli hiantes stabant, re haud immerito perculsi; mox altrorsum fugientem conspicati, rursus insequuntur. verum ille, postquam diu insequentibus militibus terga dedit, versis habenis, uni instantium occurrit, et pectus hasta transfixit. is statim supinus humi procubuit. at imperator, converso rursus equo, eodem quo antea itinere perrexit. nec paucis obviam fit Gallis, qui Romanas copias ulterius persecuti erant; qui ut procul eum conspexere, confertim subsistunt, ut et equis paullulum quietis darent, et vivum Alexium caperent, captumque veluti spolium ad Robertum adducerent. ibi tum imperator, qui et persequentes a tergo hostes fugeret, et obviam a fronte factos cerneret, de salute desperavit. sed animo collecto, cum in hostium globo quempiam animadvertisset, quem et proceritate corporis et armorum fulgore Robertum esse suspicabatur, recta eum equo petit. idem alter facit, hastam in Alexium torquens. ita in medio concurrunt ambo seque invicem aggrediuntur. prior imperator, directa manu, percutit eum hasta, quae illico per pectus in dorsum traiicitur.

τὰ μετάφρενα διεκβάλλεται. καὶ τὸν μὲν βάρβαρον αὐτίκα B εἶχεν ἡ γῆ· εὐθὺς δὲ τοῦτον ἀφῆκε καὶ ἡ ψυχή, τῆς τρώσεως καιρίας γεγενημένης. καὶ τοῦ λοιποῦ ὁ βασιλεύς, διασχισθείσης τῆς φάλαγγος, διὰ μέσων αὐτῶν ἐξιππάσατο, ἄδειαν ἑαυτῷ ἐφευράμενος τὴν σφαγὴν τοῦ βαρβάρου τούτου. οἱ δ' εὐθὺς τὸν τρωθέντα εἰς γῆν ἐρριμμένον θεασάμενοι, περιχυθέντες τῷ κειμένῳ, περὶ αὐτὸν διεπονοῦντο. καὶ οἱ ὄπισθεν δὲ τὸν βασιλέα διώκοντες τούτους θεασάμενοι, ἀποβάντες τῶν ἵππων καὶ γνωρίσαντες τὸν ἄνδρα, ἐκόπτοντο ὀλολύζοντες. ἀλλ' ὁ Ῥομπέρτος μὲν οὐκ ἦν, ἕτερος δὲ τῶν ἐπιφανῶν καὶ ὁ τούτου δεύτερος. τούτων δὲ ἀσχολουμένων, ὁ βασιλεὺς ἐπὶ τὰ πρόσω τὴν πορείαν ἐπεποίητο.

8. Ἀλλ' ἔγωγε μεταξὺ τῶν λόγων ἐπελαθόμην τὸ μὲν C διὰ τὴν φύσιν τῆς ἱστορίας, τὸ δὲ καὶ διὰ τὴν τῶν πραγμάτων ὑπερβολήν, ὅτι πατρὸς κατορθώματα γράφοιμι. μηδὲ γὰρ βουλομένη τὴν ἱστορίαν ὕποπτον θεῖναι, πολλάκις παρατρέχω τὰ τοῦ πατρός, μήτε αὔξάνουσα, μήτε πλάτος περιτιθεῖσα. εἴθε γὰρ ἐλευθέρα ἦν τοῦ πάθους τούτου τοῦ πατρικοῦ καὶ ἀπόλυτος, ἵνα καθάπερ ὕλης ἀμφιλαφοῦς δραξαμένη, τὴν σοβάδα γλῶσσαν ἐνεδειξάμην, ὁπόσην ἔχει περὶ τὰ

2. εἶχε γῆ A, εἶχεν γῆ P, εἶχε ἡ γῆ G. δὲ A, γὰρ PG. ἀφῆκεν ἡ G, ἀφῆκεν καὶ ἡ P, recte A. 3. ὁ βασιλεὺς τοῦ λοιποῦ G. 5. ἑαυτῷ A, αὐτῷ PG. τούτου om. A. 6. δὲ G. 7. διαχυθέντες A. τῷ add. A. διεπονοῦντο : κατεθρηνοῦντο A. ἀλλὰ καὶ A. 8. δὲ add. C. 12. πεποίητο A. 14. καὶ om. CG. 16. μετατρέχω CG. 17. πλάτος : πάλιν CG. περιτιθεῖσα C, περιτεθεῖσα PG.

statim humi barbarus prostratus, animam efflat, gravi accepto vulnere. mox divisa imperator phalange, per medios ferebatur hostes, opportunitatem ex barbari istius nece nactus. nam illi ut vulneratum et humi stratum conspexere commilitonem, accurrebant et in iacente occupati erant. nec qui a tergo imperatorem persequebantur, cum hos vidissent, non descenderunt equis agnitumque planxerunt ululantes. quanquam Robertus non erat, verum nobilium unus et a Roberto secundus. sic igitur istis occupatis, imperator iter porro perrexit.

8. Verum ego, dum haec narro, oblita sum et propter historiae naturam et propter facinora inaudita, patris me res gestas describere. etenim ne historiae fidem suspectam reddam, saepe transcurro, quae de patre narranda sunt, nec exaggerans ea, nec copiose tractans. quod utinam vacua essem ab hoc erga parentem affectu et soluta! certe in amplissimo veluti campo libere excurrens, quantum oratio mea in tractandis rebus praeclare gestis usum habeat, probassem. nunc

καλὰ τὴν οἰκείωσιν. ἐπηλυγάζει δέ μου τὸ πρόθυμον ἡ φυσικὴ D στοργή, μή πως δόξαιμι τοῖς πολλοῖς ὑπὸ προθυμίας V. 97 τοῦ λέγειν περὶ τῶν κατ' ἐμαυτήν, τερατολογίας παρέχειν ὑπόληψιν. καὶ γὰρ ἂν πολλαχοῦ τῶν κατορθωμάτων τῶν πατρικῶν μεμνημένη, καὶ τὴν ψυχὴν αὐτὴν ἀπεστάλαξα, ξυγγράφουσά τε καὶ διηγουμένη, ἐν ὁπόσοις κακοῖς περιπέπτωκε, P. 121 καὶ οὐδ' ἄνευ μονῳδίας καὶ θρήνου τὸν τόπον παρῆλθον. ἀλλ' ἵνα μὴ ῥητορεία κομψή τις ἢ κατὰ τὸ μέρος ἐκεῖνο τῆς ἱστορίας, ὥσπερ τις ἀπαθὴς ἀδάμας καὶ λίθος, παρατρέχω τὰς τοῦ πατρός μου ξυμφοράς. ἅπερ ἔδει κἀμὲ καθάπερ ἐκεῖνον τὸν Ὁμηρικὸν νεανίσκον εἰς ὅρκον προφέρειν (οὐδὲ γάρ εἰμι χείρων ἐκείνου τοῦ λέγοντος "οὐ μὰ Ζῆν', Ἀγέλαε, καὶ ἄλγεα πατρὸς ἐμεῖο") πρὸς τὸ εἶναι καὶ λέγεσθαι φιλοπάτωρ. ἀλλὰ τὸ μὲν πάθος τὸ πατρικὸν ἐμοὶ μόνῃ καταλελείφθω καὶ θαυμάζειν καὶ ὀλοφύρεσθαι, τὰ δὲ τῆς ἱστορίας B ἐχέσθω. μετὰ ταῦτα οἱ μὲν Κελτοὶ τῆς πρὸς τὸν Ῥομπέρτον ὁδοῦ φερούσης εἴχοντο. ὁ δὲ κενοὺς τούτους θεασάμενος, πυθόμενός τε τὰ τούτοις συμπεσόντα, πάντας μὲν μεγάλως κατῃτιᾶτο, ἕνα δὲ τούτων ἔκκριτον καὶ μαστίζειν ἠπείλει, ἄνανδρόν τε ἀποκαλῶν καὶ ἀπειροπόλεμον· καὶ ὅτι μὴ καὶ αὐτὸς ἐπὶ τῆς πέτρας μετὰ τοῦ ἵππου ἀνέθορε, καὶ τὸν

1. ἐπηλυγάζει C, ἐπιλυγάζει PG. 5. ἀπεστάλαξα C, ἐπεστάλαξα PG. 6. πόσοις CG. κακοῖς C et in margine P, καιροῖς PG. 8. ἵνα ἡ τορεία G. ἐκεῖνο om. G. 10. μου om. C. 17. θεασάμενός τε καὶ τὰ συμπεσόντα A. 19. ᾐτιᾶτο μὲν πάντας μεγάλως A. τῶν τούτων A. 21. τὴν πέτραν A.

coercet hanc animi propensionem naturalis amor, ne forte multitudini videar, domesticas res celebrandi cupiditate fabulosae narrationis praebere suspicionem. ac si frequenter ea, quae pater meus bene gessit, commemorarem, lacrimis confecta essem in describendis tantis malis, quibus ille circumventus est; nec vero etiam sine lamentis luctuque locum praetermisissem. verum ne oratorius quidam fucus illam historiae partem adulteret, veluti adamas durus aut silex, patris mei casus transcurro; quos quidem etiam me, ut Homericum illum iuvenem, ad iusiurandum (nec enim deterior sum illo, qui ait "non per Iovem, Agelae, et per patris mei mala") adhibere oportebat, quo patris amans et essem et dicerer. sed casus paterni mihi soli relinquantur et admirandi et deplorandi; in sequentibus autem historiam enarrare pergam. postea Galli ad Robertum rediere. qui ubi vacuos eos conspexit, et quae ipsis acciderant audivit, cum omnes vehementer obiurgavit, tum unum inter ceteros insignem etiam flagris se caesurum esse minabatur, ignavum reique bellicae imperitum eundem dicens. atque

βασιλέα Ἀλέξιον ἢ κρούσας ἀνεῖλεν ἢ δραξάμενος ζῶντα ἤγαγε, τὰ πάνδεινα πάσχειν ᾤετο. ἦν γὰρ ὁ Ῥομπέρτος οὗτος C *τἄλλα μὲν εὐψυχότατός τε καὶ φιλοκινδυνότατος, πικρίας δὲ ὅλος ἄνθρωπος, καὶ ἐν ῥισὶν ἐπικαθήμενον ἔχων τὸν χόλον καὶ τὴν καρδίαν μεστὴν θυμοῦ καὶ ὀργῆς ἔμπλεων, καὶ οὕτως ἔχων περὶ τοὺς πολεμίους, ὡς ἢ τὸν ἀντικαθιστάμενον διαπεῖραι τῷ δόρατι, ἢ ἑαυτὸν διαχρήσασθαι, παρὰ τὸν Μοιραῖόν, φησι, κλωστῆρα ἀπαλλαττόμενος. ὁ μέντοι στρατιώτης ἐκεῖνος, ὃν ὑπ' αἰτίαν ὁ Ῥομπέρτος ἦγε, τό τε ἀνεπίβατον καὶ ὀξὺ τῆς πέτρας μάλα σαφῶς διηγεῖτο, καὶ ὅτι εἰς τὸ μετεωρότατον ὁ τόπος ἐπῆρτο, καὶ ὡς ἡ πέτρα ὀξεῖα ἦν καὶ ἀκροσφαλής, καὶ ὡς οὐδένα οὐ πεζόν, οὐχ ἱππότην ἐπιβῆναι ταύτης δυνατὸν ἄνευ θείας τινὸς μηχανῆς, μὴ ὅτι γέ τινα πο-* D *λεμούμενον καὶ μαχόμενον, ἀλλ' οὐδ' ἄνευ πολέμου τινὸς εἶναι δυνατὸν ἀποπειρᾶσθαι τῆς πέτρας. "εἰ δέ μοι" φησι "καὶ διαπιστοίης, ἐπιχειρήσας ἢ αὐτὸς σὺ ἤ τις ἄλλος τῶν ἱπποτῶν ὁ θαρραλεώτατος, τῶν ἀμηχάνων αἰσθήσεται. εἰ δ' οὖν, ἀλλ' εἴ τις ἀναφανεῖται τῆς πέτρας περιγενόμενος, μὴ ὅτι γε ἄπτερος, ἀλλὰ καὶ ὑπόπτερος ὤν, ἕτοιμος αὐτὸς πᾶν ὅ τι δεινὸν ὑποστῆναι καὶ ἀνανδρίαν καταχριθῆναι." ταῦτα εἰ-* P. 122 *πὼν μετὰ θαύματος καὶ ἐκπλήξεως ὁ βάρβαρος τὸν ἐπίχολον Ῥομπέρτον κατέστειλέ τε καὶ εἰς θαῦμα ἐκίνησεν ἀφέμενον*

1. *ἀνήγαγε* CG. 4. *ἐν* C, *ἐπὶ* PG. 9. *αἰτίασιν* CG. 12. *ἀκροσφαλὴς* G, *ἀκροφαλὴς* P. 12. *οὐχ* : *χχ* G. 15. *μοί* : *μή* A. *καὶ* om. AG. 16. *ἢ αὐτὸς* : *καὶ αὐτὸς* G. *ἄλλος τις* A. 19. *ὅ τι* : *εἶτι* C. 20. *δεινὸν* : *δυνατὸν* CG. *ἀνανδρίαν* C, *ἀνανδρίας* PG. 22. *τε* om. G.

is, quod non et ipse in saxum cum equo insiluisset, nec imperatorem Alexium sive ictu trucidasset, sive vivum adduxisset captum, gravissima quaeque passurus sibi videbatur. erat quippe Robertus cum fortissimus et maxime temerarius, tum praecipue ad saevitiam proclivis, et naribus quasi insidentem iram habebat animumque iracundiae ac stomachi plenum, atque ita se in hostes gerebat, ut aut adversarium hasta transfigeret, aut ipse sibi mortem consciseret, Parcarum, ut aiunt, filo vel contra fatum rupto. sed miles ille, in quem culpam Robertus conferebat, quam praerupta atque praeceps rupes illa esset, clare exponebat; altissime locum exsurgere, rupem summa proclivitate esse, neque quenquam, nec peditem nec equitem, sine divina quadam machina ascendere in eam posse, et tantum abesse, ut pugnanti et lacessito id contingat, ut ne extra quidem proelium rupes superari queat. "quod si mihi, inquit, fidem non habes, vel tu ipse vel alius quidam equitum audacissimus cum expertus fuerit, id nullo modo fieri posse senties; sin quis erit, qui in verticem rupis enita-

τοῦ ὀργίζεσθαι. ὁ δὲ βασιλεὺς τοὺς ἑλιγμοὺς τῶν παρακειμένων ὀρῶν καὶ πᾶσαν τὴν δύσβατον ἀτραπὸν ἐν δυσὶ νυχθημέροις διεξελθὼν, καταλαμβάνει τὴν Ἀχρίδα. ἐν δὲ τῷ μεταξὺ τὸν Χαρζάνην διελθὼν καὶ μικρὸν περὶ τὴν καλουμένην Βαβαγορὰν ἐγκαρτερήσας, (τέμπος δ' αὐτὴ δύσβατόν ἐστι,) μήθ' ὑπὸ τῆς ἥττης, μήθ' ὑπὸ τῶν ἄλλων τοῦ μόθου κακῶν τὸν νοῦν συγχυθείς, μήθ' ὑπὸ τῆς κατὰ τὸ μέτωπον τοῦ τραύματος ὀδύνης ὑποχαλάσας, κἂν τὰ ἐντὸς ὑπὸ τῆς B
λύπης τῶν ἐν τῇ μάχῃ πεπτωκότων καὶ μᾶλλον τῶν γενναίως V. 98
ἀγωνισαμένων ἀνδρῶν ἐξεφλέγετο· ἀλλ' ὅμως ὅλος τῆς πόλεως ἦν Δυρραχίου καὶ ταύτης ἐμέμνητο, ἀχθόμενος ὅτι ἄτερ ἡγεμόνος καταλέλειπτο, τοῦ Παλαιολόγου διὰ τὴν ὀξεῖαν συμβολὴν τοῦ πολέμου μὴ δυνηθέντος ἐπαναστρέψαι. καί, ὡς ἐνόν, τοὺς κατ' αὐτὴν ἠσφαλίσατο καὶ τὴν τῆς ἀκροπόλεως φρουρὰν τοῖς ἐκκρίτοις Βενετίκοις τῶν ἐκεῖσε ἀποίκων ἀνέθετο, τὴν δέ γε ἐπίλοιπον πᾶσαν πόλιν τῷ ἐξ Ἀρβανῶν ὁρμωμένῳ Κομισκόρτῃ, τὰ συνοίσοντα διὰ γραμμάτων ὑποθέμενος.

5. Βαρβαγορὰν G. lege αὕτη. 6. τῶν add. G. τοῦ μόθου om. CG. 9. τῇ om. G. 11. καὶ ὅτι A. 13. ἐπαναστρέψαι μὴ δυνηθέντος A. 14. ἐξὸν CG. τῆς om. CG. 16. Ἀβρανῶν G. 17. κομησκόρτῃ G.

tur, non modo alarum expers, sed etiam alatus, non recuso, quin supplicium quantumvis acerbum patiar ignaviaeque condemner." quae cum mirabundus reique novitate stupens barbarus dixisset, Roberti iram placavit et in admirationem vertit. at imperator adiacentium montium flexus difficillimo duorum dierum totidemque noctium itinere emensus, Achridem pervenit. in quo itinere cum Charzanem fluvium traiecisset et paullulum in valle invia, quae Babagora dicitur, commoraretur, nec clade ceterisque proelii incommodis perturbatus, nec dolore accepti in fronte vulneris afflictus, quamvis intimo luctu suorum, qui in pugna ceciderant, eorum praesertim, qui strenue dimicaverant, premeretur, tamen totum in Dyrrhachio urbe animum occuparat sollicitusque erat, quod praeside careret. etenim Palaeologo propter pugnam amissam eo reverti non licuerat. itaque, quantum poterat, incolas confirmavit, atque arcis custodiam Venetorum qui ibi erant colonorum primoribus mandavit, reliquam urbem Comiscortae ex Albanis oriundo tradidit, et quae facienda viderentur, per litteras significavit.

ΑΛΕΞΙΑΣ Ε.

ALEXIADIS LIBER V.

ARGUMENTUM.

Dyrrhachium Roberto se dedit. Alexius Deaboli suos colligit. ad militem parandum, in summa aerarii inopia, pecuniam sibi, quacunque ratione possit, procurari iubet (1). *Isaacius sebastocrator, convocata synodo, obtinet, ut vasa sacra, quorum nullus esset usus, in publicum conferantur. inde vehemens Leonis Chalcedonensis episcopi erga imperatorem odium et insolentia* (2). *Robertus, ubi Henricum, ab Alexio arcessitum, Longibardiam invasurum cognovit, Boëmundo relicto, in Italiam redit. una cum papa in Henricum movet, qui tamen, audita Alexii clade, domum se recipit* (3). *interim Boëmundus, in Illyrico bellum urgens, Iohanninam occupat. Romanos proelio bis fundit* (4). *Alexius, Cpolim reversus, Turcarum auxilia advocat. Boëmundus Larissam obsidet, Leone Cephala fortiter propugnante. imperator auxilio venit* (5). *structis insidiis, ipse castra Gallorum expugnat* (6). *sed altero die Michaelis Ducae imprudentia minus prospere res cedit. comites Galli, ab Alexio tentati, Boëmundum Aulonem recedere cogunt* (7). *imperator Cpolim revertitur. ecclesia erroribus Iohannis Itali turbata. eius hominis ortus, studia, mores* (8). *anathemati Alexii iussu subiectus, mox ad frugem bonam redit* (9).

P. 125 1. Ὁ μέντοι Ῥομπέρτος ἀμεριμνήσας παντάπασι, τὴν
V. 101 λείαν πᾶσαν καὶ τὴν βασιλικὴν σκηνὴν ἀφελόμενος, τροπαιο-

1. Robertus animo plane securo, praeda omni et imperatorio tabernaculo potitus, victoria reportata exsultans planitiem repetiit,

φόρος καὶ γαυριῶν τὴν πεδιάδα κατέλαβεν, εἰς ἣν πρότερον ηὐλίζετο, τὸ Δυρράχιον πολιορκῶν. καὶ μικρὸν διαναπαυσάμενος ἐβουλεύετο, εἰ χρὴ αὖθις ἀποπειρᾶσθαι τῶν τούτου τειχῶν, ἢ τὴν μὲν πολιορκίαν εἰς τὸ ἐπιὸν ἔαρ παραφυλάξασθαι, τὸ παρὸν δὲ τὴν Γλαβινίτζαν καταλαβεῖν καὶ τὰ Ἰωαννίνα, κἀκεῖσε παραχειμάσαι, καταθέμενον τὸ ὁπλιτικὸν ἅπαν εἰς τὰ ὑπερκείμενα τέμπη τῆς πεδιάδος Δυρραχίου. οἱ δ' ἐντὸς Δυρραχίου, καθάπερ ὁ λόγος ἐδήλωσεν, ἐπεὶ οἱ B πλείους ἀπὸ Μέλφης καὶ Βενετίας ἦσαν ἄποικοι, τὰ ξυμπεσόντα τῷ αὐτοκράτορι μεμαθηκότες, καὶ τὴν τοσαύτην ἀνδροκτασίαν καὶ τὴν τῶν τηλικούτων ἀνδρῶν σφαγήν, καὶ τοὺς στόλους ὑποκεχωρηκότας, καὶ ὅτι ὁ Ῥομπέρτος εἰς τὸ ἐπιὸν ἔαρ τὴν πολιορκίαν ταμιεύεται, διεσκοπεῖτο ἕκαστος, ὅ τι πράττειν χρὴ καὶ σώζεσθαι καὶ μὴ αὖθις ἐς τοσούτους ἐμπεπτωκέναι κινδύνους. συλλεξάμενοι οὖν ἑαυτούς, τὸ ἀπόρρητον ἕκαστος εἰς τὸ ἐμφανὲς ἄγουσι, καὶ περὶ τῶν ὅλων γνωσιμαχήσαντες, ὥσπερ ἐν ἀπόροις πόρον εὑρηκέναι ᾠήθησαν πεισθῆναί τε τῷ Ῥομπέρτῳ καὶ παραδοῦναί οἱ τὴν πόλιν. C ἐρεθισθέντες δὲ καὶ παρά του τῶν ἐποίκων Μέλφης καὶ ταῖς τούτου πεισθέντες ὑποθημοσύναις, τὰς εἰσόδους ἀναπετάσαντες, πάροδον τῷ Ῥομπέρτῳ δεδώκασιν. ἐγκρατὴς δὲ τούτου γενόμενος, τὰς δυνάμεις μετεκαλεῖτο, φιλοκρινῶν ἅμα, εἴ που

2. ηὐλίζετο πρότερον A. 3. ἐβούλετο G. εἰ C, ἢ PG. vid. annotat. 4. μὲν om CG. 8. δὲ A. ἐδήλωσε G. 17. εὑρημένοι G. 18. τε om. C. 19. παρὰ τοῦ PG, correxi. ἐποίκων C, ἀποίκων PG. 22. φυλλοκρινῶν C. lege φυλοκρινῶν.

in qua antea castra posuerat, cum Dyrrhachium obsideret. atque paullulum illic commoratus, deliberavit, utrum tentanda rursus moenia huius urbis essent, an in ver proximum oppugnatione dilata, in praesenti Glabinitzam et Iohannina occupare ibique hiemare praestaret, exercitu universo in vallibus collocato, quae supra Dyrrhachii planitiem iacent. verum qui Dyrrhachium obtinebant, cum plerique Melphenses et Veneti essent coloni, ut supra narravimus, postquam imperatoris cladem insignem et tantorum hominum caedem acceperunt, et classem utramque decessisse, Robertumque in ver proximum obsidionem parare, eorum quisque, quid faciendum esset, ut incolumes forent, neve in tanta rursus pericula inciderent, dispiciebant. concione convocata, suam quisque mentem aperiunt ac de summa rei consilia agitant; tandem difficultatis expediendae eam sibi viam reperisse visi sunt, ut Roberto morem gererent urbemque dederent. cumque etiam a Melphensium accolarum quodam instigati essent, consiliis eius obsecuti, portis patefactis, aditum Roberto dederunt. urbe is occupata, copias

τέτρωταί τις καιρίαν ἢ ἐπὶ χρῶτα παραξέσαντος τυχὸν τοῦ ξίφους, καὶ διερευνώμενος ὁποῖοί τε καὶ ὁπόσοι πολέμου παρανάλωμα γεγόνασιν ἐν ταῖς προηγησαμέναις μάχαις, σκοπῶν D ἅμα, ἐπεὶ χειμὼν ἤδη παρῆν κατὰ τόδε καιροῦ, διὰ τούτου καὶ μισθοφορικὸν ἕτερον ἐπισυνάξαι καὶ ξενικὰς ἐπισυλλέξαι P. 126 δυνάμεις, καὶ ἦρος ἐπιφανέντος, τηνικαῦτα πανστρατὶ κατὰ τοῦ βασιλέως χωρῆσαι. ἀλλ' οὐκ αὐτὸς μὲν ὁ Ῥομπέρτος, καίτοι νικητὴν ἑαυτὸν καὶ τροπαιοῦχον ἀνευφημῶν, τοιαῦτα ἐλογίζετο, ὁ δ' ἡττηθεὶς βασιλεὺς καὶ τραυματίας γεγονώς, διὰ τὴν ἀνύποιστον ἐκείνην ἧτταν καὶ τοσούτους καὶ τοιούτους ἀποβεβληκὼς μορμολυχθεὶς οἷον συνέσταλται· ἀλλὰ μηδὲν σμικροπρεπὲς περὶ ἑαυτοῦ λογισάμενος, μηδὲ χαλάσας ὅλως τὸν λογισμόν, σπεύδων ἦν ὅλῃ γνώμῃ τὴν ἧτταν ἦρος φανέντος ἀνακαλέσασθαι. ἦσαν γὰρ ἄμφω πάντα προϊδεῖν καὶ συνιδεῖν ἱκανοί, καὶ πολεμικῶν τεχνασμάτων οὐδενὸς B ἀδαεῖς, ἀλλὰ πάσαις μὲν τειχομαχίαις, πάσαις δὲ λοχήσεσι, V. 102 καὶ ταῖς ἐκ παρατάξεως ἀγωνίαις ἐθάδες, τὰς δὲ διὰ χειρὸς πράξεις δραστικοὶ καὶ γενναῖοι, καὶ ἐχθροὶ πάντων τῶν ὑπ' οὐρανὸν ἡγεμόνων γνώμῃ καὶ ἀνδρίᾳ κατάλληλοι. εἶχε δέ τι τοῦ Ῥομπέρτου πλέον ὁ βασιλεὺς Ἀλέξιος, ὅτι νεάζων τὴν ἡλικίαν ἔτι, κατ' οὐδὲν ἐλάττων τοῦ ἤδη ἀκμάζοντος ἦν καὶ τὴν γῆν

1. παραξήσαντος P. 2. πόσοι G. 3. γέγοναν C, ἐγεγόνασι G. καὶ σκοπῶν CG. 4. διὰ τούτου om. G. 8. νικητὴν καὶ τροπαιοῦχον ἑαυτῶν G. 12. περὶ om. PG, add. F, αὐτοῦ G. 14. ἀνακαλέσασθαι ἦρος φανέντος G. 15. τεχνησμάτων G. 17. ἐθάδες FC et in margine P, αὐθάδεις PG. 21. κατ' : καὶ G.

eo evocavit perquisivitque, num quis forte vulneratus esset graviter, an cutem leviter gladio perstringente; simul percontatus est, quot qualesque in pugnis superioribus periissent; cogitavit idem, cum hiems tum iam adesset, per id tempus exercitum mercenarium alterum cogere et peregrinos milites conducere, vere autem ineunte cum omni copiarum vi imperatorem aggredi. neque tamen solus Robertus, qui victoriam tropaeaque retulerat, talia in animo habebat, victus autem imperator et vulneratus, intolerabili ista clade, tot tantisque viris amissis, quasi formidine perterrefactus, animo cecidit. immo nihil se indignum cogitans, nec omnino deliberandi curam remittens, tota mente nitebatur victoriam vere proximo revocare. nam uterque quidvis prospicere et perspicere facile poterant, nec bellicae artis ullius rudes erant, sed in omni genere oppugnationis struendarumque insidiarum atque in proeliis aperto Marte committendis exercitati, manu prompti et fortes, et adversarii prae omnibus ubique ducibus consilio et fortitudine pares. quanquam eo excelluit Alexius, quod iuvenis adhuc aetate erat, nec tamen ulla re alteri cedebat,

μικροῦ σαλεύειν ὅλας τε φάλαγγας ἐκ μόνου ἐμβοήματος αὐχοῦντος συνταράττειν. ἀλλὰ ταῦτα μὲν ἑτέροις συντηρείσθωσαν τόποις· μελήσει γὰρ πάντως τοῖς ἐγκωμιάζειν ἐθέλουσιν. ὁ δέ γε βασιλεὺς Ἀλέξιος, ἐν Ἀχρίδι μικρὸν ἑαυτὸν ἀνακτησάμενος καὶ τὸ σῶμα διαναπαύσας, καταλαμβάνει τὴν Δεάβολιν. καὶ τοὺς μὲν τοῦ πολέμου διασωθέντας τῆς ἐκ τοῦ μόχθου κακοπαθείας, ὡς ἐνόν, ἐπανελάμβανε, τοὺς δέ γε ἐπιλοίπους ἁπανταχόθεν ἀποστείλας διεκηρύκευε τὴν Θεσσαλονίκην καταλαβεῖν. ἐπεὶ δὲ πεῖραν τοῦ Ῥομπέρτου καὶ τῆς τόλμης τοῦ τηλικούτου ἔσχε στρατεύματος, καὶ πολλὴν ἀφέλειαν καὶ ἀνανδρίαν τῶν ὑπ' αὐτὸν κατεψηφίσατο, (οὐ γὰρ C ἂν προσθείην στρατιωτῶν, ὅτι καὶ οἱ τέως παρόντες ἀγύμναστοί τε τὸ παράπαν ἦσαν καὶ πάσης στρατιωτικῆς ἐμπειρίας ἀδαεῖς,) διὰ τοῦτο γοῦν ἐδεῖτο συμμάχων· τὸ δὲ ἄτερ χρημάτων οὐκ ἐνῆν· τὰ δὲ οὐ παρῆν, τῶν βασιλικῶν ταμιείων ἐπὶ μηδενὶ δέοντι κενωθέντων ὑπὸ τοῦ προβεβασιλευκότος Νι- P. 127 κηφόρου τοῦ Βοτανειάτου τοσοῦτον, ὡς μηδὲ τῶν ταμιείων κεκλεῖσθαι τὰς θύρας, ἀλλὰ ἀνέτως πατεῖσθαι παντὶ τῷ βουλομένῳ δι' αὐτῶν ὁδεύειν· προπέποτο γάρ. ἔνθεν τοι καὶ ἐν ἀμηχανίᾳ τὸ πᾶν συνίστατο, ἀσθενείας τε καὶ πενίας ὁμοῦ συμπιεζούσης τὴν ὑπὸ τοὺς Ῥωμαίους. τότε δὲ τότε τί τὸν

7. lege μόθου. τοὺς ἐπιλοίπους δὲ A. 13. καὶ πάσης: καὶ om. C, ἐν πᾶσι καὶ G. 14. τὸ δὲ A, τόδε PG. 15. ταμείων AG. 16. ὑπὸ τῶν προβεβασιλευκότων τοῦ τε βοτανιάτου καὶ μιχαὴλ τοῦ δούκα A. 17. τοσοῦτον add. C. ταμείων G. 19. ἐντεῦθεν καὶ ἀμηχανίᾳ A. 20. ἀσθενείας AG, ἀσθενίας P. τε add. A. 21. τοὺς add. A.

qui in ipso flore erat, et terram tantum non concutere totasque phalangas solo clamore perturbare se posse iactabat. verum de his alius erit dicendi locus: neque enim ista negligere oportet, qui laudationem scribere volunt. sed Alexius imperator, postquam Achride paullulum quieti se dedit corpusque recreavit, Deabolim se contulit. ibi qui e clade incolumes pervenerant, ex belli laboribus et fatigatione, quantum poterat, refecit; reliquos undecunque, missis legatis, Thessalonicam convenire iussit. sed cum Robertum eiusque exercitus audaciam expertus esset, ob magnam autem tenuitatem atque ignaviam parum fiduciae poneret in suis, (militibus non addiderim, cum etiam qui tum aderant, inexercitati omnino essent et rei militaris prorsus imperiti,) hanc igitur ob causam sociis indigebat; at socii sine pecunia parari non poterant; pecunia autem non aderat, cum aerarium regium sine ullo usu esset ab eo, qui antea imperaverat, Nicephoro Botaniate, exhaustum, ita ut ne clausae quidem essent aerarii fores, sed cuivis paterent, qui intrare vellet: quippe direptum erat. quo factum est, ut magnis in angustiis res publica esset, infirmitate si-

νέον βασιλέα καὶ ἄρτι τῶν τῆς βασιλείας οἰάκων ἐπιβεβηκότα ἐχρῆν διαπράξασθαι; πάντως ἢ ἐξαπορούμενον τὸ πᾶν καταλιπόντα ἐκστῆναι τῆς ἀρχῆς, ὡς μὴ ἀναίτιον ὄντα αἰτιῷτό B τις αὐτὸν ὡς ἀπειροπόλεμον καὶ ἀνεπιστήμονα ἀρχηγόν, ἢ ἐξ ἀνάγκης, ὡς ἐνόν, καὶ συμμάχους μετακαλέσασθαι καὶ τὰ τούτοις δοθησόμενα χρήματα ὅθεν δήποτε συναγαγεῖν, καὶ τοὺς ἁπανταχῇ διασπαρέντας τοῦ στρατεύματος διὰ δωρεῶν ἀνακαλεῖσθαι, ἵνα ἐντεῦθεν μείζους ἐλπίδας κτησάμενοι, αὐτοὶ μετ' αὐτοῦ ἐγκαρτερήσαιεν, καὶ οἱ ἀπόντες πρὸς τὸ ἐπανέρχεσθαι προθυμότεροι γένοιντο, καὶ οὕτως γενναιότερον πρὸς τὰ Κελτικὰ πλήθη ἀντικαταστῆναι δυνήσαιντο. ἀνάξιον μὲν οὖν καὶ ἀσύμφωνον τῆς αὐτοῦ περὶ τὰ στρατιωτικὰ ἐπιστήμης ὁμοῦ καὶ τόλμης μηδὲν πεπραχέναι βουλόμενος, πρὸς C δύο ταῦτα ἀπέβλεψε, συμμάχους τε ἁπανταχόθεν μεταπέμψασθαι, ἐλπίσι πολλῶν δωρεῶν εὐμηχάνως τούτους ὑποσυρόμενος, τὴν δέ γε μητέρα καὶ τὸν ἀδελφὸν αἰτήσασθαι χρή-
V. 103 ματά οἱ ξυμπορισαμένους ὅθεν δήποτε ἐκπέμψαι.

2. Οἱ δὲ πόρον πορισμοῦ μὴ ἐφευρηκότες ἕτερον, πρότερον μὲν ἅπαντα τὰ αὐτῶν συναγαγόντες χρήματα, ὁπόσα ἐν χρυσῷ καὶ ἀργύρῳ, τῇ βασιλικῇ χωνείᾳ παραπεπόμφασι·

1. τῶν Diesterwegius, τὸν libri. 2. ἢ CG, καὶ P. καταλειπόντα PG, καταλιπόντα C. 3. ἀναίτιον CG, ἐνάντιον P. αἰτιᾶτο G. 6. δοθησόμενα : ἐπαρκέσοντα P in margine. χρημάτων P. 7. τοὺς C, τούτους PG. 8. αὐτοὶ δὲ C, οἵ τε coni. Diesterwegius. 11. δυνήσεται CG. 12. τῆς αὐτοῦ om. G. 14. καὶ συμμάχους A. 15. ἀποσυρόμενος A. 16. δέ γε : δὲ A. 18. ἐφευρίσκοντες P, alterum CAG.

mul et egestate imperium Romanum urgentibus. in tali tempore quid imperatori iuveni quique modo ad imperii gubernacula accesserat, faciendum erat? omnino aut desperata rei publicae salute, imperio abdicandum, ne quis eum, cum culpae expers esset, culparet tanquam ducem imperitum atque rudem; aut in summa necessitate, quantum posset, et socii cogendi et quam ipsis solveret pecunia undecunque conquirenda, et dispersae ubique exercitus reliquiae donis revocandae, quo ad maiorem spem erecti, et qui secum essent, perdurarent, et qui aberant, ad redeundum propensiores fierent, atque ita fortius Gallorum copiis resisti posset. iam cum nihil, quod a militari sua experientia simul et virtute abhorreret seque indignum esset, facere vellet, ad haec potissimum duo animum attendit, primum ut socios undique cogeret, multorum munerum spe facile alliciendos; dein a matre fratreque petiit, ut pecunias undecunque confectas sibi mitterent.

2. Illi, quod pecuniae parandae viam alteram non inveniebant, primum omnes res suas, quaecunque auro argentove essent, ad mo-

πρώτη δὲ πάντων ἡ βασιλὶς καὶ μήτηρ ἐμὴ ὁπόσα ἔκ τε μητρῴου καὶ πατρῴου κλήρου ἐνυπῆρχον αὐτῇ, κατεβάλλετο, καὶ τοὺς ἄλλους ἐντεῦθεν πρὸς τοῦτο ἐρεθίσαι οἰομένη· ἐδεδίει γὰρ ὑπὲρ τοῦ αὐτοκράτορος, ἐν στενῷ κομιδῇ τὰ κατ' αὐ- D τὸν ὁρῶσα· εἶτα δὲ καὶ ἐξ ἑτέρων, ὁπόσοι εὐνοϊκώτερον πρὸς τοὺς βασιλεῖς τούτους διέκειντο, αὐθαιρέτως προτεθυμηκότων καταβάλλεσθαι, ὁπόσον ἕκαστος εἶχε προθέσεως, χρυσίου καὶ ἀργυρίου πορισάμενοι, ἐξέπεμψαν τὸ μέν τι τοῖς συμμάχοις, P. 128 τὸ δέ τι πρὸς τὸν αὐτοκράτορα. ἀλλὰ πρὸς τὴν ἐπικειμένην χρείαν μηδαμῶς ἐξαρκούντων, τῶν μὲν χάριτας αἰτούντων, ὡς συναγωνισαμένων δῆθεν, τῶν δέ, ὁπόσον μισθοφορικόν, δαψιλέστερον τὸν μισθὸν ἐξαιτουμένων, ἐνέκειτο αὖθις καὶ ἕτερα ἀνακαλούμενος διὰ τὸ ἀπεγνωκέναι τὴν Ῥωμαίων εὔνοιαν. οἱ δὲ ἐν ἀμηχανίᾳ γεγονότες καὶ πολλοὺς λογισμοὺς ἀνελίξαντες ἰδίᾳ τε καὶ κοινῇ, ἐπεὶ καὶ τὸν Ῥομπέρτον αὖθις ὁπλιζόμενον μεμαθήκεσαν, μὴ ἔχοντες ὅ τι καὶ δράσαιεν, εἰς τοὺς πάλαι κειμένους νόμους καὶ τοὺς κανόνας περὶ τῆς τῶν B ἱερῶν ἐκποιήσεως ἀπέβλεψαν. καὶ μετὰ τῶν ἄλλων εὑρηκότες καὶ τοῦτο, ὅτι περ ἐπ' ἀναρρύσει αἰχμαλώτων τὰ τῶν ἁγίων τοῦ θεοῦ ἐκκλησιῶν ἱερὰ ἔξεστιν ἐκποιεῖσθαι, (ἑώρων δὲ ὅτι

1. δὲ CG, ὅτι P. τε : τοῦ G. μητρῴου καὶ πατρῴου P, πατρ. καὶ μητρῴου CG. 2. κατεβάλετο G. 5. ἐνορῶσα CG. 7. καταβαλέσθαι C. ὁπόσον CAG, ὁπόσης P. an ὅπως? προθέσεως om. G, εἶχε προθέμενος ἕκαστος A. 8. ξυμμάχοις P, συμμάχοις CAG. 10. fortasse τούτων post ἐξαρκούντων excidit. 11. ὁπόσων μισθοφορικῶν G. 15. καὶ alterum: δὲ G. 19. καὶ τοῦτο add. AG. περ om. CG. 20. τοῦ θεοῦ om. A.

netam regiam miserunt. ac prima quidem inter omnes imperatrix, mater mea, quidquid ex materna et paterna hereditate supererat, suppeditavit, etiam ceteros, ut idem facerent, eo incitari rata: siquidem sollicita erat de imperatore, quem maximis difficultatibus circumventum nosset. dein etiam ex ceteris, quicunque amicius erga imperatores affecti, sponte suppeditare cupiebant, pro suo quisque studio aurum argentumque partim sociis, partim imperatori conferebant ac mittebant. sed cum ad praesentem usum nequaquam pecunia sufficeret, (nam alii praemia exspectabant, ut socii scilicet belli; mercenariorum autem quantum militum erat, augeri flagitabat mercedem,) iterum instituit pecuniam poscere, de Romanorum benevolentia desperans. quare illi in angustias adducti, multis deliberationibus privatim publiceque habitis, ubi etiam Robertum rursus bellum parare audierunt, quid agerent nescii, ad veteres leges canonesque de supellectile sacra alienanda animum adverterunt; cumque praeter caetera invenissent, ad redimendos captivos sanctarum dei ecclesiarum

καὶ τῶν Χριστιανῶν, ὅσοι περὶ τὴν Ἀσίαν ὑπὸ τὴν βαρβα-
ρικὴν ἐτέλουν χεῖρα, καὶ ὁπόσοι τὴν σφαγὴν ἐξέφυγον, ἐμι-
αίνοντο διὰ τὴν τῶν ἀπίστων συναναστροφήν,) ὀλίγ' ἄττα
τῶν πάλαι ἠργηκότων ἱερῶν καὶ καταλελυμένων, ὡς εἰς μη-
δεμίαν χρείαν συντελοῦντα, ἀλλ' ἀφορμὴ μόνον ἱεροσυλίας
καὶ ἀσεβείας ἅμα τοῖς πολλοῖς παρεχόμενα, ὡς ὕλην χαρά-
C γματος εἰς μισθὸν τοῖς στρατιώταις καὶ συμμάχοις τὰ τοι-
αῦτα χρηματίσαι ἐσκέψαντο. τούτου γοῦν συνδόξαντος, ἀνέρ-
χεται ὁ σεβαστοκράτωρ Ἰσαάκιος εἰς τὸ τοῦ θεοῦ μέγα τέμε-
νος τὴν σύνοδον ἐκκλησιάσας καὶ τὸ τῆς ἐκκλησίας ἅπαν πλή-
ρωμα. θεασάμενοι δὲ τοῦτον οἱ τῆς ἱερᾶς συνόδου ἐπ' ἐκ-
κλησίας τῷ πατριάρχῃ συνεδριάζοντες, ἔκθαμβοι γεγονότες
ἠρώτων, ὅτου χάριν παρεγένετο. ὁ δὲ "λέξων ἥκω τι πρὸς
ὑμᾶς χρήσιμον τῇ βιαίᾳ τῶν πραγμάτων παρεμπτώσει καὶ
D σωστικὸν τοῦ στρατοῦ." ἅμα δὲ καὶ τοὺς περὶ τῶν μὴ χρη-
σιμευόντων ἱερῶν κανόνας ἀπεστομάτιζε, καὶ πολλὰ περὶ τού-
των δημηγορήσας, "ἀναγκάζομαι" φησιν "ἀναγκάζειν, οὓς
P. 129 οὐ βούλομαι ἀναγκάζειν." καὶ γενναίους προτιθέμενος λογι-
V. 104 σμούς, ἐδόκει τάχα πείθειν τοὺς πλείονας. ὁ δέ γε Μετα-
ξᾶς ἀντέτεινεν, ἀνθυποφοράς τινας εὐλόγους εἰσαγαγών, ἀπο-
σκώπτων ἅμα καὶ πρὸς αὐτὸν τὸν Ἰσαάκιον. ἀλλ' ὅμως τὰ

4. ἱερῶν ἠργεκότων καταλελυμένων G. 6. ἅμα om. CG. ὡς: ὥσπερ G. χαραγμάτων CG. 8. γοῦν CA, οὖν PG. 11. τῆς ἱερᾶς συνόδου om. A. 12. τῷ συνεδριάζοντες πατριάρχῃ P, συνεδριάζοντα πατριάρχῃ C, omisso τῷ, sed spatio relicto, recte AG. 14. ὑμᾶς A, ἡμᾶς PG. 17. ἀναγκάζειν om. G. 20. ἀνέτεινεν A. ἀντυποφοράς P.

licitum esse vasa sacra alienare, (nec vero latebat, Christianos, quotquot per Asiam in barbarorum servitute degerent, et quotcunque necem effugissent, pollui infidelium consuetudine,) pauca quaedam e vasis sacris dudum otiosis, quippe quae nullum omnino usum haberent, sed sacrilegii tantum et impietatis simul occasionem multitudini praeberent, in monetam danda censebant, quo et milites et socii mercedem acciperent. id ubi visum est, Isaacius sebastocrator in magnum dei templum se confert, in synodum omnibus ecclesiae sacerdotibus convocatis. quem cum conspexissent, qui in sacra synodo patriarchae assidebant, admiratione affecti, quam ob rem venisset, interrogarunt. Isaacius "dicturus, inquit, veni vobis aliquid, quod in misera hac rei publicae conditione utile erit exercitumque servabit." simul canones de supervacanea ecclesiarum supellectile commemorat, et postquam multa de ea re dixit, "cogor, inquit, cogere, quos cogere nolo." atque additis generosis sententiis, plerisque videbatur facile rem persuadere. at Metaxas obstitit, haud ineptis contra prolatis ratio-

δεδογμένα ἐκράτει. τοῦτο ὕλη μεγίστης κατηγορίας τοῖς βασιλεῦσιν ἐγένετο, (οὐκ ὀκνῶ γὰρ καὶ τὸν Ἰσαάκιον ἀπόρφυρον βασιλέα κατονομάζειν,) οὐ τότε μόνον, ἀλλὰ καὶ μέχρι καιροῦ διαρκέσασα. καὶ γὰρ ἀρχιερεύς τις τηνικαῦτα Χαλκηδόνος Λέων προὐκάθητο, οὐ τῶν πάνυ σοφῶν καὶ λογίων, B ἀρετῆς δὲ ἐπιμεμελημένος, τὸ δὲ ἦθος αὐτῷ σκληρὸν καὶ ἀπόκροτον· οὗτος οὖν τῶν ἐν τοῖς Χαλκοπρατείοις πυλῶν ἀφαιρουμένων τοῦ ἐπικειμένου αὐταῖς ἀργυρίου καὶ χρυσίου, εἰς τὸ μέσον εἰσδὺς ἐπαρρησιάζετο, μηδ' ὅλως ἢ οἰκονομίας ἢ τῶν περὶ τῶν ἱερῶν κειμένων νόμων ἐπαισθανόμενος. ὑβριστικώτερον δὲ καὶ οἷον εἰπεῖν ἀτακτότερον τῷ τηνικαῦτα κρατοῦντι προσεφέρετο, ὁσάκις εἰς τὴν βασιλεύουσαν ἐπανῄει, τῇ ἀνεξικακίᾳ ἐκείνου καὶ τῇ φιλανθρωπίᾳ καταχρώμενος. καὶ ὁπηνίκα μὲν τὰ πρῶτα κατὰ τοῦ Ῥομπέρτου ὁ αὐτοκράτωρ τῆς βασιλίδος C πόλεως ἐξῄει, Ἰσαακίου τοῦ σεβαστοκράτορος καὶ αὐταδέλφου αὐτοῦ μετὰ τῆς κοινῆς γνώμης καὶ τῶν νόμων ἅμα καὶ τοῦ δικαίου ὅθεν δήποτε συμποριζομένου χρήματα, εἰς θυμὸν ἐκίνει τὸν ῥηθέντα ἀδελφὸν τοῦ βασιλέως, ἀναισχυντότερον αὐτῷ προσφερόμενος. ὡς δὲ καὶ ὁ βασιλεὺς πολλάκις μὲν ἡττηθεὶς καὶ μυριάκις αὖθις κατατολμήσας τῶν Κελτῶν, θεοῦ

1. τοῦτο δὲ μεγίστης G. 3. καὶ om. G. 6. δὲ prius om. G. τὸ δὲ: τόδε P. 7. τοῖς om. G. ἀφαιρουμένους P, ἀφαιρούμενος CG, recte A. 9. τῶν om. AG. 10. κειμένων A, κειμηλίων PG. 14. πρώτου G. 16. τῆς om. A. γνωμῆς καὶ — χρήματα A, γνώμης ὅθεν δήποτε συμποριζ. χρήματα μετὰ τῶν ν. ἅμα καὶ τοῦ δικαίου PG. 17. ποριζομένων A. 18. ἀναισχυντότερον A, ἀναισχυντώτερον PG.

nibus, ipsi etiam Isaacio illudens. vel sic tamen sententia eius vicit. ea causa erat maximi in imperatores criminis, (nam non dubito etiam Isaacium sine purpura imperatorem dicere,) non tum solum, verum etiam diu permanens. etenim ecclesiae tum temporis Chalcedonensi praefuit Leo, non ille quidem admodum eruditus, ceterum virtutis studiosus, moribus duris atque austeris. is igitur, cum a valvis Chalcopratiorum aedis auri argentique ornamenta avellerentur, in medium proruens, audacter intercessit, nec necessitatis, nec legum de sacra supellectile latarum rationem ullam habens. quin etiam insolentius et, prope dixerim, effrenatius in imperatorem se gessit, quoties in urbem regiam rediret, patientia illius et humanitate abusus. atque imperatore primum adversus Robertum urbe egresso, cum Isaacius sebastocrator eius frater omnium consensu ac secundum leges aequumque pecuniam undique conficeret, huius ille iram concitavit, impudentius in eum invectus. cum autem imperator aliquot a Gallis acceptas clades sexcentis de illis reportatis victoriis ultus, deo iuvante,

νεύσει νικηφόρος στεφανίτης ἐπανεληλύθει., ἐπεὶ καὶ αὖθις ἄλλο νέφος ἐχθρῶν, τοὺς Σκύθας φημί, κατ' αὐτοῦ ἐξορμᾷν
D ἤδη μεμαθήκει, καὶ διὰ τοῦτο καὶ ἡ συλλογὴ τῶν χρημάτων, καὶ τοῦ βασιλέως ἐν τῇ μεγαλοπόλει ἐνδημοῦντος, ἐφ' ὁμοίαις αἰτίαις ἐσπουδάζετο, ὁ ἀρχιερεὺς ἐκεῖνος ἀναιδέστερον προσέπεσε τῷ αὐτοκράτορι. καὶ συζητήσεως ἐντεῦθεν πολλῆς περὶ τῶν ἱερῶν γενομένης, λατρευτικῶς, οὐ σχετικῶς δὲ προσκυνεῖσθαι τὰς ἁγίας εἰκόνας παρ' ἡμῶν ἐδογμάτιζεν, ἔν τισι μὲν εὐλόγως ἅμα καὶ ἀρχιερατικῶς ἐνιστάμενος, ἔν τισι δὲ καὶ οὐκ ὀρθῶς δογματίζων, οὐκ οἶδα εἴτε δι' ἔριν καὶ τὴν πρὸς
P. 130 τὸν βασιλέα ἀπέχθειαν τοῦτο πεπονθώς, εἴτε δι' ἄγνοιαν. ἐξακριβοῦν γὰρ ἀσφαλῶς τὸν λόγον οὐκ εἶχεν, ὅτι λογικῆς μαθήσεως ἀμέτοχος ὑπῆρχε παντάπασιν. ὡς δ' ἐπὶ πλέον πρὸς τοὺς βασιλεῖς ἐθρασύνετο, χαιρεκάκοις ἀνδράσι πειθόμενος, ὁποῖοι πολλοὶ τότε ὑπῆρχον τοῦ πολιτεύματος, εἰς τοῦτο παραννττόμενος, καὶ πρὸς ὕβρεις καὶ βλασφημίας ἀκαίρους ἐτράπετο, καὶ ταῦτα παρακαλοῦντος αὐτὸν τοῦ βασιλέως μεταβαλεῖν τὴν περὶ τῶν εἰκόνων γνώμην, ἔτι δὲ καὶ τῆς πρὸς αὐτὸν ἀποσχέσθαι ἀπεχθείας, ὑπισχνουμένου ἅμα καὶ τὰ ἱερὰ ταῖς ἁγίαις ἐκκλησίαις λαμπρότερα ἀποδοῦναι καὶ πᾶν ὅ τι δέοι ποιεῖν πρὸς διόρθωσιν, καὶ ἤδη καὶ διορ-

1. νικηφόρος καὶ στεφανίτης PG, καὶ om. FA. 2. ἐξορμῶν P. 3. ἐμεμαθήκει G. καὶ prius om. A. 4. καὶ om A. 5. προσέπεσε: προσέκειτο A. 6. πολλῆς ἐνθεῦτεν A. 7. γινομένης C. 8. τὰς om. A. 9. καὶ κανονικῶς ἅμα PA, ἅμα καὶ ἀρχιερατικῶς FC et in margine P. προϊστάμενος A. 10. οἶδ' G. 18. δὲ: γὰρ CG. 19. ἀπέχεσθαι CG. 21. πρὸς om. G. διορθωμένου PG, διορθουμένου C.

victor et triumphans rediisset, ubi aliam rursus hostium nubem, Scythas dico, iam in se proficisci cognovit, ideoque festinanter pecuniae, ipso imperatore in urbe commorante, similibus de causis conquirebantur, episcopus iste impudentius imperatorem lacessivit. cumque multa hac occasione de sacris disputarentur, absoluto a nobis, non relativo cultu sacras imagines adorari contendit. ac licet in nonnullis probabiliter et pro dignitate muneris causam egerit, tamen in aliis parum recte sensit: quod nescio utrum contentionis aestui et in imperatorem odio, an ignorantiae tribuendum sit; nam subtiliter clareque sententiam enuntiare non poterat, quippe litterarum doctrinaeque omnino rudis. ubi is malitiosis hominibus obsecutus, quales multi tum rei publicae procurationem habebant, in lacessendis imperatoribus audacia etiam processit, atque contumeliis et maledictis intempestivis usus est, licet imperator, ut illam de imaginibus sententiam mutaret et in gratiam secum rediret, hortaretur simulque ea, quae e sanctis ecclesiis demsisset, splendidiora restituturum et quidquid opor-

θουμένου παρὰ τῶν ἐλλογιμωτέρων τότε τῆς συνόδου, οὓς οἱ B τῷ τοῦ Χαλκηδόνος μέρει προσκείμενοι κόλακας ἐκάλουν, κα- V. 105 θαιρέσει κατεδικάζετο. ὡς δὲ μηδὲν ὑποπτήσσων οὐδόλως ἠρέμει, ἀλλὰ καὶ αὖθις συνετάραττε τὴν ἐκκλησίαν, οὐκ ἀγεννῆ φρατρίαν συνεπαγόμενος, ὡς ἄτεγκτος ἦν πάντη καὶ ἀδιόρθωτος, μετὰ πολλῶν ἐνιαυτῶν παρέλευσιν πάντες ὁμοῦ τοῦ ἀνδρὸς κατεψηφίσαντο· κἀντεῦθεν ὑπερορίαν καταδικάζεται. καὶ δέχεται τοῦτον ἡ περὶ τὸν Πόντον Σωζόπολις, παντοίας προνοίας καὶ θεραπείας βασιλικῆς ἀξιούμενον, κἂν οὐδαμῶς χρᾶσθαι ταύταις ἠβούλετο ὕστερον δι' ἣν πρὸς τὸν C αὐτοκράτορα ἔτρεφε μῆνιν, ὡς ἔοικεν. ἀλλὰ ταῦτα μὲν ὧδέ πη περιγεγράφθω.

3. Ὁ δέ γε αὐτοκράτωρ τοὺς νεήλυδας (συνέρρεον γὰρ ἱκανοὶ περισωθέντα τοῦτον μεμαθηκότες,) ἐπιμελῶς ἐξεπαίδευεν, ὅπως ἱππεύειν χρὴ καὶ τοξεύειν εὐστοχώτατα, ὁπλιτεύειν τε καὶ ἐνεδρεύειν ἐπικαιρότατα. ἐπεπόμφει δὲ αὖθις πρὸς τὸν ῥῆγα Ἀλαμανίας πρέσβεις, ὧν προεξῆρχεν ὁ Μηθύμνης καλούμενος, καὶ διὰ γραφῆς ἐπὶ πλέον ἐρεθίζει, μὴ μέλλειν ἔτι, ἀλλὰ τὰς αὐτοῦ ἀναλαβόμενον δυνάμεις, τάχιον τὴν Λογγιβαρδίαν καταλαβεῖν κατὰ τὰς συγκειμένας συνθήκας, ἐφ' ᾧ ἀπασχολῆσαι τὸν Ῥομπέρτον, ἵν' οὕτως

2. τῷ G, τὸ P. 3. ὅλως A. 5. φατρίαν A. ἄτεγκτος A, ἄτακτος PG. 7. κατεδικάζετο A. 9. βασιλικῆς om. CG. κἂν G, καὶ P. 10. ταύτης χρῆσθαι G. vid. annotat. 15. καὶ τοξεύειν om. G. 16. ἐκπεπόμφει A. 17. ἀλαμανίας A, Ἀλαμανείας PG. προεξῆρχον P. 20. μετὰ τῶν συγκειμένων συνθηκῶν CG.

teret ad damnum resarciendum facturum promitteret, iamque a nobilissimis eorum, qui synodo tum intererant, culpa liberatus esset: quos, qui Chalcedonensis partibus favebant, assentatores dicebant: munus ei abrogatum est. cum vero nequaquam animum submitteret, neque omnino quiesceret, sed rursus ecclesiam turbaret, haud exigua sibi adiuncta factione, quippe qui pervicax esset nec emendandus; multis annis praeteritis, omnium calculis damnatus, in exilium pulsus est. excepit eum Sozopolis ad Pontum, ubi providerat imperator, ut officiose coleretur; quanquam nullo modo hac liberalitate uti voluit propter eam, ut videtur, quam in imperatorem susceperat inimicitiam. sed de his hactenus.

3. Imperator autem milites, qui recens advenerant, (confluxerant enim satis magno numero, ut salvum eum esse audierant,) sedulo docuit equum regere et iaculari certissime et pugnare in armis et insidias tempore struere. misit etiam denuo ad Alemaniae regem legatos, quorum princeps Methymnes qui dicebatur fuit, et per litteras eum hortatur, diutius ne cunctaretur, sed collectis copiis, celerrime

D ἀδείας τυχὼν στρατεύματα αὖθις καὶ ξενικὰς δυνάμεις συλ-
λέξηται καὶ οὕτω τοῦτον τοῦ Ἰλλυρικοῦ ἀπελάσῃ, πολ-
P. 131 λὰς τῷ Ἀλαμανίας ῥηγὶ ὁμολογήσας τὰς χάριτας, εἰ οὕτω
ποιήσειε, καὶ τὸ ὑποσχεθὲν αὐτῷ διὰ τῶν παρ' αὐτοῦ στα-
λέντων πρέσβεων κῆδος ἐκπληρῶσαι διαβεβαιούμενος. ταῦτα
οἰκονομήσας, τὸν Πακουριανὸν μέγαν δομέστικον αὐτοῦ που
καταλιπών, αὐτὸς πρὸς τὴν βασιλεύουσαν ἐπανέρχεται, ἐφ'
ᾧ καὶ ξενικὰς ἁπανταχόθεν συλλέξασθαι δυνάμεις καὶ ἄλλ'
ἄττα οἰκονομῆσαι τῷ καιρῷ καὶ τοῖς ξυμπεσοῦσι πράγμασι
ξυμβαλλόμενα. οἱ δὲ Μανιχαῖοι, ὅ τε Ξαντᾶς καὶ ὁ Κου-
λέων, μετὰ τῶν ὑπ' αὐτοὺς ὡς εἰς δύο πρὸς τῇ ἡμισείᾳ χι-
λιάδας ποσουμένων, ἀσυντάκτως οἴκαδε ἐπανέρχονται. καὶ
πολλάκις μετακαλούμενοι παρὰ τοῦ αὐτοκράτορος, ὑπισχνοῦντο
B μὲν ἐληλυθέναι, ὑπερετίθεντο δὲ τὴν ἔλευσιν. ὁ δὲ ἐπέκειτο,
καὶ δωρεὰς αὐτοῖς καὶ τιμὰς διὰ γραφῶν ὑπισχνούμενος, καὶ
οὐδ' οὕτω πρὸς αὐτὸν ἐληλύθησαν. οὕτως οὖν τοῦ βασιλέως
κατὰ τοῦ Ῥομπέρτου ἑτοιμαζομένου, ἧκέ τις τῷ Ῥομπέρτῳ
ἀπαγγέλλων τὴν τοῦ ῥηγὸς Ἀλαμανίας εἰς Λογγιβαρδίαν ὅσον
ἤδη ἄφιξιν. ὁ δὲ ἐν ἀμηχανίᾳ γενόμενος, διεσκοπεῖτο, τί ἂν
χρὴ ποιεῖν. πολλὰ τοίνυν γνωσιμαχήσας, ἐπεὶ τὸν μὲν Ῥο-
γέρην ἐν τῷ πρὸς τὸ Ἰλλυρικὸν διαπερᾷν διάδοχον τῆς αὐτοῦ
ἀρχῆς καταλέλοιπε, τῷ δέ γε Βαϊμούντῳ νεωτέρῳ ὄντι οὔπω

1. δυνάμεις om. G. 3. Ἀλαμάνων C, Ἀλαμάνῳ G. 8. ξενικοῦ G. 13. ὑπισχνοῦνται C. 16. οὐδ' om. G. fortasse ἀλλ' οὐδ' οὕτω. lege ἐληλύθεισαν. 18. Ἀλαμάνου C. 22. κατέλειπε C.

Longibardiam ex pacto invaderet, quo Robertum abstraheret, ipse autem facultatem nactus, legiones et auxilia rursus cogeret illumque Illyrico pelleret. in eo si rex Alemaniae ipsi operam commodasset, maximam se gratiam relaturum et promissam per legatos affinitatem iuncturum esse affirmavit. his ita dispositis, Pacuriano magno domestico ibi relicto, ipse Cpolim revertitur, ut et auxiliares undecunque copias cogeret, et alia quaedam pro tempore ordinaret. Manichaei autem, Xantas et Culeo, cum iis, quos ducebant, numero ad duo millia et quingentos, temere domum revertuntur; saepiusque ab imperatore invitati, redituros se promiserunt, sed distulerunt reditum. instabat ille et dona honoresque pollicebatur: at ne sic quidem reversi sunt. dum ita imperator adversus Robertum se parat, venit nuntius ad Robertum, qui Alemaniae regem iam in eo esse nuntiavit, ut Longibardiam invaderet. qua re ille in angustias adductus, dispiciebat, quid faciendum esset. postquam diu deliberavit, quoniam Rogerio filio, cum in Illyricum traiiceret, Longibardiae imperium commi-

χώραν τινὰ ἀπενείματο, συναγαγὼν τοὺς κόμητας ἅπαντας καὶ C
τοὺς ἐκκρίτους τοῦ ὁπλιτικοῦ παντός, μετακαλεσάμενος τὸν υἱὸν
αὐτοῦ Βαϊμοῦντον τὸν Σανίσκον, δημηγόρος προὐκάθητο καί
φησιν· "οἴδατε, κόμητες, ὅτι τὸν φίλτατόν μου υἱὸν Ῥο-
γέρην καὶ πρωτότοκον τῶν υἱῶν κύριον τῆς ἐμῆς ἐν τῷ πρὸς
τὸ Ἰλλυρικὸν μέλλειν διαπερᾶν κατέστησα χώρας. οὐ γὰρ
ἐχρῆν ἐκεῖθεν ὑποχωροῦντα καὶ τοιοῦτον ἀναδεχόμενον ἔργον
τὴν ἰδίαν χώραν ἄτερ ἡγεμόνος καταλιπεῖν εἰς προνομὴν ἕτοι-
μον παντὶ τῷ βουλομένῳ ἐκκεῖσθαι. ἐπεὶ δὲ ὁ ῥὴξ Ἀλαμανίας V. 106
πολιορκήσων ταύτην ἤδη καταλαμβάνει, χρὴ καὶ ἡμᾶς, ὡς ἐνόν, D
ταύτης ἀντιποιήσασθαι. οὐδὲ γὰρ δεῖ ἑτέρων ἐπιλαμβανομένους
τῶν ἰδίων κατερρᾳθυμηκέναι. λοιπὸν ἐγὼ μὲν ἄπειμι, ἐφ' ᾧ τῆς
οἰκείας χώρας ἀντιποιήσασθαι, τὴν πρὸς τὸν Ἀλαμανίας ἀνα-
δησάμενος μάχην. τουτῳὶ δέ μου τῷ υἱῷ τῷ νεωτέρῳ ἐπαφίημι
τό τε Δυρράχιον καὶ τὸν Αὐλῶνα καὶ τὰς λοιπὰς πόλεις καὶ
νήσους, ὅσας φθάσας αὐτὸς τῷμῷ δόρατι κατέσχον. παρεγ-
γυῶμαι δὲ καὶ ὑμῖν καὶ ἀξιῶ ὡς ἐμὲ τοῦτον λογίζεσθαι καὶ
ὅλῃ χειρὶ καὶ γνώμῃ ὑπὲρ αὐτοῦ μάχεσθαι. καὶ σοὶ δὲ τῷ φιλ-
τάτῳ μοι ἐπισκήπτω υἱῷ" ἀποστρέψας τὸν λόγον πρὸς τὸν Βαϊ- P. 132
μοῦντον "διὰ τιμῆς πάσης τοὺς κόμητας ἄγειν καὶ συμβούλοις

1. ἀπενείματο C, απενήματο P, ἀνενήματο G. 2. ὁπλητικοῦ P. 3. νεανίσκον CG, σανίσκον PF. 9. ἀλαμανίας F, Ἀλαμανεί-ας PG, ἀλαμ' C. 10. ὑμᾶς C. 13. Ἀλαμάνον G. vid. annotat. ἀναδησάμενος F, ἀναδυσάμενος PG. τουτωὶ CG, τουτωνὶ P. μου G, μοι P. 17. τῷ μῷ P, τοὐμῷ G, correxi. καὶ prius add. F. 18. χειρὶ PG, ψυχῇ F et in margine P.

serat, Boëmundo autem, filio natu minori, nullam dum ditionem assignaverat, comitibus omnibus et lectis ex toto exercitu militibus convocatis arcessitoque Boëmundo filio, Sanisco cognomine, hanc orationem pro tribunali habuit. "scitis, comites, Rogerium, carissimum filium meum natu maximum, cum in Illyricum traiecturus essem, dominum a me constitutum esse ditionis meae; non enim inde decedentem et tantum aggredientem opus propriam ditionem sine praeside relinquere decebat, ut praedam cuivis paratam. quoniam vero Alemaniae rex infesto animo hanc iam invadit, nostrum utique est, quantum possumus, eam defendere. nec enim, aliena qui occupant, propria negligere oportet. proinde ego hinc abeo, ut domesticam terram protegam, bello cum Alemaniae rege suscipiendo. huic autem filio meo natu minori trado Dyrrhachium et Aulonem ceterasque urbes et insulas, quotquot bello cepi. quem ut mei loco habeatis et toto corpore animoque pro eo pugnetis, moneo iubeoque. tibi autem, fili carissime," orationem ad Boëmundum vertit, "commendo, ut omni honore comites prosequaris, eorumque consilio in omnibus utaris, nec ut do-

ἐν ἅπασι χρᾶσθαι, καὶ μὴ οἷον ἐναυθεντεῖν, ἀλλὰ πάντων αὐτοῖς κοινωνεῖν. σὺ δὲ ἀλλ' ἄρα μὴ καταμελήσεις τὸν κατὰ τοῦ βασιλέως Ῥωμαίων ἀναπράξασθαι πόλεμον, ἀλλ' ἐν ὅσῳ μεγάλην ἧτταν ἡττήθη καὶ μικροῦ μαχαίρας ἔργον ἐγεγόνει, καὶ τὸ πολὺ τῶν αὐτοῦ στρατευμάτων τῷ πολέμῳ ἀνήλωτο, (καὶ γάρ" φησι "καὶ ἐγγὺς ἦλθε τοῦ ζωγρηθῆναι καὶ ἐκ μέσων τῶν χειρῶν ἡμῶν τραυματίας ᾤχετο,) μὴ ἀνήσεις ὅλως, B *μή πως ἀνέσεως τυχών, συλλέξῃ τό τε πνεῦμα καὶ γενναιότερον ἢ τὸ πρότερον ἀντικατασταίη σοι. οὐ γὰρ τῶν τυχόντων ὁ ἀνήρ, ἀλλ' ἐκ νηπίου ἐν πολέμοις καὶ μάχαις ἐντραφείς, πᾶσάν τε τὴν ἕω καὶ τὴν ἑσπέραν ἐληλυθώς, ὁπόσους ἀποστάτας τοῖς πρώην αὐτοκράτορσι δορυθηράτους ἐποίησε, καὶ αὐτὸς πάντως ἐκ πολλῶν ἀκούεις. εἰ γοῦν ὅλως ἀναπέσῃς καὶ μὴ κατ' αὐτοῦ χωρήσῃς πάσῃ γνώμῃ, ὁπόσα μὲν αὐτὸς ἔργα πολλὰ καμὼν ἤνυσα, φροῦδα ποιήσεις, αὐτὸς δὲ τοὺς καρποὺς τῆς ἰδίας ῥᾳθυμίας πάντως δρέψῃ. κἀγὼ μὲν ἤδη ἄπειμι, ἀγωνισόμενος τὸν ῥῆγα τῆς ἡμεδαπῆς ἀπελάσαι χώ-* C *ρας καὶ οὕτω τὸν φίλτατόν μοι Ῥογέρην ἐπὶ τῆς δοθείσης αὐτῷ ἐξουσίας ἑδράσαι." οὕτω μὲν οὖν ξυνταξάμενος αὐτῷ, εἰσεληλυθὼς εἰς μονῆρες, τὴν περαίαν τῆς Λογγιβαρδίας κατέλαβε· καὶ ὀξέως εἰς τὸ Σαλερηνὸν ἐκεῖθεν παραγίνεται, ὅπερ παλαί ποτε εἰς κατοικίαν τῶν τῆς δουκικῆς ἀξίας ἀντιποιουμένων ἀφώριστο. κεῖθι γοῦν ἐγκαρτερήσας, ἱκανὰς συν-*

1. ἐν om. C. χρᾶσθαι F, χρήσασθαι PG. 2. καταμελήσῃς C. 8. συλλέξαι C. an συλλέξαιτό τε? 10. ἐν om. C. 11. malim διεληλυθώς. 12. πρόσω G. 21. Σαλερηνὸν: σαυρινὸν G.

minum te geras, sed omnium eos participes facias. vide, ne in bello cum Romanorum imperatore patrando segniter agas; sed cum gravi affectus sit clade, qua ipse paene periit, maxima copiarum parte absumta, (nam ut caperetur, inquit, prope fuit, vixque e manibus nostris vulneratus evasit,) noli remittere, ne is forte otium nactus, respiret et generosius quam antea obsistat. non enim unus e multis est ille; sed a puero bellis proeliisque innutritus, quam multos per Orientem atque Occidentem seditionum auctores imperatoribus prioribus captos adduxerit, ipse a multis certe audivisti. itaque si quid remittis, nec omnium virium contentione eum aggrederis, quae ego multo labore profeci, perdes, et desidiae tuae fructus ipse capies. atque ego iam abeo, ut Alemaniae regem a finibus nostris propulsem, et ditionem Rogerio filio carissimo datam tuear." postquam tali modo valedixit, conscensa navi, in oram adversam Longibardiae pervenit; inde celeriter Salernum contendit, in qua urbe antiquitus sedes erat eorum,

ειλόχει δυνάμεις καὶ μισθοφορικὸν ἐξ ἀλλοδαπῶν ὅτι πλεῖστον. ὁ δὲ ῥὴξ Ἀλαμανίας κατὰ τὰς πρὸς τὸν αὐτοκράτορα ὑποσχέσεις καταλαμβάνειν ἤδη τὴν Λογγιβαρδίαν ἠπείγετο. τοῦτο μεμαθηκὼς ὁ Ῥομπέρτος ἔσπευδε τὴν Ῥώμην καταλαβεῖν [D], ἑνωθησόμενός τε τῷ πάπᾳ καὶ τὸν Ἀλαμανίας ἀπείρξων τοῦ προκειμένου σκοποῦ. ἐπειδὴ οὐδ' ὁ πάπας πρὸς τοῦτο ἀνένευεν, ἄμφω κατὰ τοῦ Ἀλαμανίας ἐξώρμησαν. ὁ μέντοι ῥὴξ πολιορκεῖν τὴν Λογγιβαρδίαν ἐπειγόμενος, ἐπεὶ τὰ κατὰ τὸν αὐτοκράτορα ἐμεμαθήκει καὶ ὅτι μεγάλην ἧτταν ἡττηθείς, τῶν μὲν τοῦ στρατεύματος ξιφῶν παρανάλωμα γεγονότων, τῶν δὲ ἑκασταχοῦ διασπαρέντων, αὐτὸς εἰς πολλοὺς καταστὰς κινδύνους ἐν τῷ γενναίως μάχεσθαι, καιρίως ἐν διαφόροις τοῦ σώματος πληγεὶς μέρεσι, τόλμῃ καὶ γενναιότητι [P. 133] γνώμης παραδόξως ἐρρύσθη, στρέψας τὰς ἡνίας, [V. 107] πρὸς τὴν ἐνεγκαμένην ἀνεχώρει, τοῦτο νίκην λογισάμενος τὸ μὴ κινδύνοις ἑαυτὸν ὑποβαλεῖν ἐπὶ μηδενὶ δέοντι. οὗτος μὲν οὖν εἴχετο τῆς πρὸς τὰ οἴκοι φερούσης· ὁ δὲ Ῥομπέρτος φθάσας εἰς τὴν τοῦ ῥηγὸς παρεμβολήν, αὐτὸς μὲν προσωτέρω διώκειν οὐκ ἤθελεν, ἀπόμοιραν δὲ ἱκανὴν τῶν αὐτοῦ ταγμάτων διελών, διώκειν τὸν Ἀλαμανίας προὐτρέψατο. αὐτὸς δὲ τὴν λείαν πᾶσαν ἀναλαβόμενος, μετὰ τοῦ πάπα πρὸς Ῥώμην ἀπένευσεν. καὶ τοῦτον ἐπὶ τοῦ ἰδίου θρόνου ἑδρά- [B]

3. ὑποσχέσεις : συνθήκας A. 6. ἐπεὶ δὲ CG. 7. Ἀλαμάνου G. 8. ἐπεὶ καὶ τὰ A. 9. μεμάθηκε A. 10. lege ξίφους. 15. ἀνεχώρει A, ἐχώρει PG. 16. ὑπολαβεῖν G. ἐπ' οὐδενὶ G. οὕτως G. 20. Ἀλαμάνον CG. προὐτρέπετο CG, ἐπετρέψατο A. 22. ἑδράσας CA et in margine P, καθίσας PG.

qui ducalem dignitatem obtinebant. ibi commoratus, satis magnum coegit exercitum et mercenarias copias quam plurimas. interim Alemaniae rex secundum ea, quae Imperatori pollicitus erat, invadere iam Longibardiam festinabat; quo comperto, Robertus Romam contendit, ut exercitu cum papa coniuncto, Alemaniae regem a proposito arceret. ubi etiam papa assensit, ambo in Alemaniae regem movent. at rex, qui adoriri Longibardiam properabat, postquam imperatorem proelio superatum audivit et, copiis eius partim occisis, partim fuga dispersis, ipsum in summo discrimine, dum fortiter pugnaret, variis corporis partibus graviter vulneratum, audacia et fortitudine animi incredibiliter servatum esse: rursus in patriam se contulit, id pro victoria habens, quod pericula non subiisset nihil profuturus. hic igitur domum petiit; Robertus autem, ubi castra regis occupavit, ipse fugientem persequi amplius noluit; ceterum partem militum idoneam delegit, qui Alemaniae regem persequerentur. ipse praeda omni po-

σας, εὐφημίας αὖθις παρ' ἐκείνου τυγχάνει. κἄπειτα πρὸς τὸ Σαλερηνὸν ἐπανέρχεται, τῆς ἐκ τῶν πολλῶν μόθων κακοπαθείας ἑαυτὸν ἀνακτησόμενος.

4. Μετ' οὐ πολὺ δὲ καταλαμβάνει τοῦτον ὁ Βαϊμοῦντος, τὴν ἀγγελίαν τῆς ἐπισυμβάσης αὐτῷ ἥττης ἐπὶ τοῦ προσώπου φέρων. ὅπως δὲ ξυνέπεσε τὰ τῆς τύχης αὐτῷ, ὁ λόγος ἤδη δηλώσει. καὶ γὰρ τῶν ἐκείνου μεμνημένος παραγγελμάτων, καὶ ἄλλως δὲ Ἀρηΐφιλος ὢν ἀνὴρ καὶ φιλοκινδυνότατος, ἀπρὶξ τῆς κατὰ τοῦ βασιλέως μάχης εἴχετο. καὶ τὰς ἰδίας δυνάμεις ἀναλαβόμενος, συνεφεπομένους ἔχων καὶ ὁπόσοι ἐλλογιμώτεροι καὶ λογάδες Ῥωμαίων στρατιῶται καὶ
C ἡγεμόνες τῶν παρὰ τοῦ Ῥομπέρτου κατασχεθεισῶν χωρῶν καὶ πόλεων, (ἀπεγνωκότες γὰρ καθάπαξ τοῦ αὐτοκράτορος, ὅλοι τῆς τοῦ Βαϊμούντου γεγόνασι γνώμης,) καταλαμβάνει διὰ τῆς Βαγενητίας τὰ Ἰωάννινα, καὶ τάφρον κατὰ τοὺς ἔξωθεν διακειμένους ἀμπελῶνας ποιήσας πρότερον, ἅμα δὲ καὶ τὸ ὁπλιτικὸν ἅπαν ἐν ἐπικαίροις τόποις καταθέμενος, αὐτὸς ἐντὸς τὰς σκηνὰς ἐπήξατο. τὰ δὲ τείχη περιαθρήσας καὶ τὴν τοῦ κάστρου ἀκρόπολιν ἐπισφαλῆ διαγνούς, οὐ μόνον αὐτὴν ἀνορθοῦν, ὡς ἐνόν, ἠπείγετο, ἀλλὰ καὶ ἑτέραν ἐν ἄλλῳ μέρει

2. σαλερινὸν G. πολλῶν om. CG. μόθων C, μόχθων PA, μύθων G. 9. τῆς add. FA. 14. γέγοναν C. 15. Βαγενητίας PF, βαγενετίας A, βεγενετίας G et in margine "forte Γλαβινίτζης". 16. διακειμένους om. CG. 17. ὁπλητικὼν P. 18. ἐπέξατο P. τάδε P, τὰ δὲ G.

litus, una cum papa Romam versus iter direxit; quem cum in sede confirmasset, ipse vicissim ab eo rex renuntiatur. dein Salernum se contulit, ut ex multis belli laboribus se reficeret.

4. Paulo post Boëmundus ad eum pervenit, acceptae cladis nuntium in vultu ferens. quem quomodo fortuna afflixerit, deinceps narrabimus. nam cum is patris praecepta probe teneret et alioquin vir esset fortis atque ad pericula promptissimus, pugnae cum imperatore conserendae occasionem captavit. itaque cum copiis suis, comitantibus etiam, quotquot Romanorum milites lecti ducesque ex captis a Roberto regionibus urbibusque transfugerant, (cum enim de imperatoris rebus omnino desperarent, toto animo obnoxii Boëmundo erant,) per Bagenetiam Iohannina profectus est. ubi cum vallum in vineis extra urbem sitis primum iecisset, exercitumque universum idoneis disposuisset stationibus, ipse intus castra posuit. muros autem postquam exploravit, et arcem parum firmam intellexit, non modo illam restituere, quantum posset, studuit, sed et alteram in alia moenium parte, ubi magis commodum videbatur, turrim firmissimam exstruxit:

τῶν τειχῶν, οὗ μᾶλλον αὐτῷ συνοῖσον δέδοκτο, ἐρυμνοτάτην ἀνῳκοδόμει, ληϊζόμενος ἅμα καὶ τὰς παρακειμένας πόλεις D καὶ χώρας. ταῦτα μεμαθηκὼς ὁ αὐτοκράτωρ, εὐθὺς μηδὲν μελλήσας ὅλως τὰς δυνάμεις ἁπάσας συναγαγών, τῆς Κωνσταντινουπόλεως σπεύσας ἔξεισι κατὰ μῆνα Μάϊον. τοιγαροῦν τὰ Ἰωάννινα καταλαβών, ἐπεὶ ὁ τοῦ πολέμου καὶ τῆς μάχης καιρὸς ἤδη παρῆν, τὰ οἰκεῖα στρατεύματα μηδὲ τὸ πολλοστὸν τοῦ Βαϊμούντου δυνάμεων ὄντα κατανοῶν, καὶ ἄλλως δὲ ἀπὸ τῆς τοῦ Ῥομπέρτου προηγησαμένης μάχης γινώσκων τὴν πρώτην κατὰ τῶν ἐναντίων ἱππασίαν τῶν Κελτῶν ἀνύποιστον, δέον ἔκρινε πρῶτον μὲν διὰ πελταστῶν μετρητῶν τινῶν καὶ ἐκκρίτων ἀκροβολισμοὺς ποιήσασθαι, ἵνα ἐντεῦθεν ἔνδει- P. 134 ξίν τινα καὶ τῆς τῷ Βαϊμούντῳ ἐνυπαρχούσης στρατηγικῆς ἐπιστήμης σχοίη, καὶ γένοιτό οἱ διὰ τῶν μερικῶν προσβολῶν τὴν τοῦ ὅλου γνῶσιν ἐσχηκέναι κἀντεῦθεν ξὺν ἐπιστήμῃ βεβαιότερον πρὸς τὸν Κελτὸν ἀντιπαρατάξασθαι. οὕτω γοῦν τὰ στρατεύματα κατ' ἀλλήλων ἐσφάδαζεν· ὁ δὲ βασιλεὺς τὴν ἀνύποιστον τῶν Λατίνων δεδιὼς πρώτην προσβολήν, καινόν τι ποιεῖ. ἁμάξας κουφοτέρας κατασκευάσας καὶ τῶν συνήθων ἥττους, ἐφ' ἑκάστῃ τούτων κοντοὺς ἐνέπηξε τέσσαρας καὶ πεζοὺς ὁπλοφόρους ἐπέστησεν, ὥστε ὁπηνίκα οἱ Λατῖνοι

1. ἐρυμοτάτην P, recte CG. 2. παρακειμένας A, περικειμένας PG. 4. κωνσταντίνου A. 5. κατὰ add. CA. τοιγαροῦν : καὶ A. 7. παρῆν : ἦν G. 11 πελταστῶν egregie Diesterwegius, πολλοστῶν PG, ἀποστολῶν P in margine. vid. annotat. 14. γένητό C. προβολῶν CG. 19. παρασκευάσας A. 20. ἑκάστην A.

simul finitimas urbes regionesque vastavit. his imperator auditis, sine ulla mora copiis collectis omnibus, Cpoli propere egreditur, mense Maio. ubi Iohannina pervenit, pugnandi opportunitate oblata, cum suum exercitum ne minimam quidem Boëmundi copiarum partem explere perspiceret, et vero etiam ex proelio cum Roberto ante commisso cognosset, equitatus Gallici primum in hostes impetum sustineri non posse, primum quidem, missis peltastis paucis iisque lectis, in hostes velitandum videbatur, quo et Boëmundi artem bellicam experiretur, et ex parvulis proeliis cognito totius rei statu, prudentius securiusque Gallo resistere liceret. ita copiis utrimque pugnare gestientibus, imperator, qui primum illum haud sustinendum impetum Latinorum metueret, novum quid commentus est. currus paravit leviores et solitis minores, quorum unicuique contos infixit quatuor. his pedites loricatos imposuit, ut, cum Latini habenis immissis in Romanorum aciem irruerent, currus a militibus sub-

V. 108 ὅλους ῥυτῆρας χαλάσαντες κατὰ τῆς Ῥωμαϊκῆς ὁρμήσουσι B φάλαγγος, τὰς ἁμάξας ὠθεῖσθαι πρόσω διὰ τῶν ὑφισταμένων ὁπλοφόρων πεζῶν, ἵν' οὕτω τὸ συνεχὲς διακόπτηται τοῦ συνασπισμοῦ τῶν Λατίνων. καὶ ἐπεὶ καιρὸς πολέμου παρῆν, τοῦ ἡλίου ἤδη τοῦ ὁρίζοντος λαμπρῶς ὑπερκύψαντος, ὁ αὐτοκράτωρ τὰς φάλαγγας εἰς πολέμου τύπον καταστήσας, αὐτὸς τὸ μεσαίτατον εἶχεν. ὁ γοῦν Βαϊμοῦντος οὐκ ἀνέτοιμος, τῆς μάχης συγκροτουμένης, πρὸς τὴν μηχανὴν ἐφάνη τοῦ αὐτοκράτορος. ἀλλ' ὥσπερ προγνοὺς τὸ βεβουλευμένον, μεθαρμόζεται πρὸς τὸ ξυμπεσόν, καὶ τὰς ἰδίας δυνάμεις διχῇ διελὼν καὶ τὰς ἁμάξας παρεκκλίνας, κατὰ τῆς Ῥωμαϊκῆς C ἑκατέρωθεν ἵεται παρατάξεως. καὶ φάλαγγες μὲν φάλαγξιν τηνικαῦτα ἐμίγνυντο καὶ ἀνέρες ἀνδράσι κατὰ στόμα ἐμάχοντο. οὕτω δὲ πολλῶν ἑκατέρωθεν ἐν τῷ μάχεσθαι πεσόντων, τὴν μὲν νικῶσαν εἶχεν ὁ Βαϊμοῦντος, ὁ δέ γε αὐτοκράτωρ καθάπερ τις πύργος ἀκλόνητος ἵστατο, ἐξ ἑκατέρου μέρους βαλλόμενος, καὶ ὅπου μὲν ἱππαζόμενος κατὰ τῶν ἐπιόντων Κελτῶν καὶ συμπλεκόμενος ἐνίοις, πλήττων καὶ κτείνων καὶ πληττόμενος, ὅπου δὲ καὶ τοὺς φεύγοντας συχνοῖς ἐμβοήμασιν ἀνακτώμενος. ὡς δ' εἰς μέρη πολλὰ τὰς φάλαγγας διασπασθείσας ἑώρα, δεῖν ἐλογίσατο καὶ αὐτὸς ἑαυτῷ τὸ ἀσφαλὲς περιποιήσασθαι, οὐ σώζων ἑαυτόν, οὔθ' ὑπὸ δειλίας D συγχυθείς, ὡς τάχα ἄν τις εἴποι, ἀλλ' εἴ που τὸν κίνδυνον διεκφυγὼν καὶ συλλεξάμενος ἑαυτόν, αὖθις γενναιότερον τοῖς

3. διακόπτῃ G. 7. τὸ om. G. 8. τὴν CG, τὸν P. 9. βουλευόμενον A. 10. διχῆ A, δίχα PG. 12. ἵεται A et in margine P, ἵσταται PG. lege φάλαγξι. 15. γε om. G. 22. οὔθ' C, οὐδ' PG.

sistentibus porro acti Latinorum aciem rumperent. cumque pugnandi tempus adesset, sole iam orto, imperator aciem instruxit, quam mediam tenuit ipse. Boëmundus autem non imparatus, cum congrederentur, ad machinam videbatur imperatoris, sed tanquam praecognito eius consilio, aciei ordinem, prout res poscebat, mutavit et, copiis in duas partes divisis evitatisque curribus, utroque a latere Romanos aggressus est. iam miscentur cohortes cohortibus, viri cum viris adversa fronte pugnant. postquam multi utrimque ceciderunt, Boëmundus quidem victoriam nanciscitur; imperator vero imperterritus ad turris instar stare, licet ab utraque parte impugnaretur, modo in adversos vectus Gallos, vulnerare eos trucidareque, vicissim et ipse vulnerari, modo fugientes suas crebris clamoribus revocare. sed ut copias ubique disiectas vidit, tandem et ipse sibi praecavendum censuit, non quo se servaret, nec, quod facile quis suspicetur, confusus metu, sed

*μαχομένοις Κελτοῖς ἀντικατασταίη. ὑποφεύγων δὲ τοὺς ἐχθροὺς
μετ' ὀλίγων πάνυ τινῶν καὶ τῶν Κελτῶν τισὶν ἐντυχὼν, αὖ-
θις ἐκεῖνος ὁ ἀκαταπτόητος στρατηγὸς ἐδείκνυτο. ἀναρρώσας
γὰρ τοὺς σὺν αὐτῷ καὶ σφοδρῶς τὴν κατ' αὐτῶν ἱππασίαν ὡς
σήμερον τεθνηξόμενος ποιήσας ἢ κατὰ κράτος ἡττήσων, κτεί-
νει μὲν αὐτὸς παίσας ἕνα τῶν Κελτῶν, καὶ ὁπόσοι δὲ σὺν
αὐτῷ Ἄρεως ἦσαν ὑπασπισταὶ πολλοὺς τρώσαντες ἐξεδίω-
ξαν. καὶ οὕτως ἀμετρήτους καὶ μεγίστους διεκφυγὼν κινδύ-* P. 135
*νους, αὖθις σώζεται διὰ τῶν Στρουγῶν διελθὼν εἰς Ἀχρί-
δας. κἀκεῖθ' ἐγκαρτερήσας καὶ ἱκανοὺς τῶν πεφευγότων ἀνα-
καλεσάμενος, αὐτοῦ που μετὰ τοῦ μεγάλου δομεστίκου πάν-
τας καταλιπὼν, καταλαμβάνει τὸν Βαρδάρην, οὐ ῥᾳστώνης
χάριν· βασιλικὰς γὰρ ῥᾳθυμίας καὶ ἀναπαύλας οὐδαμῶς ἑαυ-
τῷ ἀπεμέτρει. καὶ αὖθις συναγαγὼν τὰ στρατεύματα καὶ
μισθοφορικὸν συλλεξάμενος, κατὰ τοῦ Βαϊμούντου χωρεῖ,
ἑτερόν τι σκοπήσας, δι' οὗ καταγωνίσαιτο τοὺς Κελτούς. τρι-
βόλους γὰρ σιδηροῦς κατασκευάσας, ἐπεὶ τὴν μάχην ἐς νέωτα
προσεδόκα, ἑσπέρας ταῦτα ἐν τῷ μεταιχμίῳ τῆς πεδιάδος κα-
τέστρωσεν, οὗπερ σφοδροτέραν ἐστοχάζετο τοὺς Κελτοὺς τὴν* B
*ἱππασίαν ποιήσασθαι, μηχανώμενος τάχα τὴν πρώτην καὶ
ἀνύποιστον τῶν Λατίνων ὁρμὴν διὰ τούτων ἀποθραῦσαι, πε-
ριπαρέντων τῶν τριβόλων τοῖς τῶν ἵππων ποσί, καὶ τοὺς μὲν*

7. ἄρεος C. 9. Στρούγων PG, στρουγῶν A. 10. κἀκεῖθεν A, κακεῖσε CG. ἱκανοὺς CA et in margine P, πολλοὺς PG. 11. τοῦ om. A. 14. καὶ prius: ἀλλ'? αὖθις add. AG. 15. τοῦ om. A. 17. σιδηροῦς G, σιδηρᾶς PA. 18. ταύτης F, τούτους P, ταύτας A et in margine P, ταῦτα C. μεσαιχμίῳ C. κατέστρωσαν C.

cum periculum effugisset seque recollegisset, fortius Gallis pugnantibus sese obiecturus. cum paucis admodum suorum dum fugit, Gallis aliquot obviam factus, imperterritum denuo ducem se probavit. nam postquam suos confirmavit, vehementi impetu facto, velut moriturus hodie aut splendide superaturus, trucidat ipse Gallorum unum, et quoquot ex comitibus erant Martis commilitones, multis vulneratis, in fugam hostes vertunt. sic innumeris maximisque periculis defunctus, rursus incolumis imperator per Strugas pervenit Achridas. ibi commoratus, cum multos eorum, qui fugerant, revocasset, omnes sub magno domestico reliquit; ipse ad Bardarem perrexit, non quietis causa: regio enim otio atque inertiae nequaquam se dabat: sed rursus coactis legionibus mercenariisque copiis, contra Boëmundum proficiscitur, alio excogitato dolo, quo Gallos devinceret. muricibus enim ferreis paratis, cum in proximum diem pugnam exspectaret, vespere eos spatio quod interiacebat campi sparsit. ubi vehementiorem coniiciebat Gallos equites impressionem facturos, ut primus vix sustinendus

κατὰ μέτωπον ἱσταμένους τῶν Ῥωμαίων, ὁπόσοι δόρατα ἔφερον, μεμετρημένας τὰς ἱππασίας ποιεῖσθαι καὶ ὁπόσον μὴ τοῖς τριβόλοις περιπαρεῖεν, ἀλλ' ἐφ' ἑκάτερα σχιζομένους ὑποστρέφειν, τοὺς δὲ πελταστὰς πόρρωθεν κατὰ τῶν Κελτῶν σφοδροὺς ἐκπέμπειν τοὺς οἰστούς, τὸ δέ γε δεξιὸν καὶ εὐώνυμον κέρας ἐξ ἑκατέρου μέρους ἀσχέτῳ ῥύμῃ τοῖς Κελτοῖς ἐπεισπεσεῖν. τοιαῦτα μὲν τὰ τοὐμοῦ πατρὸς διανοήμα-
V. 109 τα. τὸν δὲ Βαϊμοῦντον ταῦτα οὐ διέλαθε. συνέβαινε γάρ
C τι τοιοῦτον. ὅπερ γὰρ ὁ βασιλεὺς ἑσπέρας κατ' ἐκεῖνον ἐβουλεύσατο, πρωΐας ὁ Κελτὸς μεμάθηκε. καὶ πρὸς τὸ ἀκουσθὲν εὐφυῶς μεθαρμοσάμενος, τὴν μάχην ἀνεδέχετο καὶ οὐκέτι, ὡς ἔθος αὐτῷ, τὴν ὁρμὴν τῆς μάχης ἐποίει, ἀλλὰ προαρπάσας τὴν τοῦ αὐτοκράτορος βουλήν, αὐτὸς ἐξ ἑκατέρου μέρους τὸν μόθον μᾶλλον ἀνερρίπισε, τὴν κατὰ μέτωπον φάλαγγα ἀτρεμεῖν τέως παρακελευσάμενος. τῆς γοῦν μάχης ἀγχεμάχου γεγονυίας, οἱ τοῦ Ῥωμαϊκοῦ στρατεύματος τὰ νῶτα τοῖς Λατίνοις δεδώκασι, μηδ' ἀντωπῆσαι τούτοις τοῦ λοιποῦ ἰσχύοντες, προκατεπτοημένοι ὄντες διὰ τὴν προη-
D γησαμένην ἧτταν. καὶ σύγχυσις τηνικαῦτα τῆς Ῥωμαϊκῆς παρατάξεως ἦν, κἂν ὁ βασιλεὺς ἀκλόνητος μένων, γενναίως καὶ χειρὶ καὶ γνώμῃ ἀντικαθίστατο, πολλοὺς μὲν τρώσας, ἔστι δ' οὗ καὶ τρωθείς. καὶ ἐπεὶ τὸ ἅπαν ἐκρεῦσαν ἤδη στράτευμα ἐθεάσατο καὶ ἑαυτὸν μετ' ὀλίγων καταλειφθέντα,

1. ῥωμαϊκῶν G. 4. κατὰ add. C. 5. ὀϊστούς G. 8. συνέβη A. 9. γὰρ om. A. 10. ἐμάνθανε A. 12. οὐκέθ' A. ἐποιεῖτο G. 14. ἀνερίπησε PG, ἀνερίπισε A, recte C. μετώπου G. 18. προηγουμένην A. 19. καὶ σύγχυσις : σύγχυσις οὖν A. 20. κἂν : καὶ A. 23. καταλειφθέντα CG, καταληφθέντα P.

Latinorum impetus frangeretur, equorum pedibus murice transfixis. idem quotquot a fronte stabant Romani hastis armati, modice et quantum non in tribulos inciderent, iussit progredi, dein acie utroqueversus divisa, recedere, peltastas autem eminus crebra in Gallos tela mittere, dum a dextro sinistroque cornu vehementissimus in Gallos impetus fieret. hoc erat patris mei stratagema, quod tamen Boëmundum non latebat. accidit enim, ut quod imperator vespere excogitaverat, id mane ad Gallum perferretur. itaque mutato is pro iis, quae audierat, consilio, pugnam suscipit, nec iam, ut consueverat, impetu adoritur; sed imperatoris consilium occupans, ipse ab utroque latere pugnam ciebat, turma a fronte interim immotam stare iussa. ubi cominus pugnatum est, Romani terga vertunt, nec intueri Latinos amplius possunt, nupera clade iam perterriti. tum Romana turbatur acies, licet imperator intrepidus staret, et manu animoque for-

δέον ἐλογίσατο, μὴ ἀλόγως ἀνθιστάμενος κινδυνεῦσαι. ἐπὰν
γάρ τις πολλὰ μογήσας μὴ πρὸς ἰσχύος ἔχῃ τοῖς ἐχθροῖς ἀν- P. 136
τικαθίστασθαι, μάταιος ἂν εἴη εἰς προῦπτον κίνδυνον ἑαυτὸν
συνωθῶν. τοῦ γοῦν δεξιοῦ καὶ εὐωνύμου κέρως τῆς Ῥωμαϊ-
κῆς φάλαγγος φυγαδείᾳ χρησαμένων, ὁ βασιλεὺς ἔτι ἐγκαρ-
τερῶν μετὰ τῆς τοῦ Βαϊμούντου φάλαγγος γενναίως ἀπεμά-
χετο, τὸν ὅλον αὐτὸς ἀναδεξάμενος πόλεμον. τὸ δὲ ἀναντίρ-
ρητον συνεὶς τοῦ κινδύνου, δέον ἔκρινεν ἑαυτὸν περισῶσαι,
ὡς αὖθις δύνασθαι μάχεσθαι πρὸς τὸν καταγωνισάμενον, καὶ
ἀντίπαλος ἔσεσθαι καρτερώτατος, καὶ μὴ τὸ πᾶν τῆς νίκης
ἄρασθαι τὸν Βαϊμοῦντον. τοιοῦτος γὰρ ἦν ἡττώμενος καὶ νι- B
κῶν, φεύγων καὶ αὖθις διώκων, καὶ μηδέποτε ὑποπτήσσων,
μήτε μὴν ἀνελπιστίας βρόχοις ἁλισκόμενος. ἦν γὰρ καὶ εἰς θεὸν
μεγίστην ἔχων πίστιν, καὶ τοῦτον μὲν ἐς μέσον διὰ παντὸς
περιφέρων, ὅρκου δὲ παντάπασιν ἀπεχόμενος. ἀπειρηκὼς
οὖν, ὡς ἄνωθεν εἴρηται, ὀπισθόρμητος καὶ αὐτὸς γέγονε,
διωκόμενος παρὰ τοῦ Βαϊμούντου καὶ ἐκκρίτων κομήτων. ἐν
τούτοις δέ φησι πρὸς τὸν Γουλὴν (οὗτος δὲ πατρῷος αὐτοῦ
θεράπων) καὶ τοὺς σὺν αὐτῷ "μέχρι πόσου φευξόμεθα;" καὶ
στρέψας τὸν χαλινὸν καὶ τοῦ κουλεοῦ τὸ ξίφος ἐξαγαγών,
παίει τὸν πρώτως αὐτῷ συναντήσαντα κατὰ τῆς ὄψεως. τοῦτο

2. ἔχῃ C, ἔχει PG. 3. εἴη : ᾗ C. 4. ἐπωνύμου G. 6. ἐνεμάχετο G. 11. ἦν om. G. 15. δὲ CG, δὴ P. 18. θεράπων αὐτοῦ G. 19. post θεράπων add. ἦν A. πόσον G. 20. χαληνὸν P. κολεοῦ PG, κουλεοῦ CA.

titer contenderet, multis vulnera inferens, interdum et ipse vulneratus. tandem cum totum dilapsum iam exercitum cerneret seque cum paucis desertum, temere resistendo periclitari diutius noluit. nam ubi quis, multis exanclatis laboribus, per vires non potest adversariis resistere, temerarius esset, si in periculum certum se proiiceret. dextro igitur et sinistro aciei Romanae cornibus in fugam versis, imperator adhuc perstitit ac Boëmundi copias fortiter propulsavit, dum unus totum impetum sustinet. sed praesenti periculo perspecto, se servare statuit, ut denuo victorem aggressus, gravissime cum eo contendere posset, nec victoriam perfectam Boëmundus reportaret. tali erat animo, victus sive victor, fugiens sive vicissim persequebatur; neque unquam animum abiiciebat, nec vero etiam desperationis laqueis constringebatur. erat quippe maxima in deum fide, eumque palam omni tempore in ore ferebat, quanquam iureiurando abstinebat omnino. cum igitur desperatis, ut modo dixi, rebus, ipse retro cederet, insequente Boëmundo cum lectissimis comitum, Gulen (paternus hic famulus erat) ceterosque, qui cum eo erant, allocutus, "quonam, in-

οἱ Κελτοὶ θεασάμενοι καὶ διαγνόντες αὐτὸν τῆς ἰδίας ἀπεγνωκό- C τα σωτηρίας, ἐπειδὴ τοὺς τοιαύτης γνώμης γεγονότας ἄνδρας ἀκαταμαχήτους πάλαι ἐγίνωσκον, ὑποσταλέντες τοῦ διώκειν ἐπαύσαντο. καὶ οὕτω τῶν διωκόντων ἀπαλλαγείς, ὑπεξῄει τοῦ κινδύνου. οὐδὲ φεύγων δὲ ὅλως ἀνεπεπτώκει, ἀλλὰ τῶν φευγόντων τοὺς μὲν ἀνεκαλεῖτο, τοὺς δὲ καὶ ἐπέσκωπτε, κἂν οἱ πολλοὶ τὸν ἀγνοοῦντα ὑπεκρίνοντο. οὕτω γοῦν τοῦ κινδύνου σωθείς, εἰσέρχεται εἰς τὴν βασιλεύουσαν, ἐφ' ᾧ συναγαγεῖν αὖθις στρατεύματα καὶ κατὰ τοῦ Βαϊμούντου χωρῆσαι.

5. Ἐπεὶ δὲ τοῦ Ῥομπέρτου πρὸς Λογγιβαρδίαν παλινοστήσαντος τὴν μετὰ τοῦ αὐτοκράτορος μάχην ὁ Βαϊμοῦντος ἀνεδέξατο, ταῖς ἐκείνου ὑποθημοσύναις χρώμενος καὶ διὰ D παντὸς μάχας καὶ πολέμους ἀναρριπίζων, τὸν μὲν Πέτρον τοῦ Ἀλίφα μετὰ τοῦ Πουντέση εἰς πολιορκίαν ἐν διαφόροις τόποις ἐξέπεμψεν· ἔνθεν τοι καὶ τοὺς μὲν δύο Πολόβους εὐθὺς ὁ Πέτρος τοῦ Ἀλίφα κατέσχε, τὰ δὲ Σκόπια ὁ προρρηθεὶς Πουντέσης· αὐτὸς δὲ μηνυθεὶς παρὰ τῶν Ἀχριδιωτῶν, ταχὺ τὰς Ἀχρίδας καταλαμβάνει. καὶ πρὸς μικρὸν ἐγ- V. 110 καρτερήσας, τοῦ Ἀριέβη φρουροῦντος τὸ κάστρον, ἄπρακτος ἀπῆλθεν εἰς τὸν Ὀστροβόν. κἀκεῖθεν κενὸς ἀποπεμφθείς, διῆλθε διὰ τοῦ Σωσκοῦ, καὶ διὰ τῶν Σερβίων ἀπῆλθεν εἰς Βέρροιαν. καὶ προσβαλὼν ἐν πολλοῖς καὶ πολλάκις τόποις καὶ

1. σωτηρίας ἀπεγνωκότα G. 8. εἰς om. A. 9. τοῦ om. A. 14. σπουντέσῃ G. 15. μὲν δύο : μηδὲν G. Πολόβους : πολέμους CG. 20. τὸν om. CG. 21. σωσκοῦ G, Σοσκοῦ P.

quit, usque fugiemus?" et converso equo gladioque stricto, in facie vulnerat, qui primus ex insequentibus se obtulit. id ubi Galli animadverterunt et desperatam ab illo salutem perspexere, cum dudum cognitum haberent, qui tali animo essent, vinci non posse, metu finem persequendi fecerunt. ita liberatus ab insequentibus, periculo evasit. nec tamen in fuga animo conciderat, sed fugientes alios revocabat, alios increpabat; quanquam plerique ignorationem simulabant. hac igitur ratione cum periculo elapsus esset, in urbem regiam rediit, ut novis paratis copiis, in Boëmundum moveret.

5. Boëmundus autem cum post Roberti in Longibardiam reditum bellum cum imperatore suscepisset, et praeceptis obsecutus patris, sine intermissione pugnas et proelia cieret, Petrum Aliphae una cum Puntese varias urbes oppugnatum dimisit, ac Polobos quidem duos statim Petrus Aliphae cepit; Scopia Punteses, quem dixi. ipse ultro arcessitus ab Achridiotis, celeriter Achridas occupavit; ubi postquam brevem moram fecit, Ariebe arcem defendente, infecta re Ostrobum abiit. inde repulsus pariter, per Soscum et Servia Berrhoeam profe-

μὴ ἀνύσας, διὰ τῶν Βοδινῶν καταλαμβάνει τ… 138
ἀνεγείρει καστέλλιόν τι πρὸ χρόνου ἐρειπωθέ… πὼν ἐκεῖ μεθ' ἱκανῶν κόμητά τινα Σαρακην… καλούμενον, εἰς τὸν Βαρδάρην κατέλαβεν εἰ… Ἄσπρας Ἐκκλησίας. καὶ τριμηναῖον χρ… ἐκεῖ, ἐν τῷ μεταξὺ ἔκκριτοι τρεῖς τῶν κομήτων, ὅ τε … τέσης, ὁ Ῥικάλδος καὶ Γελίελμός τις καλούμενος, συνωμοσίαν πεποιηκότες αὐτομολῆσαι πρὸς τὸν βασιλέα ἐφωράθησαν. καὶ ὁ μὲν Πουντέσης τοῦτο προγνούς, ἀποδράσας προσῆλθε τῷ αὐτοκράτορι, οἱ δὲ λοιποὶ δύο κατεσχέθησαν καὶ ἀπελύθησαν κατὰ τὸν νόμον τῶν Κελτῶν εἰς πόλεμον. καὶ ἡττηθεὶς κατε- B
βλήθη ὁ Γελίελμος, ὃν καὶ κατασχὼν ἐτύφλωσεν ὁ Βαϊμοῦντος, τὸν δέ γε ἕτερον Ῥικάλδον ἀπέστειλε πρὸς τὸν πατέρα αὐτοῦ Ῥομπέρτον εἰς Λογγιβαρδίαν, ὑφ' οὗ ἀφαιρεῖται καὶ οὗτος τοὺς ὀφθαλμούς. ὁ δὲ Βαϊμοῦντος ἀπάρας ἀπὸ τῶν Ἄσπρων Ἐκκλησιῶν, ἀπῆλθεν εἰς Καστορίαν. τοῦτο μαθὼν ὁ μέγας δομέστικος, καταλαμβάνει τὰ Μόγλενα, καὶ κατασχὼν τὸν Σαρακηνὸν κτείνει, παραυτίκα ἐρειπώσας τελείως τὸ καστέλλιον. ὁ δέ γε Βαϊμοῦντος ἐξελθὼν τῆς Καστορίας, ἔρχεται εἰς τὴν Λάρισσαν, κεῖθι παραχειμάσαι βουλόμενος. καταλαβὼν δὲ τὴν μεγαλόπολιν ὁ αὐτοκράτωρ, καθάπερ εἴρη-

1. Βοδηνῶν Ducangius in annotat. 2. καστέλιον C hic et infra. 3. μετ' P. 4. καλούμενον εἰς τὸν Βαρδάρην, κατέλαβεν libri. interpunctionem mutavi. 6. τρεῖς : τινες CG. 7. ὅ τε G. Ῥικάλδος CG utrobique, Ῥεβόλδος P. an Ῥενάλδος? vid. annotat. Γιλιέλμος CG hic et infra. 12. ὁ Βαϊμοῦντος add. G. 13. ἔστειλε G. 20. ἐκεῖθι CG.

ctus est. ac multis saepe tentatis locis, postquam nihil profecit, per Bodena pervenit Moglena ibique castellum olim dirutum restituit. dein, relicto ibi cum satis magna militum manu comite, Saraceno cognominato, ad Bardareu se in locum contulit, qui Asprae Ecclesiae vocatur. dum tres ibi menses commoratur, detecta est coniuratio trium insignium comitum, Puntesis, Renaldi et Guilelmi cuiusdam, qui ad imperatorem transfugere decreverant. ac Punteses quidem id odoratus, fuga ad imperatorem se subduxit; reliqui duo capti, more Gallorum certamine se pugnare iussi sunt. victus Guilelmus pro convicto habitus est; quem Boëmundus luce privavit. alterum Renaldum ad Robertum patrem in Longibardiam misit, a quo itidem excaecatus est. Boëmundus Aspris Ecclesiis profectus est Castoriam: quo cognito, magnus domesticus Moglena contendit, iisque potitus Saracenum occidit ac statim castellum funditus destruit. Boëmundus autem Castoria egressus, Larissam venit, ubi hiemare in animo habuit. imperator, postquam in urbem regiam, ut diximus, pervenit, quo erat impigro nec

C ται, εὐθὺς ἔργου εἴχετο, ὁποῖος ἐκεῖνος θερμουργὸς καὶ μηδέποτε ῥᾳστώνης μετειληχώς, δυνάμεις τε ᾐτεῖτο τὸν σουλτάνον μετὰ ἡγεμόνων πεῖραν ἐκ μακροῦ ἐσχηκότων. ὁ δὲ τηνικαῦτα πέμπει πρὸς αὐτὸν χιλιάδας ἑπτὰ μετὰ ἡγεμόνων λίαν ἐμπείρων, καὶ αὐτὸν δὲ τὸν Καμύρην, χρόνῳ καὶ πείρᾳ τῶν ἄλλων ὑπερέχοντα. ἐν ὅσῳ δὲ ταῦτα ὁ βασιλεὺς ᾠκονόμει καὶ ἡτοιμάζετο, ὁ Βαϊμοῦντος μέρος τι τοῦ ἰδίου στρατεύματος ἀποδιελόμενος, Κελτοὺς καταφράκτους ὅλους ἀποστείλας, ἐξ ἐπιδρομῆς κατέσχε τὴν Πελαγονίαν, τὰ Τρίκαλα καὶ τὴν Καστορίαν. αὐτὸς δὲ ὁ Βαϊμοῦντος μετὰ ξύμπαντος τοῦ στρατεύματος καταλαβὼν τὰ
D Τρίκαλα, ἀποσπάδα τοῦ ὅλου στρατεύματος ἀποστείλας γενναίους ὅλους, ἐξ ἐφόδου κατέσχε τὸν Τζίβισκον. κᾆθ' οὕτω καταλαβὼν τὴν Λάρισσαν κατ' αὐτὴν τὴν τοῦ μεγαλομάρτυρος Γεωργίου μνήμην σὺν ὅλαις δυνάμεσι καὶ περιζώσας τὰ τείχη, ἐπολιόρκει αὐτήν. ὁ δὲ ταυτηνὶ τὴν πόλιν φυλάττων πατρῴου τοῦ αὐτοκράτορος θεράποντος υἱός, Λέων ὁ Κεφαλᾶς, γενναίως πρὸς τὰς τοῦ Βαϊμοῦντου ἀντικαθίστατο μηχανὰς ἐπὶ ὅλοις μησὶν ἕξ. δηλοῖ δὲ τὴν τοῦ βαρβάρου ἔφοδον διὰ γραφῶν τηνικαῦτα τῷ αὐτοκράτορι. ὁ δὲ οὐ παραχρῆμα, καίτοι σφαδάζων, τῆς πρὸς τὸν Βαϊμοῦντον φερού-

2. σουλτὰν A. 4. πρὸς αὐτὸν om. G. μετὰ ἀρχηγῶν ἐμπείρων A. 5. λίαν om. CG. δὲ add. CG. lege δή. καμύτζην A, καμήρην G. 8. στρατεύματος τοῦ ἰδίου A. 10. ὁ Βαϊμοῦντος om. A. 11. παντὸς G. 12. ἀποσπᾷ δὴ τοῦ G. ἀποστεῖλας add. C. 13. καὶ ἐξ ἐφόδου PG, καὶ om. C. τζώβισκον A. εἶθ' GA, καθ' P, correxi. 14. τὴν alterum om. G. 16. ταύτην A. 19. ἐπὶ CA, ἐπ' PG. 21. τοῦ Βαϊμούνδου G.

quieti unquam indulgente animo, illico opus aggressus, a sultano copias petiit cum ducibus, rei militaris longo usu peritis. misit ille septem millia Turcarum, quibus cum alii duces praeerant peritissimi, tum Camyres ipse, qui aetate et usu ceteros superabat. haec dum imperator parat, Boëmundus, missa copiarum parte, quae Gallis loricatis tantum constabat, statim Pelagoniam cepit et Tricala et Castoriam. Boëmundus ipse toto exercitu Tricalis moratus, dimissa manu lectissimorum ex universo numero militum, illico Tzibiscum occupavit. inde Larissam, ipsa Georgii magni martyris memoria, copiis omnibus accessit et obsidione urbem clausit. eam qui defendebat, Leo Cephalas, paterno imperatoris ministro natus, fortiter Boëmundi machinis totos sex menses obstitit. imperatorem idem per litteras de barbari adventu certiorem fecit. is licet pugnandi cupiditate arderet, tamen non extemplo in Boëmundum movet; sed plures undique milites mercenarios cogens, iter distulit; dein bene instructis omnibus,

σης ἥπτετο, ἀλλὰ πλεῖον μισθοφορικὸν ἐπισυνάγων ἁπανταχόθεν, ἀνεβάλλετο τὴν ἐξέλευσιν. εἶτα καρτερῶς ὁπλίσας P. 138 ἅπαντας, ἔξεισι τῆς Κωνσταντίνου. καὶ τοῖς μέρεσι τῆς Λαρίσσης ἐγγίσας καὶ διελθὼν διὰ τοῦ βουνοῦ τῶν Κελλίων καὶ τὴν δημοσίαν λεωφόρον δεξιόθεν καταλιπὼν καὶ τὸν βουνὸν τὸν οὑτωσὶ ἐγχωρίως καλούμενον Κίσσαβον, κατῆλθεν εἰς Ἐζεβάν· χωρίον δὲ τοῦτο Βλαχικὸν τῆς Ἀνδρωνείας ἔγγιστα διακείμενον. ἐκεῖθεν δὲ καταλαβὼν δὲ ἑτέραν αὖθις κωμόπολιν Πλαβίτζαν συνήθως καλουμένην, ἀγχοῦ που τοῦ οὑτωσί πως καλουμένου ποταμοῦ ῥέοντος διακειμένην, τὴν σκηνὴν κατέθετο, ἀποχρῶντα τάφρον διορύξας. καὶ ἐγερθεὶς ἐκεῖθεν ὁ βασιλεὺς ἀπῆλθεν ἄχρι τῶν κηπουρείων τοῦ Δελ- V. 111 φινᾶ, κἀκεῖθεν εἰς τὰ Τρίκαλα. γράμμα δέ τις τηνικαῦτα ἧκε κομίζων τοῦ Κεφαλᾶ Λέοντος, περὶ οὗ φθάσας ὁ λόγος B ἐδήλωσε, παρρησιαστικώτερον γράφοντος· "ἴσθι, ὦ βασιλεῦ, ὅτι μέχρι τοῦ νῦν σπουδὴν πολλὴν εἰσενηνοχώς, διετήρησα τὸ κάστρον ἀνάλωτον. ἤδη δὲ τῶν ἐφειμένων Χριστιανοῖς τροφίμων στερούμενοι, καὶ τῶν μὴ προσηκόντων ἡψάμεθα. ἀλλὰ καὶ ταῦτα ἡμῖν ἀπέλιπον. εἰ γοῦν βοηθῆσαι ἡμῖν θέλων σπεύσεις καὶ τοὺς πολιορκοῦντας ἐκδιῶξαι δυνηθείης,

1. πλεῖον CA, πλεῖστον P, om. G. συναγαγὼν C, συναγὼν G. 6. Κίσαβον C. 7. Ἐζεβάν CAG, Ἐξεβὰν P. Βλαχικὸν om. A. Ἀνδρωνείας AG, Ἀνδρονίας P. 8. δὲ alterum om. CG. lege καὶ ἑτέραν. 10. ῥέοντος corruptum. an ποταμὸς eximie vocatur Salabrias sive Peneus? διακειμένην om. CG. 11. ἀποχρῶσαν CG. διορύξας C, διωρύξας PG. 12. κηπουρείων : σκήπτρων CG, ::ηπου . . . ἀδελφινᾶ A. 13. γράμματα A. 14. τούτῳ τοῦ A. περὶ οὗ — ἐδήλωσε add. CG et in margine P. 15. ἴσθι AG, ἴσθ' P. 16. προσενηνοχὼς AG, συνενηνοχὼς C. 17. ἐψειμένων C, ἐφαιμένων G, ἐφωμένων P, ἀμψειμένων A. 19. ταῦθ' A. ἐπέλιπον CA, ἀπέλιπον PG.

Cpoli egreditur. postquam Larissae finibus appropinquavit et Celliorum montem superavit, via publica et monte, quem indigenae Cissabum vocant, ad dextram relictis, descendit Ezeban; oppidum id Vlachicum est, proxime Androniam situm. hinc cum in alium rursus pagum profectus esset, quem Plabitzam vulgo appellant, ad amnem * * * nomine adiacentem, castra ibi posuit et quanta opus erat fossa munivit. unde movens, ad hortos Delphinae se contulit, indeque Tricala. quo loco litteras ei quidam reddidit Leonis Cephalae, cuius supra mentio facta est, liberius in hunc modum scriptas: "scias, imperator, hucusque me, magna adhibita cura, incolumem arcem servasse. iam cibis, quibus vesci Christianis licet, deficientibus, etiam quibus nefas est, usi sumus. verum ne hi quidem suppetunt. quapropter si auxiliaturus nobis brevi venies et obsidione liberare nos

τῷ θεῷ χάρις καὶ δόξα. εἰ δ' οὖν, τοὐμὸν ἤδη πεπλήρωκα· καὶ τὸ ἐντεῦθεν ἀνάγκῃ δουλεύοντες, (καὶ τί γὰρ δεῖ πρὸς φύσιν καὶ τὴν ἐκ ταύτης τυραννίδα ποιεῖν;) γνώμην ἔχομεν τὸ φρούριον παραδοῦναι τοῖς ἐπικειμένοις ἐχθροῖς καὶ φανερῶς ἀποπνίγουσιν. ἀλλ' εἰ ταῦτα δυστυχῆσαι συμβαίη, ἐπά- C *ρατος μὲν γενοίμην ἐγώ, τολμηρῶς δὲ καὶ κατὰ τῆς σῆς βασιλείας τοῦτο παρρησιάζομαι· εἰ μὴ τάχιον σπεύσεις τοῦ κινδύνου ἡμᾶς ἐξελέσθαι, μὴ πρὸς τοσοῦτον βάρος πολέμου τε καὶ λιμοῦ ἀντισχεῖν ἐπὶ πλέον δεδυνημένους, σὺ δ' ὁ ἡμέτερος βασιλεύς, εἴγε δυνάμενος βοηθεῖν οὐκ ἐπέσπευσας τὴν βοήθειαν, οὐκ ἂν φθάνοις ἔγκλημα προδοσίας ἀποφυγγάνων."* *ὁ δὲ αὐτοκράτωρ δεῖν ἔγνω διά τινος τρόπου ἑτέρου αὐτοὺς καταγωνίσασθαι. λογισμοὶ δὲ τοῦτον συνεῖχον καὶ μέριμναι. καὶ δῆτα σκοπῶν, ὅπως χρὴ λόχους ἐνδιαστήσασθαι, δι' ὅλης τῆς ἡμέρας διεπονεῖτο, ἀρωγὸν τὸν θεὸν ἐπικαλούμενος. μετακαλεσάμενος οὖν τηνικαῦτα τῶν γερόντων τινὰ Λαρισσαίων,* D *ἐπυνθάνετο περὶ τῆς τοῦ τόπου θέσεως. καὶ ἀνατείνας τοὺς ὀφθαλμούς, ἅμα καὶ τῷ δακτύλῳ ἐπισημαίνων, ἐπιμελῶς ἀνηρώτα, ὅποι φάραγγές εἰσι διερρωγυῖαι τοῖς τόποις, ἢ λόχμαι τινὲς βαθεῖαι πρὸς αὐτὰς συνεχίζονται. ταῦτα δὲ τοῦ Λαρισσαίου ἐπυνθάνετο, βουλόμενος λόχον ἐπιστῆσαι καὶ*

1. *καὶ δόξα* add. A. 2. *γὰρ πρὸς — τυραννίδα δεῖ ποιεῖν* G. 4. *ἐγκειμένοις* A. 6. *καὶ* om. A. 7. *σπεύσεις* C, *σπεύσῃς* PG. 8. *βάρος* om. G. 10. *ἔσπευσας* AG. 12. *αὐτοὺς* om. A. 14. *ἐνδιαστήσασθαι* C, *ἐνστήσασθαι* PA, *ἐνδιαστήμενος* G. 15. *τῆς* add. A. *ἀρωγὸν τ. θ. ἐπικαλούμενος, διεπονεῖτο* AG. 16. *τινὰ τῶν γερόντων* G. 17. *ἀναθείνας* P. 19. *ὅπῃ* A. 20. *συσχίζονται* C. 21. *βουλόμενος* om. G.

poteris, deo sit gratia et gloria: sin minus, ego quidem, quod meum erat, praestiti; et necessitati obsecuti, (quid enim oportet adversus naturam eiusque imperium niti?) arcem hostibus dedere decrevimus, qui nos premunt et manifesto suffocant. haec calamitas si nobis acciderit, ego quidem devovebor; sed libere etiam maiestati tuae hoc dico: nisi properas periculo nos eximere, qui tanta et belli et famis incommoda diutius sustinere non possimus, tu, imperator noster, siquidem auxilium cum ferre potuisses, non celeriter tuleris, proditionis crimen effugere vix poteris." at imperator hostes alio quodam modo debellandos censuit; itaque cura atque sollicitudine tenebatur; et quo modo insidiae struendae essent, per totum dispiciebat diem, dei auxilium implorans. arcessitum autem senem Larissaeum interrogavit de situ loci, oculisque intentis, digito simul demonstrans, percontatus est, ubi fauces essent vel frutices densi. haec ex Laris-

δι' ἀπάτης τοὺς Λατίνους καταγωνίσασθαι· τὸν γὰρ φανερὸν καὶ κατὰ μέτωπον φθάσας ἀπηγόρευε πόλεμον, πολλάκις συμβαλὼν καὶ ἡττηθεὶς καὶ πεῖραν τῆς συμβολῆς τοῦ Φραγγικοῦ πολέμου λαβών. ἐπεὶ δὲ ἥλιος κατέδυ, αὐτός τε δι' ὅλης κεκοπιακὼς τῆς ἡμέρας ὁ βασιλεὺς εἰς ὕπνον ἐτράπετο, ὄνειρος ἐφίσταται τούτῳ. ἐδόκει γὰρ ἐντὸς τοῦ ἱεροῦ τεμένους τοῦ μεγαλομάρτυρος Δημητρίου ἑστάναι καὶ φωνῆς P. 139 ἀκοῦσαι "μὴ λυποῦ, μηδὲ στένε, αὔριον νικᾷς." τὴν δὲ φωνὴν βάλλειν αὐτοῦ τὴν ἀκοὴν ᾤετο ἐκ μιᾶς τῶν ἐν τῷ τεμένει ἀπῃωρημένων εἰκόνων, ἐν ᾗ ὁ μεγαλομάρτυς Δημήτριος κατεγέγραπτο. διυπνισθεὶς δὲ καὶ περιχαρὴς γεγονὼς ἐκ τῆς τοῦ ὀνείρου ταύτης ὀμφῆς, ἐθεοκλύτει τε τῷ μάρτυρι καὶ προσυπισχνεῖτο, εἰ γένοιτό οἱ νίκην κατὰ τῶν ἐχθρῶν ἄρασθαι, αὐτόθι τε παραγενέσθαι καὶ πρὸ σταδίων ἱκανῶν τῆς πόλεως Θεσσαλονίκης οὐκ ἔφιππον, ἀλλὰ πεζῇ καὶ βάδην ἐρχόμενον εἰς τὴν αὐτοῦ εἰσελεύσεσθαι προσκύνησιν. καὶ δὴ μετακαλεσάμενος τοὺς στρατηγούς τε καὶ ἡγεμόνας καὶ συγ- B γενεῖς ἅπαντας, βουλῆς ἤρχετο, τὴν ἑκάστου γνώμην ἀναζητῶν· εἶτα τὸ σκοπηθὲν ἀπήγγειλε. τὸ δὲ ἦν παραδοῦναι τὰ τάγματα ἅπαντα τοῖς συγγενέσιν αὐτοῦ· προεξάρχοντα δὲ τὸν

1. διὰ G. 6. ὄνηρος P. γὰρ add. A. 8. ἀκούσας P. λύπους G. 10. μεγαλομάρτυρ A. καταγέγραπτο G. 12. τοῦ add. A. ἐθεοκλύτει C, ἐθεοκλήτει PAG. 13. προσυποσχνεῖτο P. 14. αὐτόθι CAG, αὐτός P. τε om. G. 16. εἰσελεύσεσθαι A, ἐλεύσεσθαι PG. 17. καὶ συγγενεῖς om. A. 19. δοῦναι CG.

saeo quaesivit, quoniam insidias struere et dolo Latinos debellare volebat. dudum enim in aperto Marte parum spei ponebat, cum saepe congressus succubuissset et Francorum impetum expertus esset. sole occaso, cum imperator contentione totius diei fatigatus, somno se dedisset, somnium ei se obtulit. visus enim sibi est intra templum Demetrii magni martyris stare et hanc audire vocem: "ne angare, neve gemas, cras vinces." emitti autem ea vox videbatur ex una in aede suspensarum imaginum, qua Demetrius magnus martyr pictus erat. somno experrectus et summo gaudio affectus ob divinam hanc vocem, supplicavit martyri vovitque, si contingeret sibi victoriam de hostibus reportare, eo se profecturum et stadiis sat multis ante, quam Thessalonicam pervenisset, equo relicto, pedibus et gradu presso ad eius venerationem ingressurum. dein convocatis ducibus praefectisque et propinquis omnibus, consilium instituit, et postquam sententias interrogavit, quid sibi visum esset protulit. nimirum manipulos omnes propinquis suis tradendos censuit. summum autem imperium

Μελισσηνὸν Νικηφόρον ἐφίστησιν καὶ τὸν Κουρτίκιον Βασίλειον, τὸν καὶ Ἰωαννάκην καλούμενον· ἀνὴρ δὲ οὗτος τῶν ἐπιφανῶν, περιβόητος ἐπ' ἀνδρείᾳ καὶ στρατιωτικῇ ἐπιστήμῃ, ἐξ Ἀδριανουπόλεως ὁρμώμενος. οὐ τὰ τάγματα δὲ μόνον αὐτοῖς παραδίδωσιν, ἀλλὰ καὶ τὰ τῆς βασιλείας παράσημα ἅπαντα. ἐπέσκηπτε δὲ ποιήσασθαι τὴν παράταξιν καθ' ὃ
C σχῆμα ἐν τοῖς προηγησαμένοις πολέμοις αὐτὸς παρετάττετο,
V. 112 παραγγείλας αὐτοῖς δι' ἀκροβολισμῶν πρότερον ἀπόπειραν τῶν ἔμπροσθεν τῶν Λατίνων ἐρχομένων ποιήσασθαι, εἶτα τὸν ἐνυάλιον ἀλαλάξαντας, πανστρατὶ κατ' αὐτῶν χωρῆσαι· ἐπὰν δὲ ὁ συνασπισμὸς γένηται καὶ εἰς χεῖρας κατ' ἀλλήλων ἔλθωσι, νῶτα παρασχεῖν τοῖς Λατίνοις καὶ φεύγειν ἀκρατῶς ὡς πρὸς τὸ Λυκοστόμιον ὑποκρίνεσθαι. ἐν ᾧ δὲ ὁ βασιλεὺς ταῦτα παρεκελεύετο, χρεμετισμὸς ἁπάντων τῶν ἵππων τοῦ στρατοπέδου αἴφνης ἐξηκούσθη. καὶ θάμβος ἐπὶ τούτῳ κα-

1. κουρτίκην AG. 2. καὶ τὸν A. Ιωανάκην C. οὗτος τῶν ἐπ' ἀνδρείᾳ βεβοημένων· τὸν ἀδελφὸν ἀδριανὸν εἰς βασιλέα μετασχηματίσας. ᾧ στράτευμα δοὺς, ἐναντίον τοῦ στρατεύματος ῥομπέρτου στῆναι διακελεύεται. εἰ δ' ἐκεῖνος ὁρμήσει μαχέσασθαι, στρέψαι τὰ νῶτα καὶ αὐτίκα φυγεῖν. ταῦτα μὲν οὖν τῷ ἐσχηματισμένῳ βασιλεῖ ἐνετείλατο. ἐκεῖνος δὲ μετὰ τῆς λοιπῆς στρατιᾶς δι' ὁδῶν ἀδήλων περιοδεύσας, καὶ τῷ τῶν φράγγων ἐμβαλὼν χάρακι τάς τε σκηνὰς αὐτῶν καὶ τοὺς (leg. τὰ) ἐν αὐταῖς ἐληΐσατο καὶ φόνον πολὺν ἐποιήσατο. τοῦ βαϊμούνδου δὲ κατὰ τοῦ ἐσχηματισμένου βασιλέως ὁρμήσαντος, κἀκεῖνος καὶ ἡ σὺν αὐτῷ στρατιὰ τὰ χαλινὰ χαλάσαντες ἔφυγον. ὁ δὲ βάρβαρος ἐγαυρίᾳ μᾶλλον καὶ ἐπῆρτο ὡς ἀπροσμάχητος. ἐν τούτῳ δ' ἀγγέλλεται αὐτῷ τοῦ χάρακος ἡ ἐκπόρθησις καὶ ἡ φθορὰ τῶν ἐκεῖ· καὶ εὐθὺς παρεῖτο . . . . . . ἀκούσας δὲ τὰ παρὰ τοῦ βρυεννίου μηνυθέντα A, quae ad verbum descripsit Zonaras III, p. 236. 4. Ἀνδριανουπόλεως C, Ἀνδριανοπόλεως P, ἀδριανοπόλεως G. correxi. ὡρμώμενος P. 7. προσετάττετο G. 9. ἐρχομένων add. C. 10. ἐνυάλιον C et in margine PG, εὐάλιον P. 13. ὑποκρίνασθαι G. 14. χρεματισμὸς P, χρεμετισμὸς CG.

Melisseno Nicephoro detulit et Curticio Basilio, qui et Iohannaces vocabatur; erat hic e numero illustrium, fortitudine et militari peritia celeberrimus, Adrianopoli oriundus. nec vero copias tantum illis tradidit, sed insignia quoque imperatoria universa, praecepitque, aciem ita instruerent, quemadmodum in prioribus proeliis ipse fecisset; velitando prius Latinos antecedentes tentarent, dein clamore sublato, omnibus copiis in eos moverent; certamine autem utrimque conserto, terga repente Latinis darent ac fugam effusam Lycostomium versus simularent. quae dum imperator praecipit, hinnitus repente

τέσχεν ἅπαντας· ἀγαθὸς δὲ ὅμως οἰωνὸς αὐτῷ τε τῷ βασιλεῖ παραυτίκα καὶ πᾶσι τοῖς περιεργοτέροις ἐδόκει. ἀλλὰ ταῦτα μὲν οὕτως πως ἐπισκήψας αὐτοῖς καὶ καταλιπὼν δε- D ξιόθεν τοῦ κάστρου Λαρίσσης, περιμείνας τὴν τοῦ ἡλίου δύσιν, γεννάδας τινὰς ἄνδρας ἕπεσθαί οἱ ἐπιτάξας, τὴν τοῦ Λιβοτανίνου κλεισούραν διεληλυθὼς καὶ τὸν Ῥεβένικον περικύψας καὶ διὰ τῆς καλουμένης Ἀλλαγῆς πρὸς τὸ εὐώνυμον τῆς Λαρίσσης μέρος καταλαβών, καὶ περιαθρήσας τὴν ἅπασαν τοῦ τόπου θέσιν, χθαμαλώτερον τόπον κατανοήσας, ἐκεῖθι μετὰ τῶν συνεφεπομένων αὐτῷ λοχῶν ἦν. οἱ δὲ ἡγεμόνες τῶν Ῥωμαϊκῶν ταγμάτων, ὁπηνίκα ὁ βασιλεὺς προλοχήσειν, ὡς εἴρηται, ἐπειγόμενος τὴν τοῦ Λιβοτανίνου κλεισούραν διέρχεσθαι ἔμελλε, τηνικαῦτα ἀποσπάδα τινὰ τῶν Ῥωμαϊκῶν ἀποδιελόμενος ταγμάτων κατὰ τῶν Κελτῶν ἐξέπεμψαν, ἐφ' ᾧ πρὸς ἑαυτοὺς ἑλκύσαι, ὡς μὴ ἐκεχειρίαν ἔχοιεν φωρᾶσαι τὸν αὐτοκράτορα, ὅπη πορεύεται. οἳ καὶ πρὸς τὴν πεδιάδα κατελθόντες, προσέβαλον τοῖς Κελτοῖς, καὶ ἐφ' ἱκανὸν μαχεσάμενοι διέστησαν, τῆς νυκτὸς ἀπάρτι μὴ παραχωρούσης τὴν μάχην. καταλαβὼν δὲ τὸν σκοπηθέντα τόπον ὁ βασιλεύς, P. 140 ἅπαντας ἀποβῆναι τῶν ἵππων ἐκέλευσε καὶ ἐπὶ γόνυ κλιθέντας τοὺς χαλινοὺς χερσὶ κατέχειν. καὶ αὐτὸς δὲ χαμαιδρύῳ

2. παραυτίκα CG, τηνικαῦτα P. 4. τοῦ alterum om. G. 6. an περικάμψας? 8. Λαρίσσης P in margine, κλεισούρας PG. 12. Λιβοτανίνου C, Λειβοτανίνου PG. 13. τινὰ add. CG. 14. lege ἀποδιελόμενοι. ἐξέπεμψεν G. 15. αὐτοὺς G. ἑλκύσας P. φωράσαι CG, φωρᾶσθαι P, correxi. 16. ὅπη C, ὅποι PG. πορεύηται G. κατελθόντας G. 20. ἐκέλευσε C, ἐκέλευε PG.

omnium, qui in exercitu erant equi, auditus est; quae res cum omnes admiratione cepisset, tamen imperatori et intelligentioribus quibusque bonum statim visum est omen. postquam haec mandavit, et ad dextram arcis Larissae eos reliquit, solis occasu, generosis quibusdam viris sequi se iussis, per Libotanini angustias perrexit, et Revenicum circumvectus, per Allagen quem dicunt locum ad sinistrum se contulit Larissae latus. atque explorato totius regionis situ, cum depressiorem invenisset locum, ibi cum iis, qui ipsum comitabantur, subsedit. Romanarum autem copiarum duces, cum imperator insidias, ut diximus, collocaturus, in eo esset, ut Libotanini angustias transiret, exercitus partem adversus Gallos miserunt, ut, quo imperator proficisceretur, impedirentur observare. hi igitur in planitiem progressi, Gallos adoriuntur, et postquam satis pugnarunt, destiterunt, intercedente tum nocte. imperator ubi in locum, quo tendebat, pervenit, descendere de equis omnes iussit, et genibus nixos, habenas manibus tenere.

περιτυχών, ὡσαύτως κατακλιθείς, τὸν χαλινὸν ἐν χερσὶ κατέχων, ἐπὶ πρόσωπον τὸ ἐπίλοιπον τῆς νυκτὸς ἔκειτο.

6. Ἀνίσχοντος δὲ τοῦ ἡλίου, ἐπεὶ τὰ τῶν Ῥωμαίων τάγματα κατὰ φάλαγγας ἱστάμενα ὁ Βαϊμοῦντος ἐθεάσατο, τάς τε βασιλικὰς σημαίας καὶ τὰ ἀργυρόηλα δόρατα, τοὺς ἵππους μετὰ τῶν βασιλικῶν ἐρυθρῶν ἐφεστρίδων, ὡς ἐνόν, καὶ αὐτὸς τὴν ἰδίαν κατ' αὐτῶν κατεστήσατο φάλαγγα, διχῇ B διελὼν τὰς δυνάμεις, καὶ τῶν μὲν αὐτὸς κατάρχων, τῶν δὲ φαλαγγάρχην τὸν Βρυέννιον καταστήσας· Λατῖνος δὲ οὗτος τῶν ἐπιφανῶν, ὃν καὶ κονοσταῦλον ὠνόμασαν· οὕτω γοῦν τὰς ἰδίας καταστήσας δυνάμεις, τὸ σύνηθες καὶ πάλιν ποιεῖ καὶ κατὰ μέτωπον τῆς παρατάξεως, ὅπῃ τὰ βασιλικὰ ἑώρα παράσημα, ἐκεῖ τὸν αὐτοκράτορα νομίσας εἶναι, ὡς πρηστὴρ τοῖς φαινομένοις ἐμπίπτει. οἱ δὲ μικρὸν ἀντισχόντες, τὰ νῶτα τούτῳ διδόασιν· ὁ δὲ τούτους διώκων ὄπισθεν ἤλαυνεν ἀκρατῶς, ὡς ὁ λόγος φθάσας ἐδήλωσεν. ὁ μέντοι βασιλεὺς τὰ ἴδια τάγματα ἐπὶ πολὺ φεύγοντα ὁρῶν καὶ τὸν Βαϊμοῦν- C τον ὄπισθεν τῶν Ῥωμαϊκῶν ταγμάτων ἀκρατῶς διώκοντα, στοχασάμενος ἱκανὸν ἤδη διάστημα τῆς ἰδίας ἀποστῆναι τὸν Βαϊμοῦντον παρεμβολῆς, ἐπὶ τὸν ἵππον ἀναβάς, τὸ αὐτὸ δὲ καὶ τοῖς μετ' αὐτοῦ παρακελευσάμενος, καταλαμβάνει τὴν τοῦ Βαϊμούντου παρεμβολήν. καὶ εἴσω ταύτης γενόμενος, πολλοὺς μὲν τῶν παρευρεθέντων Λατίνων ἀναιρεῖ καὶ τὰ λά-

5. malim καὶ τούς. 7. φάλαγγαν PG, recte C. 12. κατὰ τὸ μέτωπον G. 15. διδόασι G. 19. τὸν Βαϊμοῦντον om. CG. 21. καταλαμβάνει C, παραλαμβάνει PG.

atque etiam ipse trixagini herbae, quam forte invenerat, similiter innisus, habenas tenens manibus, in faciem per reliquam noctem procubuit.

6. Sole oriente, cum Romanorum copias in acie collocatas Boëmundus conspexisset et imperatoria insignia hastasque argenteis distinctas clavis atque equos purpureis ephippiis instratos, et ipse, ut poterat, aciem instruxit, in duas partes copiis divisis, quarum alteram ipse duxit, alteri Bryennium praefecit: Latinus hic erat ex illustribus, quem etiam conostablum vocabant. sic igitur constitutis Boëmundus copiis, quod consueverat, rursus fecit et in frontem aciei, ubi imperatoria insignia conspexit, imperatorem ibi esse ratus, ut fulgur in fallacias invehitur. Romani, postquam paullulum obstiterunt, terga vertunt; quos ille insequitur summa, quam supra diximus, vehementia. at imperator ubi copias suas procul fugientes vidit et Boëmundum vehementissime insequentem, iam satis longe a castris suis Boëmundum abesse ratus, equo conscenso iussisque suis idem

φυρα ἐκεῖθεν ἀναιρεῖται· εἶτα περιαθρεῖ τοὺς διώκοντας καὶ
φεύγοντας. καὶ ἐπεὶ ἀτεχνῶς ἑώρα τὴν φυγὴν ποιουμένους,
καὶ τὸν Βαϊμοῦντον ὄπισθεν διώκοντα καὶ ἐκείνου ὄπισθεν τὸν
Βρυέννιον, μετακαλεσάμενος τὸν καλούμενον Πυρρὸν Γεώρ-
γιον ἐπὶ τοξείᾳ ὑμνούμενον καὶ ἑτέρους ἄνδρας γενναίους, χω-
ρίσας ἱκανοὺς πελταστάς, ὄπισθεν τοῦ Βρυεννίου ὀξέως ἐλαύ- D
νειν ἐπέσκηψεν, φθάσαντας δὲ μὴ ἀγχέμαχον τὴν μάχην ποιῆ-
σαι, ἀλλὰ πόρρωθεν κατὰ τῶν ἵππων μάλα συχνὰ πέμπειν
τὰ βέλη. ἐπικαταλαβόντες οὖν τοὺς Κελτούς, τοὺς ἵππους
πυκνοῖς οἰστοῖς ἔβαλλον, ὡς ἐν ἀμηχανίᾳ τοὺς ἱππότας καθί- V. 113
στασθαι. καὶ γὰρ Κελτὸς ἀνὴρ πᾶς, ἐποχούμενος μέν, ἀνύ-
ποιστος τὴν ὁρμὴν καὶ τὴν θέαν ἐστίν, ἐπὰν δ' ἀποβαίη τοῦ
ἵππου, τὸ μέν τι τῷ μεγέθει τῆς ἀσπίδος, τὸ δέ τι καὶ διὰ
τὰ τῶν πεδίλων προάλματα καὶ δρόμον ἀνεπιτήδειον, εὐχει-
ρότατός τε τηνικαῦτα γίνεται καὶ ἀλλοῖος παντάπασιν ἢ πρό-
τερον, ὀκλαζούσης οἷον καὶ τῆς ψυχικῆς αὐτῷ προθυμίας. καὶ P. 141
τοῦτο, οἶμαι, γινώσκων ὁ βασιλεύς, μὴ τοὺς ἱππότας, ἀλλὰ
τοὺς ἵππους ἀναιρεῖν ἐπέταττε. τῶν δὲ ἵππων τῶν Κελτῶν
πιπτόντων, περιεδινοῦντο οἱ τοῦ Βρυεννίου. καὶ ἀπὸ τῆς
τούτων πολλῆς συστροφῆς κονίσαλος μακρὸς καὶ πυκνὸς ἵστατο
μέχρι νεφῶν κορυφούμενος, ὡς παραβάλλεσθαι τοῦτον κατ' ἐκεῖ-

6. ἐλαύνειν ὀξέως G. 12. τὴν prius : εἰς CG. 13. τῷ μέντοι P, τὸ μέντοι G, τὸ μέν τι C. 14. εὐχειρώτατος G. vid. annotat. 15. ἢ : καὶ CG. 19. περιωδινοῦντο C. 20. κονίσσαλος C.

facere, Boëmundi castra invadit, ac multis, qui illic reperti sunt, Latinis necatis, praeda omni potitur. dein eos, qui persequebantur quique fugiebant, respicit. cumque suos fugam plane simulare, Boëmundum autem a tergo insequi et post hunc Bryennium videret, arcessivit quem vocabant Georgium Pyrrhum, iaculandi arte celebrem, et alios fortes viros, eosque cum idonea, quam ipsis attribuit, peltastarum manu Bryennium celeriter persequi iussit, hac tamen cautione, ut, cum prope accessissent, non cominus pugnandi copiam facerent, sed eminus tela in equos creberrime mitterent. assecuti igitur Gallos, equos ingenti telorum vi petunt, ut in magnam equites incurrerent difficultatem. nam Gallus miles omnis, dum equo vehitur, et impetu et adspectu terribilis est; sin descenderit ex equo, tum magnitudine clypei, tum propter rostratos calceos cursumque impeditum, facillime superari potest et alius omnino atque antea est, deficiente quasi ipsius animi alacritate. id, arbitror, perspectum imperator habens, non equites, sed equos interfici iussit. equis autem Gallorum cadentibus, turbabantur, qui cum Bryennio erant, magnaque eorum conglobatione densus excitatur pulvis ad nubes usque, ita ut caligo tum oriretur instar

νο καιροῦ τῷ κατὰ τὴν Αἴγυπτον γεγονότι πάλαι σκότει ψηλαφητῷ. τάς τε γὰρ τούτων ὄψεις ἀπετύφλου ἡ πυκνότης τῆς κόνεως καὶ ἄγνοιαν ἐμπαρεῖχεν, ὁπόθεν καὶ παρὰ τίνων οἱ ὀϊστοὶ πέμπονται. τρεῖς δὲ Λατίνους ἀποστείλας ὁ Βρυέννιος ἐδήλωσε τῷ Βαϊμούντῳ τὸ πᾶν. οἳ καὶ κατέλαβον αὐτὸν εἴς τι
B νησίδιον ποταμοῦ τοῦ οὕτω καλουμένου Σαλαβρία μετά τινων ἱσταμένου ὀλίγων Κελτῶν καὶ σταφυλὰς ἐσθίοντα, ἅμα δὲ καὶ ὑπέρκομπόν τι καυχώμενον, ὅπερ καὶ μέχρι τοῦ νῦν παρῳδεῖται καὶ περιφέρεται. τοῦτο γὰρ πολλάκις ἔλεγε βαρβαρίζων τὸ Λυκοστόμιον, ὅτι "τὸν Ἀλέξιον εἰς λύκου στόμα ἐνέβαλον." τοιοῦτον γὰρ ἡ ὑφεροψία σφάλλουσα τοὺς πολλοὺς καὶ πρὸς τὰ ὑπ' ὄψιν καὶ ἐν ποσὶ κείμενα. ἀκούσας δὲ τὰ παρὰ τοῦ Βρυεννίου μηνυθέντα καὶ ἐπιγνοὺς τὸν δόλον καὶ τὴν δι' ἀπάτης νίκην τοῦ αὐτοκράτορος, ἤχθετο μέν, ὡς εἰκός, κατέπιπτε δὲ οὐδαμῶς, ὁποῖος ἐκεῖνος. ἀποκριθέντες οὖν τινὲς
C τῶν ὑπ' αὐτὸν κατάφρακτοι Κελτοὶ ἀνῆλθον εἰς ἀκρώρειάν τινα κατέναντι τῆς Λαρίσσης διακειμένην. τούτους τὸ ὁπλιτικὸν θεασάμενοι, ξὺν πολλῇ προθυμίᾳ ἐβίαζον προσβαλεῖν αὐτοῖς· ὁ δὲ αὐτοκράτωρ ἀπεῖργε τούτους τοῦ ἐγχειρήματος. ἐκ διαφόρων δὲ πολλοὶ καὶ διάφοροι ξυμμιγέντες ταγμάτων ἀνελθόντες προσέβαλλον τοῖς Κελτοῖς· οἱ δὲ παραχρῆμα κατ' αὐτῶν ὡρμηκότες, ἀναιροῦσιν ἄχρι τῶν πεντακοσίων. εἶτα

2. τάς τε : τότε G. 6. νησήδιον PG, recte C. σαλαυρία CG. 8. παρᾴδεται G. 10. ἔβαλον G. 16. αὐτὸν C, αὐτῷ PG. vid. annotat. 18. σὺν A. προσβαλεῖν FP, ξυμβαλεῖν CAG. 19. ἀπῆγε CAG. 20. ἐκ διαφόρων δὲ πολλῶν συμμιγέντες ταγμάτων A. 21. προσέβαλλον A, προσέβαλον PG.

tenebrarum illarum palpabilium, quibus Aegyptus olim afflicta est; nam prospectum adimebat vis pulveris nec explorandi potestatem dabat, unde et a quibus sagittae mitterentur. tribus autem Latinis missis, Bryennius rem omnem Boëmundo nuntiavit. hi invenerunt illum cum paucis suorum in parva insula fluvii, cui nomen Salabrias, uvas comedentem, simulque insolentius aliquid iactantem, quod etiamnum in ore vulgi est. nam saepius repetebat, barbaro ore Lycostomium efferens, Alexium in lupi fauces a se coniectum esse. adeo superbia plurimos fallit etiam in iis, quae sub oculis et ante pedes sunt. ille cum nuntium Bryennii accepisset, et dolum imperatoris cognovisset victoriamque fraude partam, commotus est quidem, ut par erat, nequaquam tamen, qua erat fortitudine, concidit animo. electi igitur loricati aliquot Galli tumulum conscendunt e regione Larissae situm. quos simulac exercitus Romanus conspexit, magna poscunt alacritate cum ipsis congredi. id cum imperator fieri vetuisset, tamen varii ex variis cohortibus magno numero permixti, in collem evadunt Gallos-

τοῦ βασιλέως στοχασαμένου τὸν τόπον, δι' οὗ ὁ Βαϊμοῦντος ἔμελλε διελθεῖν, καὶ ἀποστείλαντος γενναίους στρατιώτας μετὰ καὶ Τούρκων καὶ τοῦ Μιγιδηνοῦ προεξάρχοντος, ἅμα τῷ πλησίον γενέσθαι, εὐθὺς ὁ Βαϊμοῦντος ὁρμήσας κατ' αὐτῶν, ἥττησε τούτους μέχρι τοῦ ποταμοῦ διώξας. D

7. Τῇ δὲ μετ' αὐτήν, αὐγαζούσης ἤδη τῆς ἡμέρας, παραδραμὼν τὸν ἤδη ῥηθέντα ποταμὸν μετὰ τῶν συνεφεπομένων αὐτῷ κομήτων καὶ αὐτοῦ δὴ τοῦ Βρυεννίου, ἐπεὶ ἑλώδη τόπον ἐν τοῖς τῆς Λαρίσσης μέρεσιν ἐθεάσατο, ἀναμεταξὺ δύο βουνῶν πεδιάδα ἀλσώδη εὑρὼν ἀποτελευτῶσαν εἰς στενωπὸν ὀξύν, (κλεισοῦραν τοῦτο καλοῦσιν,) τὴν λεγομένην Δεμενίκου παλάτιον, διὰ τούτου εἰσελθών, ἐκεῖ τὸν χάρακα ἐπήξατο. τῇ δὲ μετ' αὐτὴν κατὰ τὸ περίορθρον καταλαμβάνει αὐτὸν ὁ φαλαγγάρχης Μιχαὴλ ὁ Δούκας, ὁ πρὸς μητρὸς ἐμὸς θεῖος, μετὰ τοῦ ὁπλιτικοῦ παντός, ἀνὴρ ἐπὶ φρονήσει διαβεβοημένος, ὥρᾳ δὲ καὶ μεγέθει σώματος διαφέρων οὐ τῶν τότε P. 142
καιροῦ, ἀλλὰ καὶ τῶν πώποτε γεγενημένων, (θάμβος γὰρ εἶχεν ἅπαντας τοὺς ὁρῶντας τὸν ἄνδρα,) συνιδεῖν δὲ τὸ μέλλον καὶ φωρᾶσαι τὸ ἐνεστὸς καὶ καταπράξασθαι δεινότατός τε καὶ V. 114

1. τὸν τόπον A, τοῦ τόπου PG. 3. καὶ prius add. CA. μιγιδινοῦ A. 6. τῇ : τὴν A. μετ' αὐτὴν κλεισοῦραν εἰσελθών, ἐπὶ ἑλώδη τόπον τινά, ἐν τοῖς μέρεσι τῆς λαρίσσης καὶ διακείμενον, καὶ δομενίκου παλάτιον καλούμενον, ἐκεῖ τὸν χάρακα ἐπήξατο A. 9. τῆς om. G. 11. ὀξύν add. CG et in margine P. τοῦτον CG. τὴν λεγομένην : καὶ γενομένην G. Δεμενίκου C, Δομενίκου PAG. 13. αὐτὸν : τὸν τόπον A. 14. μητρὸς : πατρὸς CG. 15. ἀνήρ τις C. 17. καιροῦ om. A. 19. καὶ primum om. G. καὶ alterum om. C.

que adoriuntur: in quos impetu illi statim facto, ad quingentos caedunt. dein cum imperator in locum, ubi Boëmundum transiturum esse coniiciebat, milites fortes una cum Turcis, Migideno duce, misisset, eos Boëmundus, ut prope fuerunt, aggressus vicit atque ad fluvium usque persecutus est.

7. Postridie eius diei, sole orto, Boëmundus fluvium, cuius mentionem iam fecimus, una cum comitibus et ipso Bryennio transgressus, cum palustrem regionem prope Larissam animadvertisset, invenissetque inter montes duos locum saltuosum in angustias, quas clusuras vocant, desinentem, Demenici palatium dictum, eum ingressus est ibique castra posuit. postero die sub diluculum cum universo exercitu accessit phalangis dux Michael Ducas, avunculus meus, vir prudentiae laude celeberrimus, forma et magnitudine corporis non aequalibus modo, sed omnibus omnino, qui unquam fuere, praestans: admiratio cepit omnes, qui adspiciebant hominem: idem de futuris callidissime coniiciebat et praesentia indagabat conficiebatque unus omnium dex-

ἀπαράμιλλος. τούτῳ ὁ αὐτοκράτωρ ἐπέσκηψεν μὴ πάντας ἐντὸς τοῦ στομίου τῆς κλεισούρας εἰσελθεῖν, ἀλλὰ τὰς μὲν δυνάμεις ἔξωθεν ἵστασθαι ἰλαδόν, ὀλίγους δὲ διελεῖν Τούρκων καὶ Σαυροματῶν τῆς τοξείας εἰδήμονας καὶ τούτοις παραχωρῆσαι τῆς εἰσόδου, ἐπισκῆψαι δὲ τούτοις, μηδενὶ ἑτέρῳ ξίφει πλὴν οἰστοῖς χρήσασθαι. εἰσελθόντων δὲ καὶ ἱππασίας ποι-
B ουμένων κατὰ τῶν Λατίνων, οἱ ἔξωθεν ἱστάμενοι πρὸς ἀλλήλους σφαδάζοντες ἤριζον, ὁποῖος ἂν τὸ στόμιον εἰσέλθοι. ὁ γὰρ Βαϊμοῦντος πλήρης ὢν στρατηγικῆς ἐπιστήμης, τοὺς ὑπ' αὐτὸν ἐκέλευε συνησπικότας ἵστασθαι, καὶ ταῖς ἀσπίσιν ἑαυτοὺς περιφράττοντας ἀτρεμεῖν. ὁ δέ γε πρωτοστράτωρ θεασάμενος τοὺς ὑπ' αὐτὸν κατὰ μικρὸν ἐκρέοντας καὶ εἰσερχομένους διὰ τοῦ στομίου, εἰσῆλθε καὶ αὐτός. ὁ δὲ Βαϊμοῦντος τούτους θεασάμενος, ὥσπερ λέων ἐχάρη μεγάλῳ ἐπὶ σώματι κύρσας, εἴπεν ἂν τις Ὁμηρικῶς, ὣς καὶ οὗτος ἰδὼν ἐν αὐτοῖς ὀφθαλμοῖσι τούτους καὶ τὸν πρωτοστράτορα Μιχαήλ,
C ἀσχέτῳ ῥύμῃ πανσυδὶ κατ' αὐτῶν ἵεται· οἱ δὲ παραχρῆμα νῶτα τούτοις διδόασιν. Οὔζας δὲ τὴν κλῆσιν φερώνυμον ἐκ τοῦ γένους λαχών, ἐπ' ἀνδρείᾳ διαβεβοημένος, εἰδὼς ἠδ' ἐπὶ δεξιὰ ἠδ' ἐπ' ἀριστερὰ νωμῆσαι βῶν ἀζαλέην, καθ' Ὅμηρον, ἐν

1. ἐπέσκηψεν ὁ αὐτοκράτωρ G. 2. τῆς κλεισούρας στομίου G, altero ordine PA. 3. ἔξω A. διελὼν C, διελθεῖν A. 4. καὶ alterum om. CG. 5. τούτοις : σφίσι A. 9. στρατηγικῆς FC et in margine P, βασιλικῆς PAG. 12. αὐτὸν : αὐτοὺς A. 13. ὁ δὲ : καὶ ὁ A. 14. τούτους : τοῦτον A. ὥστε coni. Hoeschel. 16. ὀφθαλμοῖσι CAG, ὀφθαλμοῖς P. 18. τούτοις add. A. 19. λαβὼν G. 20. καθ' Ὅμηρον om. A.

terrime. huic igitur praeceperat imperator, ut non omnes in angustiarum fauces introduceret, sed copias extra consistere iuberet turmatim dispositas. paucos tantum e Turcis Sarmatisque selectos, qui iaculandi arte excellerent, intrare pateretur, nec tamen ullo alio armorum genere quam telis eos uti sineret. verum cum hi ingressi in Latinos equis inveherentur, qui foris stabant, pugnandi cupiditate flagrantes, certabant in fauces introire. nam Boëmundus, rei militaris admodum peritus, suos confertim stare, scutisque tectos subsistere iussit. at protostrator cum suos paulatim dilabi et fauces ingredi cerneret, ingressus est et ipse. quos Boëmundus conspicatus, sicut leo gaudet, qui magnam in praedam inciderit, (ita Homerice dixeris), sic et hic, ubi suis ipse oculis protostratorem Michaelem cum suis ingressum vidit, vehementissimum in eos copiis omnibus impetum facit; illi terga statim vertunt. Uzas autem, nomen a gente nactus, virtutis laude insignis, ac peritus, ut Homerus ait, clypeum et dextrorsum et sinistrorsum movere, is igitur, cum ex angustiis egre-

τῷ τοῦ στομίου ἐξέρχεσθαι δεξιὰ παρεκκλίνας, γοργῶς ἐπιστραφείς, παίει τὸν αὐτῷ ὑπαντιάσαντα Λατῖνον· ὁ δ' εὐθὺς κύμβαχος κατὰ γῆς ἔκειτο. ὁ δὲ Βαϊμοῦντος ἐδίωκε τούτους μέχρι τοῦ ποταμοῦ Σαλαβρία. ἐν δὲ τῷ φεύγειν ὁ ἤδη ῥηθεὶς Οὐζᾶς παίει τὸν τὴν σημαίαν τοῦ Βαϊμούντου κατέχοντα διὰ τοῦ δόρατος, καὶ τὴν σημαίαν τῶν χειρῶν αὐτοῦ ἀφαρπάσας, μικρὸν περιδινεῖ καὶ κλίνει πρὸς τὸ πρανές. οἱ D γοῦν Λατῖνοι τὴν σημαίαν ἐξ ὀρθίου σχήματος κατακλιθεῖσαν ἑωρακότες, ἐν συγχύσει γεγόνασι καὶ ἐφ' ἑτέραν ἐτράποντο ἀτραπόν, δι' ἧς καὶ τὰ Τρίκαλα καταλαμβάνουσιν ἤδη προκατασχεθέντα παρά τινων τῶν τοῦ Βαϊμούντου πρὸς τὸ Λυκοστόμιον φευγόντων. κἀκεῖσε τέως αὐλίζονται εἴσω τούτων γεγονότες· ἐκεῖθεν δὲ καταλαμβάνουσι τὴν P. 143 Καστορίαν. ὁ δὲ βασιλεὺς ὑποστρέψας ἀπὸ Λαρίσσης καὶ τὴν Θεσσαλονίκην καταλαβών, ὁποῖος ἐκεῖνος περὶ τὰ τοιαῦτα, ταχὺ μάλα πρὸς τοὺς σὺν τῷ Βαϊμούντῳ κόμητας ἀποστείλας, πολλὰς ὑποσχέσεις ἐπεποίητο, εἰ τὸν Βαϊμοῦντον τοὺς μισθοὺς ἀπαιτήσουσιν, οὕσπερ αὐτοῖς καὶ ὑπέσχετο· τοῦ δὲ μὴ ἔχοντος ἀποδοῦναι, παραπείσουσι τοῦτον κατελθεῖν εἰς τὴν θάλασσαν καὶ ἀναζητῆσαι ταῦτα ἀπὸ τοῦ ἰδίου πατρὸς Ῥομπέρτου, καὶ αὐτὸν ἐκεῖνον διαπερᾶσαι τοὺς αὐτῶν μισθοὺς ἐξαιτησόμενον. καὶ εἰ τοῦτο ἀνύσαιεν, πάντας τιμῆς καὶ εὐεργεσιῶν μυρίων ἐπαπολαῦσαι. καὶ ὅσοι μὲν τούτῳ B

1. καὶ γοργῶς A. 2. ὑπαντιάσαντα PA, ὑπαντήσαντα CG. 4. σαλαυρία CG. 8. ἐξ ὀρθίου σχήματος om. A. 11. παρά τινων τῶν παρὰ τοῦ Βαϊμούντου πρὸς τὸ Λυκοστόμιον φυγόντων coni. Wilken. Hist. Comn. p. 200. 12. αὐλίζονται C, ηὐλίζοντο PG. 16. σὺν: ἐν G. 18. ὥσπερ CAG. 23. μυρίων εὐεργεσιῶν A. τούτῳ A, τούτων PG. vid. annotat.

diens ad dextram declinaret, celeriter conversus, Latinum occurrentem percutit; atque is statim praeceps humi corruit. Boëmundo autem Romanos persequente usque ad Salabriam flumen, idem, cuius meminimus, Uzas signiferum Boëmundi hasta percussit, signumque de manibus extortum aliquantum vibravit inclinavitque terram versus. Latini, cum signum inclinatum cernerent, trepidantes alteram capessunt viam ac Tricala perveniunt, quae urbs a nonnullis Boëmundi militibus Lycostomium versus fugientibus iam occupata erat. illic aliquamdiu commorati, Castoriam occupant. imperator Larissa reversus cum Thessalonicam pervenisset, ut solebat in eiusmodi rebus, celeriter per legatos Boëmundi comitibus maximas pollicitationes fecit, si a Boëmundo stipendia exigerent promissa; et cum solvendo non esset, eum inducerent, ut ad mare proficisceretur et pecuniam a Roberto patre requireret, vel adeo ipse traiiceret, quo mercedem pararet. quod si

ἐπὶ μισθῷ δουλεῦσαι θελήσουσι, προσλαμβάνεσθαι τούτους
καὶ ἀποχρῶντα τὸν μισθὸν ἀποδοῦναι κατὰ τὰ θελήματα αὐτῶν,
τοὺς δ' αὖ εἰς τὰς οἰκίας αὐτῶν βουλομένους ἀπελθεῖν ἀκινδύ-
νως διαβιβάσαι διὰ τῆς Οὐγγρίας. ὑπείξαντες οὖν τῷ τοῦ
βασιλέως προστάγματι οἱ κόμητες, τοὺς τῶν παραδραμόντων
τεσσάρων ἐνιαυτῶν μισθοὺς ἀσυμπαθῶς ἀπῄτουν. ὁ δὲ μὴ
ἔχων ἀποδοῦναι, ἀνεβάλλετο τέως. ὡς δὲ ἐνέκειντο εὔλογα
V. 115 αἰτοῦντες, μὴ ἔχων ὅ τι καὶ δράσειε, τὸν μὲν Βρυέννιον
αὐτοῦ που φυλάσσειν τὴν Καστορίαν κατέλιπε, καὶ τὸν τοὺς
Πολόβους φυλάσσοντα Πέτρον τοῦ Ἀλίφα· αὐτὸς δὲ τὸν
Αὐλῶνα κατέλαβε. τοῦτο δὲ μεμαθηκὼς ὁ βασιλεὺς νικητὴς
εἰς τὴν βασιλεύουσαν τῶν πόλεων ἐπαναζεύγνυσι.

C 8. Καταλαβὼν δὲ ταύτην καὶ ἐν συγχύσει τὰ κατὰ τὴν
ἐκκλησίαν εὑρών, οὐδὲ πρὸς βραχύν τινα χρόνον ἀνέσεως
ἔτυχεν. ἀλλ' ὁποῖος ἐκεῖνος ἀποστολικὸς μαθητὴς ὤν, ἐπεὶ
κυμαινομένην τοῖς τοῦ Ἰταλοῦ δόγμασι τὴν ἐκκλησίαν εὗρε,
κἂν κατὰ τοῦ Βρυεννίου ἐβουλεύετο, (Κελτὸς δὲ οὗτος τὴν
Καστορίαν κατασχών, ὡς εἴρηται,) ἀλλ' οὐδ' οὕτως ἠμέλει
τοῦ δόγματος. ἐπὶ τούτοις γὰρ καὶ τὰ κατὰ τὸν Ἰταλὸν [περὶ
τῆς αἱρέσεως τοῦ Ἰταλικοῦ] ἐβλάστησαν μεγάλως τὴν ἐκκλη-
D σίαν συνταράττοντα. οὗτος δὲ ὁ Ἰταλὸς (δεῖ γὰρ τὰ κατ'

3. ἀκινδύνους C. 6. ἀσυμπαθῶς om. A. 8. δράσειε A, δράσειεν PG. 9. κατέλειπε G. καὶ τὸν πέτρον τοῦ ἀλίφα τοὺς πολόβους φυλάξαντα A. 11. νικητὴς om. A. 12. ἐπαναζεύγνυτο A. 15. ἐτύγχανεν A. μαθητὴς add. A. 16. Ιταλικοῦ CG. 17. κατὰ C, καὶ P, καὶ κατὰ G. 19. τὰ περὶ τῆς αἱρέσεως τοῦ Ιταλικοῦ κατὰ τὸν Ιταλὸν ἐβλάστησαν G. ego indicem capitis, qui in textum irrepsit, uncis inclusi. 21. ταράττοντα CG. ὁ om. AG.

effecissent, omnes honorem atque innumera beneficia capturos, et quicunque suis sub signis merere vellent, eos se in commilitium ascituros esse et tantam mercedem soluturum, quantam cuperent. qui vero redire domum mallent, tutum illis iter per Hungariam se daturum. eam conditionem comites secuti, stipendia quadriennii praeteriti sine ulla indulgentia flagitarunt. hic cum a pecunia laboraret, differebat diem; sed instantibus illis iusta petere, cum non haberet, quo se verteret, Bryennium reliquit ad Castoriam defendendam; Poloborum custodiam Petro Aliphae tradidit; ipse Aulonem petiit. quod ubi imperator comperit, victor in urbium reginam reversus est.

8. Ibi cum perturbatam ecclesiam invenisset, ne paullum quidem requievit; sed ut erat disciplinae apostolicae addictus, ubi vexatam Itali dogmatis ecclesiam vidit, licet proficisci in Bryennium cogitaret, (Gallum istum Castoriam tenere narravimus,) tamen ne sic quidem doctrinam evangelicam neglexit. eo enim tempore Itali haeresis succre-

αὐτὸν ἐξ ἀρχῆς αὐτῆς διηγήσασθαι,) ὥρμητο μὲν ἐξ Ἰταλίας καὶ ἐν τῇ Σικελίᾳ ἐφ' ἱκανὸν διέτριψε· νῆσος δὲ αὕτη ἀγχοῦ τῆς Ἰταλίας διακειμένη. οἱ γὰρ Σικελοὶ ἀποστάντες τῆς Ῥωμαίων ἀρχῆς καὶ εἰς πόλεμον κατ' αὐτῶν καὶ μάχας ἀπονενευκότες, τοὺς Ἰταλοὺς εἰς συμμαχίαν προὐκαλέσαντο, μεθ' ὧν καὶ ὁ τοῦ Ἰταλοῦ πατὴρ ἦν, ἔχων καὶ τὸν παῖδα μεθ' ἑαυτοῦ, κἂν μὴ στρατεύσιμον εἶχε τὴν ἡλικίαν, συνεφεπόμενον τούτῳ καὶ συμπαρασκαίροντα καὶ τὰ πολεμικά, οἷα τὰ τῶν Ἰταλῶν, παιδευόμενον. τὰ μὲν οὖν πρῶτα τῆς ἡλικίας οὕτως εἶχε τῷ Ἰταλῷ, καὶ ἡ πρώτη τοιαύτη τούτῳ καταβολὴ τῆς παιδεύσεως. ἐπεὶ δὲ ὁ κλεινὸς ἐκεῖνος Γεώργιος ὁ Μα- P. 144 νιάκης, τοῦ Μονομάχου τὰ σκῆπτρα τῆς Ῥωμαίων διέποντος, τυραννήσας τὴν Σικελίαν κατέσχε, μόλις ἐκεῖθεν ὁ τοῦ Ἰταλοῦ πατὴρ καὶ τὸν παῖδα ἐπιφερόμενος πέφευγε. καὶ εἰς Λογγιβαρδίαν φυγάδες ἄμφω κατήχθησαν ἔτι ὑπὸ Ῥωμαίους τελοῦσαν. ἐκεῖθεν δὲ οὗτος ὁ Ἰταλός, οὐκ οἶδ' ὅπως, τὴν Κωνσταντινούπολιν κατέλαβεν, ἁπάσης παιδείας καὶ τέχνης λογικῆς οὐκ ἐνδεῶς ἔχουσαν. καὶ γὰρ ἀπὸ τῆς αὐτοκρατορίας Βασιλείου τοῦ πορφυρογεννήτου μέχρι αὐτῆς τῆς τοῦ Μονομάχου βασιλείας ὁ λόγος, εἰ καὶ τοῖς πλείοσιν ἐρρᾳθύμητο, ἀλλ' οὖν γε πάλιν οὐ καταδεδυκώς, ἀνέλαμψε καὶ ἀνέ- B θορε καὶ διὰ σπουδῆς τοῖς φιλολόγοις ἐγένετο ἐπὶ τῶν χρόνων Ἀλεξίου τοῦ αὐτοκράτορος, τὰ πρὸ τούτου χλιδώντων

1. *αὐτῆς* add. CA. 3. *τῆς τῶν Ῥωμαίων* G. 7. *στρατεύειν* CG. 8. *καὶ* alterum om. G. 11. *Γεώργιος ἐκεῖνος* PG, altero ordine F. 17. *Κωνσταντίνου* A.

vit, quae magnopere ecclesiam agitavit. hic autem Italus (nam ab initio repetendum est) Italia oriundus, aliquamdiu in Sicilia commoratus est, quae est insula prope Italiam. etenim Siculi cum a Romanis defecissent et bellum in eos pararent, Italos auxilio arcessiverunt; inter quos etiam Itali pater erat, filiolum secum ducens, qui licet nondum militari aetate esset, tamen sequebatur patrem titubanti pede et militiam, ut Italorum mos est, discebat. talis igitur pueritia Itali erat, et tale initium ac fundamentum eruditionis eius. cum vero celeber ille Georgius Maniaces, Monomacho Romanorum imperatore, tyrannidem in Sicilia occupasset, aegre illinc Itali pater una cum filio aufugit; et in Longibardiam profugi ambo rediere, Romanis etiam tum subiectam. hinc Italus iste, nescio quo modo, Cpolin venit, cuiusvis eruditionis bonarumque artium nequaquam tum expertem. nam inde a Basilii Porphyrogeniti principatu usque ad ipsum Monomachi imperium litterarum studia, etsi fere iacebant, tamen non plane erant extincta, donec imperatoris Alexii temporibus excitata, efflorescere coeperunt ac summa diligentia a philologis tractari. nam antehac delicati plerique erant nugas-

τῶν πλειόνων καὶ παιζόντων ἀνθρώπων καὶ ὀρτυγίαις καὶ ἄλλοις αἰσχίοσι παιγνίοις ἐνασχολουμένων διὰ τὴν χλιδήν, λόγον δὲ καὶ παίδευσιν ἅπασαν τεχνικὴν ἐν παρέργῳ τιθεμένων. οὕτως οὖν τοὺς ἐνταῦθα ἔχοντας ὁ Ἰταλὸς εὑρηκώς, καὶ ἀνδράσιν ὁμιλήσας σχολαστικοῖς καὶ ἀμειλίκτοις καὶ τὸ ἦθος ἀγρίοις, (ἦσαν γὰρ τότε καί τινες περὶ τὴν βασιλεύουσαν τοιοῦτοι,) παιδείας τοίνυν λογικῆς ἐξ ἐκείνων μετασχών, καὶ Μιχαὴλ ἐκείνῳ τῷ Ψελλῷ ἐν ὑστέρῳ προσωμίλησεν, ὅς οὐ πάνυ τοι παρὰ διδασκάλοις σοφοῖς ἐφοίτησε, διὰ φύσεως C δὲ δεξιότητα καὶ νοὸς ὀξύτητα, τυχὼν μέντοι καὶ θεοῦ ἀρωγοῦ πρὸς τούτοις διὰ τὴν θερμοτάτην ἱκεσίαν τῆς μητρὸς αὐτοῦ ἐπαγρυπνούσης συχνῶς τῷ ἐν τῷ ναῷ τοῦ Κύρου τῆς θεοτόκου σεμνῷ εἰκονίσματι καὶ θερμοῖς τοῖς δάκρυσιν ὑπὲρ τοῦ παιδὸς ἐκκαλουμένης, εἰς ἄκρον σοφίας ἁπάσης ἐληλακὼς V. 116 καὶ τὰ Ἑλλήνων καὶ τὰ Χαλδαίων ἀκριβωσάμενος, γέγονε τοῖς τότε χρόνοις περιβόητος ἐν σοφίᾳ. τούτῳ γοῦν ὁ Ἰταλὸς προσομιλήσας ἐν ἀπαιδεύτῳ ἤθει καὶ βαρβαρικῷ οὐκ ἠδύνατο D φιλοσοφίας εἰς βάθος ἐλθεῖν, διδασκάλων ὅλως μηδ' ἐν τῷ μανθάνειν ἀνεχόμενος, θράσους ὢν μεστὸς καὶ ἀπονοίας βαρ-

1. πλειόνων ἀνθρώπων καὶ παιζόντων A, πλειόνων καὶ παιζόντων ἀνθρώπων PG. καὶ ante ὀρτυγίαις om. AG. ὀρτυγοθήραις G, ὀρτησίαις A, ὀρθυγίαις P. correxi. vid. annotat. 2. ἀσχολουμένων C. 3. τεχνικὴν : λογικὴν A. 6. τινες τοιοῦτοι περὶ τὴν βασιλεύουσαν A. 9. οὐ πάνυ : καὶ πάνυ A. τοι : lege τι. 10. ὀξύτητα : εὐθύτητα A. μέν τι A. 11. διὰ τὴν θερμοτάτην — αὐτοῦ AG, διὰ τὴν τῆς μητρὸς θερμοτάτην ἱκεσίαν αὐτοῦ P et omisso αὐτοῦ C. 12. ἐν τῷ A, αὐτῷ PG. 13. σεμνῷ C, σεπτῷ PAG. 15. τὰ alterum om. A. 16. τότε : τε G. ἐν σοφίᾳ om. G. 18. διδασκόντων CG.

que agebant ac coturnicum certaminibus et aliis turpioribus ludicris tempus terebant per mollitiem, litteras et omnem honestarum artium cultum vilipendentes. ita comparatos cum Italus homines hicce invenisset, et doctoribus umbraticis durisque atque agrestibus usus esset, (nam erant tum temporis tales in urbe nonnulli,) cum is igitur litteris eruditus ab his esset, etiam Michaelem illum Psellum postea adiit, qui etsi praeceptorum doctorum scholas minime frequentaverat, tamen naturali ingenii dexteritate et acumine, ad haec etiam dei auxilium nactus ob matris preces ardentissimas, crebris vigiliis ad sanctam deiparae in Cyri templo imaginem non sine lacrimis fervidis pro filii salute fusas, summum omnis sapientiae fastigium assecutus erat, et cum Graecorum simul et Chaldaeorum litteras apprime calleret, magna tum temporis doctrinae laude florebat. huic igitur Italus operam dedit, sed quoniam rudi et barbaro ingenio erat, in adytum philosophiae penetrare non potuit, praecipue quod praeceptores, qua erat arro-

βαρικῆς, πάντων τε καθυπερτερεῖν καὶ πρὸ τοῦ μαθεῖν οἰόμενος, καὶ πρὸς αὐτὸν τὸν Ψελλὸν ἐκ πρώτης ἀφετηρίας ἀντετάξατο. ἐμβαθύνας δὲ τῇ διαλεκτικῇ, μεθημερινοὺς θορύβους ἐν πανδήμοις συνελεύσεσιν ἐποιεῖτο, σοφιστικὰς συνείρων ἐρεσχελίας, καὶ πᾶν εἴ τι τοιοῦτον προτιθείς, καὶ αὖθις P. 145 ὑπέχων λόγον τοιουτότροπον. τοῦτον προσηταιρίσατο καὶ ὁ τηνικαῦτα βασιλεύων Μιχαὴλ ὁ Δούκας καὶ οἱ τούτου ἀδελφοί· καὶ δευτέρου μὲν λόγου τοῦτον πρὸς τὸν Ψελλὸν ἐτίθεντο, ὅμως δὲ περιείχοντό τε αὐτοῦ καὶ ἐν λογικαῖς συνεχρῶντο ἁμίλλαις· ἦσαν γὰρ φιλολογώτατοι οἱ Δοῦκαι, καὶ οἱ τοῦ αὐτοκράτορος ἀδελφοὶ καὶ αὐτὸς δὴ ὁ βασιλεὺς Μιχαήλ. ὁ δὲ Ἰταλὸς θερμὸν ἀεὶ καὶ μανικὸν πρὸς τὸν Ψελλὸν ἔβλεπε, κἂν ἐκεῖνος ὡς ἀετὸς τῶν τοῦ Ἰταλοῦ ἐρεσχελιῶν ὑπερίπτατο, διεγείρετο καὶ ἐπρίετο, ἐνεπίμπρατο ἢ ἐλυπεῖτο. τί τὸ μετὰ ταῦτα; ἐσφάδαζε τὰ τῶν Λατίνων τε καὶ Ἰταλῶν B κατὰ Ῥωμαίων, καὶ ἡ τῆς Λογγιβαρδίας ὅλης ὁμοῦ καὶ Ἰταλίας ἐμελετᾶτο κατάσχεσις. καὶ ὁ βασιλεὺς ἐκεῖνος τὸν Ἰταλὸν ὡς οἰκεῖον δῆθεν καὶ ἄνδρα ἀγαθὸν καὶ τὰ τῶν Ἰταλῶν ἐπιστάμενον εἰς Ἐπίδαμνον ἀπέστειλε. καὶ ἵνα συντέμω τὸν λόγον, ὡς κἀκεῖ ἐφωρᾶτο τὰ ἡμέτερα προδιδούς, καὶ ἀπεστέλλετο ὁ

1. ὑπερτερεῖν G. μαθεῖν A, μανθάνειν PG. 3. καθημερινοὺς A. 4. συνελεύσεσι πεποίητο A. 6. λόγον τοιοῦτον. τοῦτον τρόπον προσηταιρίσατο P, recte CAG. 8. τοῦτον om. GA. 9. περιείχοντό τε A, περιεῖχον τότε PG. 11. δὴ : δὲ G. 15. τε add. CA. 16. ὅλως A. 17. ὁ om. A. ἐκεῖνον A. 18. καὶ prius om. A. τῶν A, τὸν P, κατὰ τῶν G. 19. συντέμνω G, συντέμω PA. 20. τὰ καταπροδιδοὺς ἡμέτερα P, τὰ ἡμέτερα προδιδοὺς CAG.

gantia et barbara stoliditate, ne in discendo quidem ferre posset, cumque omnibus se, etiam antequam didicisset, antecellere opinaretur, ipsi quoque Psello a primo limine se opponere coepit. dialecticae autem penitus immersus, quotidianos tumultus in conventibus publicis concitabat, cum sophisticas cavillationes sereret ac nihil non ex dialectico genere proponeret et rursus eadem ratione probaret. hunc in familiaritatem receperunt imperator tunc temporis Michael Ducas eiusque fratres, et licet secundo post Psellum loco haberent, tamen amore eum amplectebantur, et in doctis certaminibus eo utebantur. erant enim litterarum studiosissimi Ducae, et imperatoris fratres et Michael ipse. Italus vero ardenti semper et furioso vultu Psellum intuebatur, et si quando ille ut aquila perplexis Itali captiunculis superevolarat, irritabatur et fremebat, urebatur vel dolebat. quid postea? exardescebat Latinorum atque Italorum in Romanos bellum; et Longibardiae totius simul atque Italiae occupatio agitabatur. eo tempore imperator Italum, scilicet ut familiaritate sibi coniunctum et

μέλλων αὐτὸν μετακινεῖν ἐκεῖθεν, τούτου αἰσθόμενος φυγὰς
εἰς Ῥώμην ᾤχετο. εἶθ' ὁποῖος ἐκεῖνος μεταμεληθείς, πρὸς τὸν
βασιλέα παρακλήσει χρησάμενος, κατὰ τὴν κέλευσιν ἐκείνου
τὴν Κωνσταντινούπολιν κατέλαβε, τὴν μονὴν τὴν οὕτω κα-
C λουμένην Πηγὴν ἐνδιαίτημα λαβὼν καὶ τὴν ἐκκλησίαν τῶν
ἁγίων τεσσαράκοντα. ἔνθα καὶ τοῦ Ψελλοῦ μεταχωρήσαντος
Βυζαντόθεν μετὰ τὴν ἀπόκαρσιν, αὐτὸς φιλοσοφίας ἁπάσης
προέστη διδάσκαλος, ὕπατος τῶν φιλοσόφων χρηματίσας, καὶ
τάς τε Ἀριστοτελικὰς βίβλους καὶ τὰς Πλατωνικὰς ἐξηγεῖσθαι
ἐσπούδαζεν. καὶ ἦν μὲν τῷ δόξαι πολυμαθέστατος, δεινὸς
δὲ μᾶλλον εἴπερ τις ἄλλος διερευνήσασθαι τῶν ἄλλων τὴν
δεινοτάτην περιπατητικήν, καὶ ταύτης πλέον τὴν διαλεκτι-
κήν. πρὸς δὲ τὰς ἄλλας τέχνας τῶν λόγων οὐ πάνυ τι εὐφυῶς
εἶχεν, ἀλλὰ περί τε τὴν γραμματικὴν ἐχώλευε τέχνην καὶ
D τοῦ ῥητορικοῦ νέκταρος οὐκ ἐγεύσατο· οὐδὲ ἐκεῖθεν ὁ λόγος
τούτῳ ἐφήρμοστο καὶ εἰς κάλλος ἀπέξεστο. ἔνθεν τοι καὶ τοῦ
χαρακτῆρος εἶχε στρυφνῶς καὶ τὸ πᾶν ἐμπεριβόλως. καὶ
V 117 συνενεύκει ὁ λόγος αὐτῷ τὰς ὀφρῦς, καὶ διόλου ἀπέπνει δρι-
P. 146 μύτητος. διαλεκτικῶν δὲ ἐφόδων ἐμεμέστωτο τούτῳ τὸ σύγ-

1. ἐκεῖθεν μετακινεῖν A, μετακινῆσαι CG. 2. ὁποῖος ἐκεῖνος om. A. 3. τὴν add. A. 4. τὴν Κωνσταντίνου A, idque habet Ducang. Constant. Christ. IV. p. 184. 10. τὸ δόξαι G, τῷ om. A. φιλομαθέστατος A. 11. εἴπερ : ἤπερ A. τῶν ἄλλων : lege τῶν ἀνθρώπων. vid. annotat. διερευνήσασθαι τῶν ἄλλων om. G, διερευνήσασθαι om. C, ἐν τῷ διερευνᾶσθαι τὴν δεινοτάτην A. 13. ἄλλας om. A. πάνυ τι CG, πάντι P. 15. οὐδ' A. 16. τούτῳ CAG, τούτου P. 17. an ἀνεμπεριβόλως? vid. annotat. 18. δόλου P, διόλου CAG. 19. τούτου AG.

probum hominem, qui Italice bene sciret, Epidamnum misit. sed (ut rem breviter exponam,) cum res nostras prodere argueretur, mittereturque iam, qui inde eum pelleret, prospiciens id Romam fugit. dein, ut erat ille, ad poenitentiam versus, supplices imperatori litteras misit; cuius iussu Cpolin rediit secessitque in monasterium, Pege dictum, et ecclesiam Quadraginta Martyrum. ibi, Psello post tonsionem Byzantio egresso, ipse philosophiam universam docebat, principis philosophorum dignitatem nactus, Aristotelisque et Platonis libris interpretandis operam navabat. ac plurimarum quidem habebatur litterarum cognitione praeditus; re vera tamen peritus modo erat, si quis alius mortalium, philosophia Peripatetica longe gravissima, praecipue dialectica. ad reliquas litterarum disciplinas nullo modo aptus erat: in grammatica claudicabat, rhetoricum nectar non gustaverat. itaque nec oratio eius concinna ac polita erat; et character austerus et horridus omnino. contraxerat doctrina supercilia, ac totus redolebat asperitatem. dialecticis autem rationibus plenae eius scriptiones erant, et oratio redundabat epicherematis, sed in disputando

γραμμα, καὶ ἡ γλῶττα τῶν ἐπιχειρημάτων ἐπεφόρητο τῷ διαλεγομένῳ ἐν ταῖς ὁμιλίαις μᾶλλον ἢ ταῖς γραφαῖς. οὕτως εἶχεν ἰσχυρῶς πρὸς τὰς διαλέξεις καὶ τοσοῦτον ἄφυκτος ἦν, ὡς τὸν ἀποκρινόμενον αὐτομάτως συναχθῆναι πρὸς τὴν σιγὴν καὶ εἰς ἀμηχανίαν ἐλθεῖν. ἑκατέρωθεν γὰρ τῆς ἐρωτήσεως βόθρον ὤρυττε, καὶ εἰς φρέαρ ἀποριῶν ἐνέβαλλε τὸν προσδιαλεγόμενον. οὕτως ἐμπείρως ἔχων τῆς διαλεκτικῆς ὁ ἀνήρ, καὶ ταῖς ἐπαλλήλαις ἐπερωτήσεσι κατέπνιγε τοὺς διαλεγομένους, συγχέων αὐτῶν καὶ συνταράττων τὸν νοῦν. καὶ οὐκ ἦν τὸν ἅπαξ αὐτῷ συντυχόντα τοὺς λαβυρίνθους τούτους διελθεῖν. B ἀμουσότατος δὲ ἄλλως ἦν, καὶ θυμὸς αὐτοῦ κατεκράτει· καὶ ἥν τινά που προσεκτήσατο ἀρετὴν ἀπὸ τοῦ λόγου, κατέλυε καὶ ἠφάνιζεν ὁ θυμός. διελέγετο γὰρ καὶ ἔπεσι καὶ χερσὶν ὁ ἀνήρ, καὶ τὸν προσδιαλεγόμενον οὐκ ἠφίει πρὸς ἀπορίαν ὅλως ἐλθεῖν, οὐδὲ αὔταρκες ἦν αὐτῷ τὸ ἐπιρράψαι τοῦ ἀντικειμένου τὸ στόμα καὶ σιγὴν αὐτῷ καταψηφιεῖσθαι, ἀλλ' εὐθὺς ἡ χεὶρ κατά τε τοῦ πώγωνος καὶ τῶν τριχῶν προσεφήλλετο, καὶ ὕβρις εὐθὺς ξυνεπόδιζεν ὕβριν· καὶ ἀκάθεκτος ἦν ὁ ἄνθρωπος καὶ τὰς χεῖρας ὁμοῦ καὶ τὴν γλῶτταν. τοῦτο δὲ C

3. ἄφικτος C. 4. αὐτομάτως: αὐτοκράτορα A. συναχθῆναι A, συνενεχθῆναι PG. 6. ἐνέβαλε A. πρὸς τὸν διαλεγόμενον A. 7. ἔχων A, εἶχε PG. 8. τοὺς διαλεγομένους κατέπνιγε A. 9. ταράττων A. καὶ alterum om. A. 10. λαβιρύνθους P. τούτους om. A. 12. ἦν τινα CG. που om. CAG. 13. ἠφανίζετο A. 14. διαλεγόμενον A. ἀφίει A. 15. οὐδ' A. αὐτοῦ G. ἐπιῤῥάψαι τὸ τοῦ ἀντικειμένου στόμα G. 16. καταψηφιᾶσθαι G. an καταψηφίσασθαι? lego αὐτοῦ 17. τῶν om. P, add. CAG. 18. ξυνεπόδιζεν CA, ξυνεμπόδιζεν P. ὁ ἀνὴρ A.

tamen magis quam in scribendo. adeo autem valebat disputando nec superari poterat, ut qui responderet, ultro ad silentium atque ad angustias redigeretur. nam interrogationes faciebat gemina utrimque fovea, et in puteum difficultatum iniiciebat, quocum disputabat. tanta peritia dialecticae cum esset, etiam continuis interrogationibus praefocabat adversarios, conturbans eorum atque percellens animum; nec erat, qui semel cum eo congressus, labyrinthis se hisce expedire posset. ceterum litteris admodum rudis erat, et irae perquam impotens; et si quam doctrinae laudem assecutus erat, eam iracundia obterebat obruebatque. disputabat enim tam lingua quam manu; et adversarium in angustias omnino venire non sinebat, nec sufficiebat ei oppressisse os adversario, silereque ipsum coegisse; sed manus in barbam statim et capillum involabat, et contumelia statim excipiebat contumeliam: manu iuxta ac lingua homo indomitus erat. hoc unum habebat non alienum a philosopho, quod, ubi percusserat adversarium, iracundiam

μόνον οὐκ ἀφιλόσοφον εἶχεν, ὅτι μετὰ τὴν πληγὴν κατελίμπανεν τοῦτον ὁ θυμός, καὶ τὸ δάκρυον κατελάμβανε, καὶ εἰς λαμπρὸν μετάμελον ἤρχετο. εἰ δέ τῳ φίλον καὶ περὶ τῆς ὄψεως αὐτοῦ μαθεῖν, μεγάλη μὲν αὐτοῦ ἡ κεφαλή, τὸ μέτωπον προπετέστατον, πρόσωπον ἐμφανές, καὶ ὁ μυκτὴρ ἐλεύθερόν τε καὶ ἄνετον ἀπέπνει τὸν ἀέρα, καὶ περιφερὴς ὁ πώγων, τὰ στέρνα εὐρὺς καὶ εὐπαγὴς τὰ μέλη τοῦ σώματος, τὴν δὲ τῆς ἡλικίας ἀναδρομὴν τῶν εὐμηκεστέρων ἥττων, τὴν δὲ φωνὴν τοιοῦτος, οἷος ἂν ἀπὸ τῶν Λατίνων ἐληλυθὼς νεανίας εἰς τὴν D ἡμεδαπὴν γῆν, τὰ Ἑλλήνων μὲν ἐκμάθοι, οὐ πάνυ δὲ καθαριεύοιτο τὴν φωνήν· ἀλλ' ἔστιν οὗ καὶ κολοβώτερα ἐκφέρειν τὰς συλλαβάς. ἀλλ' οὔτε τὸ τοῦ στόματος οὐκ εὐαγές, οὔτε τὸ εἰς ἄκρον ἄφωνον ἐλάνθανε τοὺς πολλούς, τοῖς δὲ ῥητορικωτέροις ἀγροικίζων κατελαμβάνετο. ἔνθεν τοι καὶ τὰ συγγράμματα τούτου συνέσφιγκτο μὲν ἁπανταχόθεν τοῖς διαλεκτικοῖς τόποις, ἀσυνταξίας δὲ κακίαν καὶ σολοικισμὸν σποράδην διερριμμένον παντάπασιν οὐκ ἐξέφευγεν.

P. 147 9. Οὗτος τοίνυν προκαθήμενος φιλοσοφίας ἁπάσης, καὶ συρρεούσης εἰς αὐτὸν τῆς νεότητος, (καὶ γάρ τά τε Πρόκλου καὶ Πλάτωνος καὶ τὰ φιλοσόφων ἀμφοῖν Πορφυρίου τε καὶ

1. οὐκ om. C, ὡς AG. κατελίμπανεν AG, καταλίμπανεν P. 2. τοῦτον : αὐτὸν AG. εἰς μετάληψιν ἤρχετο A. 5. malim τὸ πρόσωπον. 6. ἐπέπνει C. 8. εὐμηκεστάτων CG. 9. τοιοῦτος ἦν A. 10. ὃς τὰ A. μάθοι A. καθαριεύοιτο τί τὴν P, τί om. AG, καθαριεύει C. 11. κολοβωτέρας P, κολοβώτερος G, κολοβώτερα A. ἐκφέροι A, ἐκφέρει C. 12. οὐκ om. AG. 13. ἄκρου G. 14. ἀγροικίζειν G. 15. συνέσφικτο P. διαλεκτικῆς A. 16. δὲ καὶ κακίαν PG, καὶ om. A. 17. ἐξέφυγον G. 20. τὰ om. A.

mitteret, obortisque lacrimis poenitentiam profiteretur manifestam. quodsi quis etiam figuram hominis nosse cupit: magnum ipsi caput, frons admodum prominens, facies aperta erat; nasus libere spiritum emittebat. barba rotunda, pectus latum, membra corporis firma, statura procerioribus minor. pronuntiatio talis erat, qualis exspectari poterat ab eo, qui adolescens e Latinis huc pervenerat: graeca quidem perfecte tenebat, sed non ab omni parte emendata utebatur pronuntiatione; quin nonnunquam obscurius efferebat syllabas. quae plane vitiosa pronuntiandi ratio ut multitudinem haud latebat, ita artis dicendi peritiores eum ut rustice loquentem reprehendebant. itaque scripta eius constricta quidem undique erant locis dialecticis, ceterum pravae compositionis vitia ac soloecismi passim offendebant.

9. Hic igitur cum universae philosophiae praepositus esset atque ad eum iuventus conflueret, (namque Proclum et Platonem et phi-

Ἰαμβλίχου ἀνεκάλυπτε τούτοις δόγματα, καὶ μάλιστα τὰς Ἀριστοτέλους τέχνας καὶ τὴν ὡς ὀργάνου παρεχομένην χρείαν ὑφηγεῖτο τοῖς ἐθέλουσι πραγματείαν, καὶ ταύτῃ μᾶλλον ἐνηβρύνετο καὶ ἐνησχόλητο,) οὔ πάνυ τι τοὺς μανθάνοντας ὠφελῆσαι ἐνίσχυσε, τὸν θυμὸν καὶ τὴν ἄλλην τοῦ ἤθους ἀκαταστασίαν κωλύμην ἔχων. καὶ ὅρα μοι τοὺς τούτου μαθητάς, τὸν Σολομῶντα Ἰωάννην καί τινας Ἰασίτας καὶ Σερβλίας καὶ ἄλλους τάχα V. 118 περὶ τὴν μάθησιν ἐσπουδακότας· ὧν τοὺς πλείους θαμὰ φοι- B τῶντας πρὸς τὰ βασίλεια καὶ αὐτὴ ἐθεασάμην ὕστερον, τεχνικὸν μηδέν τι κατὰ ἀκρίβειαν εἰδότας, σχηματιζομένους δὲ τὸν διαλεκτικὸν κινήσεσιν ἀτάκτοις καὶ μορίων παραφόροις τισὶ μεταφοραῖς, ὑγιὲς δὲ οὐδὲν ἐπισταμένους, προβαλλομένους τὰς ἰδέας, ἤδη δὲ καὶ τὰς μετεμψυχώσεις συνεσκιασμένως πως καὶ ἄλλ' ἄττα ὁμοιότροπα καὶ παραπλησίως τούτοις ἀλλόκοτα. καὶ τίς γὰρ λόγου μετέχων οὐ παρῆν, τοῦ ἱεροῦ ζεύγους τοσοῦτον περὶ τὴν τῶν θείων λόγων ἐξερεύνησιν διὰ πάσης νυκτὸς καὶ ἡμέρας διαπονουμένων; τοὺς ἐμούς φημι τοκέας καὶ βασιλεῖς. ἀλλά τι μικρὸν παραδιηγήσομαι· δί- C δωσι γάρ μοι τοῦτο νόμος ῥητορικός. μέμνημαι τῆς μητρὸς καὶ βασιλίδος πολλάκις, ἀρίστου προκειμένου, βίβλον ἐν χεροῖν φερούσης καὶ τοὺς λόγους διερευνωμένης τῶν δογματι-

3. θέλουσι G. ἐνηνρύνετο A. 4. πάνυ τι CA, πάνυ τοι PG. 5. ἐνίσχυσε CAG, ἐξίσχυσε P. 6. κωλύμην CA, κώλυμα PG. σολομῶντα, Ἰωάννην G. 10. τι μηδὲν G. 12. δ' G. 13. ἤδη δὲ om. CG. lege ἔτι δὲ. 14. ἀλλάττα A, ἄλλ' ἄττα PG. correxi. 18. δίδοσι P.

losophorum amborum Porphyrii et Iamblichi placita exponebat, maxime vero Aristotelis tum ceteras artes explicabat cupientibus, tum eum librum, qui quasi organi usum praebet: quo se potissimum iactabat, ut cuius interpretationi plus operae impenderat,) tamen nihil prodesse discipulis potuit per iracundiam et morum importunitatem. vide mihi eius discipulos, Salomonem Iohannem et Iasitam quendam et Serbliam aliosque doctrinae, si forte, studiosos. horum plerosque aulam frequentantes regiam ipsa postea vidi: nullo elegantiori studio imbuti, dialecticum agebant motibus ineptis et membrorum quadam vecordi iactatione; sani vero nihil sentiebant: ideas proferebant, ad hoc metempsychosin subobscure, et alia quaedam eiusdem generis deliramenta. nam quis doctorum hominum aulam non adiit, cum sacrum illud par tantopere in litteris divinis perscrutandis dies noctesque elaboraret? parentes meos dico imperatores. atque hic breviter digrediar; permittit enim lex oratoria. memini matrem meam imperatricem saepe, prandio iam apposito, librum adhuc manibus tenuisse et cum aliorum patrum sanctorum, qui de dogmatis scripserunt, tum

στῶν ἁγίων πατέρων, μάλιστα δὲ τοῦ φιλοσόφου Μαξίμου
καὶ μάρτυρος. ἐσπουδάκει γὰρ οὐ τοσοῦτον περὶ τὰς φυσι-
κὰς συζητήσεις, ὁπόσον περὶ τὰ δόγματα, τὴν ὄντως σοφίαν
καρποῦσθαι βουλομένη. καί μοι πολλάκις θαυμάζειν ἐπῄει,
D καὶ θαυμάζουσα ἔφην ποτὲ πρὸς αὐτὴν "πῶς αὐτόθεν πρὸς
τοσοῦτον ὕψος ἀπέβλεψας; ἔγωγε τρέμω, καὶ οὐδ' ἄκροις
ὠσὶν ἀποτολμῶ τούτων ἐπαΐειν. τὸ γὰρ πάνυ θεωρητικόν τε
καὶ νοερὸν τοῦ ἀνδρός, ὥς φασιν, ἴλιγγον παρέχεται τοῖς
ἀναγινώσκουσιν." ἡ δὲ μειδιάσασα ἔφη "ἐπαινετὴν οἶδα τὴν
P. 148 δειλίαν ταύτην· καὶ οὐδ' αὐτὴ ἀτρέμας ταῖς βίβλοις ταύ-
ταις πρόσειμι. ἀλλ' ὅμως ἀποσπᾶσθαι τούτων οὐ δύναμαι.
σὺ δέ μοι μικρὸν ἀνάμεινον, καὶ ταῖς ἄλλαις ἐγκύψασα βί-
βλοις πρότερον, καὶ τῆς τούτων ἀπογεύσει ἡδύτητος." ἔτρωσέ
μου τὴν καρδίαν ἡ τῶν ῥηθέντων μνήμη, καὶ ὥσπερ εἰς πέ-
λαγος ἄλλων διηγημάτων ἐμπέπτωκα. ἀλλά με θεσμὸς ἱστο-
ρίας ἀπείργει· ἔνθεν τοι καὶ πρὸς τὰ κατὰ τὸν Ἰταλὸν ἀνα-
τρεχέτω ὁ λόγος. ἐν τούτοις οὖν τοῖς ἄνωθεν ῥηθεῖσιν αὐ-
τοῦ μαθηταῖς ἀκμάζων ὁ Ἰταλός, πᾶσι καταφρονητικῶς προσ-
B εφέρετο, τοὺς πολλοὺς τῶν ἀνοήτων πρὸς ἀνταρσίας ἀνακι-
νῶν καὶ τυράννους ἐκ τῶν οἰκείων μαθητῶν οὐκ ὀλίγους ἀπο-
καθιστάς. καὶ εἶχον πολλοὺς προσφέρειν, εἰ μὴ ὁ χρόνος με
τὴν μνήμην ἀφείλετο. ἀλλὰ ταῦτα μὲν ἦσαν πρὸ τοῦ ἀνα-

6. ἀπέβλεψας G, ἐπίβλεψας P. 15. ἄλλων C, ἄλλο PG. 18. Ἰταλικὸς G. 19. ἀνταρσίας A, αὐταρσίας PG. 20. μαθητῶν A, μαθημάτων PG. 22. μνήμην: λύπην A.

praesertim Maximi philosophi atque martyris, opera pertractasse. delectabatur enim non tam quaestionum naturalium, quam dogmatum perscrutatione, veram sapientiam percipere cupiens. ac saepe hanc admirata, aliquando "quid, inquiebam, sponte animum ad tantam sublimitatem adiecisti? equidem tremo, ac ne summis quidem auribus ista percipere audeo. nam contemplativa illa et subtilis plane hominis oratio vertiginem, ut aiunt, affert legentibus." ad haec arridens illa "laudabilem, inquit, metum istum scio; neque ipsa sine tremore ad libros hos accedo. tamen avelli ab iis nequeo. tu vero exspecta paullisper: ubi ceteros prius libros cognoris, etiam horum suavitatem percipies." percussit mihi cor horum memoria dictorum, et quasi in aliarum rerum narrandarum pelagus incidi. sed cohibet lex historiae; quapropter ad Italum oratio redeat. is igitur cum inter illos, quos dixi, discipulos regnans, omnes per contemtum tractaret, plerosque male sanorum ad rebellionem concitavit, tyrannosque ex ipsius discipulis non paucos reddidit; quorum quidem multos adferre possem, nisi memoriam tempus delevisset. sed haec acciderunt, prius

χθῆναι τὸν ἐμὸν πατέρα εἰς τὴν τῆς βασιλείας περιωπήν· ἐπεὶ δὲ τὰ ὡδὶ παιδείας εὗρεν ἁπάσης ἐνδεῶς ἔχοντα καὶ τέχνης λογικῆς, τοῦ λόγου πόρρω που ἀπελαθέντος, αὐτός, εἴ που σπινθῆρές τινες ἦσαν τούτου ὑπὸ σποδιᾷ κρυπτόμενοι, ἀναχωννύειν ἠπείγετο, καὶ τοὺς ὅσοι περὶ τὰ μαθήματα ἐπιρρεπῶς εἶχον, (ἦσαν γάρ τινες καὶ οὗτοι βραχεῖς καὶ μέχρι C τῶν Ἀριστοτελικῶν ἑστηκότες προθύρων,) τούτους πρὸς μάθησιν ὀτρύνων οὐκ ἐνεδίδου, προηγεῖσθαι δὲ τὴν τῶν θείων βίβλων μελέτην τῆς Ἑλληνικῆς παιδείας ἐπέτρεπε. τὸν δὲ Ἰταλὸν εὑρηκὼς θορύβων τὰ πάντα μεστὰ ποιούμενον καὶ πολλοὺς ἐξαπατῶντα, τῷ σεβαστοκράτορι Ἰσαακίῳ τὴν τούτου δοκιμασίαν ἀνέθετο· ἀνὴρ δὲ οὗτος φιλολογώτατος καὶ μεγαλεπηβολώτατος. καὶ ὃς οὕτως ἔχοντα τὸν ἄνδρα εὑρηκώς, δημοσίᾳ ἤλεγξε παραστήσας εἰς μέσον, εἶθ' οὕτω τῇ ἐκκλησίᾳ V. 119 παρέπεμψε κατὰ κέλευσιν τοῦ ἀδελφοῦ καὶ βασιλέως. ἐπεὶ δὲ τὴν ἑαυτοῦ ἀπαιδευσίαν κρύπτειν οὐχ οἷός τε ἦν, κἀκεῖσε D ἔκφυλα τῆς ἐκκλησίας δόγματα ἐξηρεύξατο καὶ εἰς μέσους τοὺς τῆς ἐκκλησίας λογάδας κωμῳδῶν οὐκ ἐπαύετο καὶ ἄλλ' ἄττα ποιῶν ἤθους ἀπαιδεύτου καὶ βαρβαρικοῦ, προέδρου ὄντος τῆς ἐκκλησίας τηνικαῦτα Εὐστρατίου τοῦ Γαριδᾶ· ὃς

4. τινες om. A. κρυπτόμενος G. 5. περὶ : πρὸς? 6. ante μέχρι add. alterum οὗτοι P, om. AG. 7. ἑστῶτες G. 9. παιδεύσεως A. δὲ : τε G. 10. τὰ add. A. 14. οὕτως A. 15. κατὰ om. G. 18. ἄλλά τα P, ἄλλάττα G. correxi. 19. βαρβαρικοῦ· ὁ τότε ἀρχιερατεύων εὐστράτιος ὁ γαρυδᾶς περὶ τὰς οἰκοδομὰς τῆς μεγάλης ἐκκλησίας τοῦτον παρακατέσχεν, ἵνα A. 20. Γαριδᾶ C, Γαρυδᾶ PG hic et infra.

quam pater meus rerum potitus esset; qui cum in hac urbe humanitatem omnem doctrinaeque cultum iacere cerneret, litteris procul exsulantibus, ipse, si quae eruditionis scintillae sub cinere laterent, eas excitare studebat, et quicunque ad litteras tractandas propensiores erant, (erant autem pauci iique non ultra vestibulum philosophiae Aristotelicae provecti,) eos ad studia impellere non destitit; sed sacrorum tamen librorum studium graecis litteris anteponerent, praecepit. Italum autem ubi omnia miscere multosque decipere intellexit, hominis explorandi curam commisit Isaacio sebastocratori; erat quippe hic litterarum amantissimus et in rebus gravissimis exercitatus. cum is illum talem esse cognosset, palam redarguit eum consessu publico, ac sic demum ecclesiastico tribunali tradidit iussu fratris imperatoris. sed imperitiam suam cum occultare non posset, ibi quoque dogmata effutivit canoni contraria et coram ipsis ecclesiae antistitibus ludificari et alia quaedam facere non desiit, quae inculti et barbari ingenii essent, Eustratio Garida ecclesiae tum temporis praeside. qui quidem in aedifi-

τοῦτον παρακατέσχε περὶ τὰς οἰκοδομὰς τῆς μεγάλης ἐκκλησίας, ἵνα τάχα πρὸς τὸ κρεῖττον μεταποιήσῃ. ἀλλὰ μικροῦ θᾶττον ἂν αὐτὸς τῆς ἐκείνου μετέσχε κακίας, ἢ μετέδωκε κρείττονος P. 149 γνώσεως, κατὰ τὸ φάμενον· ὁ γὰρ Ἰταλὸς τὸν Γαριδᾶν ὅλον ἑαυτοῦ ἐποιήσατο. τί τὸ ἐντεῦθεν; ὁ δῆμος ἅπας τῆς Κωνσταντίνου πρὸς τὴν ἐκκλησίαν συγκεκίνητο, τὸν Ἰταλὸν ἀναζητοῦντες. καὶ τάχα ἂν ἀφ᾽ ὕψους εἰς μέσον τῆς ἐκκλησίας ἔρριπτο, εἰ μὴ λαθὼν ἐκεῖνος εἰς τὸν ὄροφον τουτουῒ τοῦ θείου τεμένους ἀνελθὼν, ἔν τινι φωλεῷ ἑαυτὸν συνεκάλυψεν. ὡς δὲ τὰ παρ᾽ ἐκείνου κακῶς δογματισθέντα πολλοῖς τῶν περὶ τὰ ἀνάκτορα ἐθρυλλεῖτο, καὶ μεγιστᾶνες οὐκ ὀλίγοι διεφθά- B ρησαν ὑπὸ τῶν φθοροποιῶν τούτου δογμάτων, καὶ μεγάλως ἡ τοῦ βασιλέως ψυχὴ διὰ τοῦτο ἐδάκνετο, εἰς ἕνδεκά τινα κεφάλαια τὰ δογματισθέντα κακῶς παρὰ τοῦ Ἰταλοῦ συνεκεφαλαιώσαντο καὶ τῷ βασιλεῖ ἐξαπέστειλαν. ὁ δὲ αὐτοκράτωρ αὐτὰ ταῦτα τὰ κεφάλαια τὸν Ἰταλὸν ἀναθεματίσαι ἐπ᾽ ἄμβωνος ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ ἐκέλευσεν ἀνακεκαλυμμένῃ τῇ κεφαλῇ, τοῦ πλήθους ἅπαντος ἀκροωμένου καὶ ἐπιλέγοντος αὐτοῖς τὸ ἀνάθεμα. ὡς οὖν ἐγένετο ταῦτα, καὶ ὁ Ἰταλὸς ἀκάθεκτος ἦν καὶ πάλιν ἐν πολλοῖς τὰ τοιαῦτα ἔλεγεν ἀναφαν-

2. μεταποιήσῃ CA, μεταποιήσαι PG. 4. τὸ φ. G, τὸν P. ὁ γὰρ : καὶ ὁ C et in margine P. 5. ἑαυτὸν G. τῆς Κωνσταντίνου om. A. 6. κεκίνητο A. 7. τάχ᾽ ἂν A. ὕψους κύμβαχος ἔῤῥιπτο A. 8. τουτουῒ om. AG. 10. τῶν add. CA. 11. μεγιστᾶνες om. A. 12. ὑπὸ : ἀπὸ C. τούτου A, τούτων PG. 13. ἐδάκνετο CA, ἐδήκνατο P, ἐδείκνετο G. 14. κακῶς τῷ Ἰταλῷ G. 16. ταῦτα om. A. 18. παντὸς G. ἐπιλέγοντος A, λέγοντος PG. 19. τοῦτο A.

ciis magnae aedis eum detinuit, ut ad frugem, si posset, corrigeret. verumenimvero non multum abfuit, quin ipse celerius opinionum eius pravitate inficeretur, quam illum in viam reduceret, ut aiunt. nam totum sibi conciliavit Italus Garidam. quid inde? populus universus Cpolitanus ad aedem concurrit, Italum deposcens; ac fortasse ex summo is in mediam aedem deiectus esset, nisi clam tecto sacrae aedis ascenso, in latebra quadam se abscondidisset. at quae falsa iste tradiderat, cum aulicorum sermonibus agitarentur, ac nobiles haud pauci perniciosis istis dogmatis corrumperentur, imperatorisque animus magnopere hac re morderetur, in undecim capita pravae istae Itali opiniones redactae et ad imperatorem delatae sunt; quae ipsa capita imperator Italum in aede magna ex ambone, nudo capite, anathemati subiicere iussit, populo universo exaudiente et anathema repetente. quo facto, cum Italus sibi nequaquam temperaret, eademque rursus palam multis traderet et, licet admonitus ab impera-

δόν, καὶ παραινούμενος παρὰ τοῦ βασιλέως, ἄτακτόν τε καὶ C βαρβαρικὸν ἀπεπήδα, ἀνεθεματίσθη καὶ αὐτός, κἂν ἐσύστερον, αὖθις ἐκείνου μεταμεληθέντος, μετριώτερος καὶ ὁ τούτου γέγονεν ἀναθεματισμός. καὶ τὰ μὲν δόγματα ἀπεντεῦθεν ἀναθεματίζεται, τὸ δὲ ἐκείνου ὄνομα πλαγίως πως καὶ ὑποκεκρυμμένως καὶ οὐδὲ τοῖς πολλοῖς γνωρίμως ὑπάγεται τῷ ἐκκλησιαστικῷ ἀναθέματι. καὶ γὰρ οὗτος ἐν ὑστέροις καιροῖς μετεβέβλητο περὶ τὸ δόγμα, καὶ ἐφ' οἷς ποτὲ ἐπεπλάνητο, μεταμεμέλητο. ἠρνεῖτο δὲ καὶ τὰς μετεμψυχώσεις καὶ τὸ ὑβρίζειν τὰς σεπτὰς εἰκόνας τῶν ἁγίων, καὶ τὸν περὶ τῶν ἰδεῶν λόγον μεθερμηνεύειν πως πρὸς τὸ ὀρθόδοξον ἔσπευδε, D καὶ δῆλος ἦν καὶ αὐτὸς καταγινώσκων ἑαυτοῦ ἐφ' οἷς πρώην τοῦ εὐθέως μετετέτραπτο.

1. τε AG, τι P. 2. ἀναθεματίσθη PG, recte CA. 7. οὗτος om. A. ἐν ὑστέρῳ A. 8. περὶ : πρὸς AG. 10. τὰς τῶν ἁγίων σεπτὰς εἰκόνας A. 11. πως om. A. 13. μετέτραπτο CG.

tore, immodeste ac barbare descisceret, anathemati et ipse subiectus est. quanquam postea, poenitentiam iterum eo profitente, anathematismus ipse aliquanto levatus est. ac dogmata quidem exinde notantur anathemate; nomen vero eius oblique dumtaxat et obscure nec plerisque ad intelligendum aperte ecclesiastico anathemate damnatur. etenim tempore subsequente mutavit is sententiam, et errorum, in quibus olim versatus erat, eum poenituit. negavit etiam animas post mortem in alia corpora migrare, et venerabiles sanctorum imagines coli nefas esse; quaeque de ideis tradiderat, ad doctrinae orthodoxae regulam correxit; ut manifestum esset, ipsum sua se sententia damnare, quod a recto olim aberrasset.

ΑΛΕΞΙΑΣ ϛ.

ALEXIADIS LIBER VI.

ARGUMENTUM.

Alexius Castoria potitur, expulso Bryennio (1). *Manichaei dolo circumventi* (2). *imperator in urbem redux, concione advocata, de spoliatis ecclesiis se purgat* (3). *coniuratio detecta. Traulus Manichaeus, Alexio infensus, aufugit et Beliatobam occupat* (4). *Roberti in Illyricum reditus. arcessiti ab Alexio Veneti varia fortuna dimicant cum Latinis* (5). *mortuo Roberto, Normanni in Apuliam revertuntur* (6). *Sethi astrologi vaticinium de obitu Roberti. digressio de genethliologia* (7). *sub idem tempus nascitur Anna Comnena, cuius in acclamationibus una cum Constantino, Michaelis filio, mentio fit, donec mater filium, summa omnium laetitia, parit* (8). *Solymas Antiochia potitur, a Tutuse mox oppressus. magnus sultanus, qui a Tutuse sibi metueret, Alexii affinitatem ambit. is, Siausi legati perfidia usus, Sinopen aliaque oppida recuperat* (9). *Apelchasem, Nicaeae satrapa, Bithyniam incursat. identidem a Romanis victus, ad imperatoris amicitiam se applicat* (10). *Nicaeam Prosucho, sultani duce, oppugnante, Apelchasemo Alexius auxiliatur urbemque obsidione solvit* (11). *denuo sultanus contra Apelchasemum mittit Puzanum ducem, eidemque ad Alexium litteras de affinitate iungenda tradit. Apelchasem strangulatur. Alexius, quamvis conditionem oblatam aversans, officiose sultano rescribit; quem tamen interea Tutuses, duodecim subornatis Chasiis, interficit. patris necem Pargyaruchus ulciscitur. dum Alexius Nicaeam recipere tentat, Clitziasthlan sultani dignitatem nactus, consiliis eius occurrit* (12). *Elchanem maritimam ad Apolloniadem oram depraedantem Alexius ad deditionem subigit* (13). *oritur bellum Scythicum. Pacurianus et Branas a Scythis caesi. in eorum locum Alexius submittit Taticium, qui cautius rem aggreditur* (14).

1. Τοῦ μέντοι Βρυεννίου κατέχοντος τὴν Καστορίαν, P. 152
καθάπερ ἄνωθεν εἴρηται, τοῦτον ἐκεῖθεν ἐξελάσαι καὶ τὴν V. 122
Καστορίαν κατασχεῖν ὁ αὐτοκράτωρ σπουδάζων, τὸ ὁπλιτικὸν αὖθις ἀνεκαλεῖτο. καὶ ὅπλοις ἅπαντας περιφράξας πρὸς τειχομαχίαν καὶ τὰς κατὰ τοὺς ἔξωθεν πολέμους συμπλοκάς, τῆς πρὸς τὸ κάστρον φερούσης εἴχετο. ἔστι δὲ ἡ θέσις τοῦ τόπου τοιαύτη. λίμνη τίς ἐστιν ἡ τῆς Καστορίας, ἐν ᾗ τράχηλος ἀπὸ τῆς χέρσου εἰσέρχεται καὶ περὶ τὸ ἄκρον εὐρύνεται, εἰς πετρώδεις βουνοὺς ἀποτελευτῶν. περὶ δὲ τὸν τράχηλον καὶ πύργοι καὶ μεσοπύργια ᾠκοδόμηνται κάστρου δίκην, διόπερ καὶ Καστορία ὀνομάζεται. ἐκεῖ καταλαβὼν ὁ βασι- B
λεὺς τὸν Βρυέννιον, δέον ἔκρινε τῶν πύργων καὶ τῶν μεσοπυργίων πρῶτος δι' ἑλεπόλεων ἀποπειρᾶσθαι. ἐπεὶ δὲ ἄλλως οὐκ ἐνῆν, εἰ μὴ ὡς ἔκ τινος ὁρμητηρίου, τοὺς στρατιώτας τοῖς τείχεσι προσπελάζειν, χάρακα μέντοι πρώτως ἐπήξατο, εἶτα πύργους ξυλίνους κατασκευάσας καὶ σιδήρῳ τὰ τούτων συνδήσας περισφίγματα, ἐκ τούτων ὡς ἔκ τινος φρουρίου τοὺς κατὰ τῶν Κελτῶν συνίστατο πολέμους. τὰς γοῦν ἑλεπόλεις καὶ τὰ πετροβόλα μηχανήματα ἔξωθεν καταστήσας, διὰ πά-

1. *Περὶ τοῦ πολέμου τῆς Καστορίας* P in margine. 2. *ὡς εἴρηται* A. *τὴν Καστορίαν* C et in margine P, *ταύτην* PGA. 3. *ὁ* add. GA. *ἐσπούδαζε* G, *ἐσπούδαζε τὸ ὁπλιτικὸν ἅπαν συλλέξας καὶ πρὸς ταύτην φερούσης εἴχετο* A. 9. *δὲ* om. A. 11. *διόπερ* A, *ὅπερ* PG. *ἐκεῖ γοῦν καταλαβὼν ὁ βασιλεύς, καὶ τὰς ἑλεπόλεις καὶ τὰ πετροβόλα μηχανήματα καταστήσας* A. 12. *τὸν Βρυέννιον* delendum. 13. lege *πρῶτον*. 14. *ὡς* om. G. 15. *πρῶτος* G. 16. *παρασκευάσας* G.

1. Bryennio Castoriam obtinente, ut supra exposuimus, cum inde pellere eum arcemque recipere imperator festinaret, exercitum rursus coegit, et postquam armis, quibus et ad oppugnandum et in acie opus est, omnes instruxit, eo iter ingressus est. eius loci situs est talis. lacus est, qui Castoriae dicitur; in eum promontorium excurrit, in summo latius sese explicans et in scopulosos desinens clivos. in hac peninsula turres et moenia exstructa sunt in castri speciem, unde etiam Castoriae nomen est. ibi postquam imperator advenit, turres murosque primum machinis tentanda censuit; sed cum fieri non posset, ut milites ad moenia accederent, nisi ex statione quadam, vallum primum duxit, dein turres exstruxit ligneas commissurasque ferreis ligavit clavis; e quibus velut ex castello ad pugnas cum Gallis committendas prodibat. itaque cum turres atque ballistas castro admovisset, dies noctesque instat murosque quatit; sed for-

C σης νυκτὸς καὶ ἡμέρας μαχόμενος καὶ κατασείσας τὸν τοῦ τείχους περίβολον, ἐπεὶ κρατερώτερον οἱ ἐντὸς ἀνθίσταντο, (οὐκ ἐνεδίδουν, οὐδὲ τοῦ τείχους καταρραγέντος,) ὡς δὲ οὐκ ἐνῆν αὐτῷ ἔτι τῶν κατὰ σκοπὸν τυχεῖν, βουλὴν βουλεύεται γενναίαν ἅμα καὶ συνετήν, ἵν' ἐξ ἑκατέρου ἔκ τε τῆς ἠπείρου καὶ τῆς λίμνης, διὰ πλοίων εἰσαγαγὼν γενναίους τινάς, ἐν ταὐτῷ τὸν πόλεμον ποιήσηται. πλοίων δὲ
P. 153 μὴ ἐνόντων, ἐν ἁμάξαις ἐπιφορτίσας ἀκάτιά τινα μικρὰ διὰ τοῦ μολισκοῦ ἐν αὐτῇ εἰσήγαγεν. ὁρῶν δὲ τοὺς μὲν ἀνιόντας τῶν Λατίνων ἐξ ἑνὸς μέρους ταχέως, τοὺς δὲ ἐξ ἑκατέρου κατιόντας πλείονα χρόνον τρίβοντας ἐν τῷ κατιέναι, τὸν Παλαιολόγον Γεώργιον μετὰ ἀλκίμων ἀνδρῶν ἐν αὐτοῖς εἰσελάσας, εἰς τοὺς περὶ τοὺς βουνοὺς πρόποδας προσορμίσαι προσέταξε, παραγγείλας, ὁπηνίκα τὸ δοθὲν αὐτῷ σημεῖον θεάσοιτο, τηνικαῦτα τὴν ἀκρολοφίαν καταλαβόντα ἐξ ὀπισθίων αὐτῶν καὶ διὰ τῆς ἀοικήτου καὶ ῥᾳδιωτέρας εἰσελθεῖν· καὶ
B ὁπηνίκα τὸν αὐτοκράτορα θεάσηται ἀπὸ τῆς χέρσου τὸν μετὰ τῶν Λατίνων πόλεμον ἀναδεξάμενον, καὶ αὐτὸν σπεῦσαι ὡς δύναμις, ἵνα μὴ ὡσαύτως πρὸς ἑκάτερα μάχεσθαι δυνάμενοι, ἀλλ' ἐξ ἑνὸς μέρους τοῦ τόνου τῆς μάχης χαλάσαντος, ἁλώσιμοι τηνικαῦτα ἐκ ταὐτοῦ μέρους γένωνται. ὁ μὲν οὖν Παλαιολόγος Γεώργιος ταῖς ἀκταῖς τοῦ ἤδη ῥηθέντος βουνοῦ προσορμίσας,

7. ἐνταῦθα G. 9. ἐν αὐτῇ : εἰς τὴν λίμνην A. 10. ἑκατέρου : lege ἑτέρου. 12. αὐτῷ G. fortasse εἰσελάσαντα. 13. τοὺς prius add. CG. προσορμῆσαι P, προσορμίσαι CG. 16. αὐτῶν CG, αὐτὸν P. 20. χαλάσαντος F, χαλάσαντες PG. 22. προσορμίσας CG, προσορμήσας P.

tius, qui intus erant, obstiterunt et ne diruta quidem muri parte remiserunt. ubi igitur propositum assequi non poterat, consilium iniit generosum simul et prudens, ut ab utraque parte, a continenti atque a lacu, navigiis manu militum fortium traiecta, eodem tempore aggrederetur. deficientibus autem navigiis, scaphulas curribus advectas per portum exiguum in lacum deduci iussit. cumque Latinorum eos, qui colles ascendebant, ex una parte celeriter viam conficere, qui vero ex altera parte descendebant, plus temporis descendendo consumere animadvertisset, Palaeologum Georgium cum fortium militum manu, scaphulis conscensis, ad collium radices appellere iussit, ac simul praecepit, ut, si datum sibi signum conspexisset, collem statim ascenderet pone hostes et expedita planaque via ingrederetur; cumque imperatorem a continenti pugnam cum Latinis suscepisse vidisset, et ipse, quam posset, celerrime adoriretur. sic enim haud dubie fore, ut, cum perinde utrisque resistere non possent, ea parte, qua remissior vis hostium esset, supe-

ὁπλισάμενος εἱστήκει, σκοπὸν ἄνωθεν ἐπιστήσας τὸν τὸ δοθὲν αὐτῷ παρὰ τοῦ βασιλέως ἐπιτηροῦντα ἰδεῖν σύνθημα, καὶ παρήγγειλεν ὡς, ὁπηνίκα τοῦτο θεάσοιτο, αὖθις αὐτῷ τοῦτο ἐπισημήνασθαι. αὐγαζούσης δὲ τῆς ἡμέρας ἤδη τὸ ἐνυάλιον ἀλαλάξαντες οἱ τοῦ αὐτοκράτορος πόλεμον μετὰ τῶν Λατίνων C ἀπὸ τῆς χέρσου συναίρειν ἠπείγοντο. ὁ δὲ σκοπὸς τὸ δοθὲν σημεῖον θεασάμενος, δι' ἑτέρου σημείου δηλοῖ τῷ Παλαιολόγῳ. ὁ δ' εὐθὺς μετὰ τῶν σὺν αὐτῷ τὴν ἀκρολοφίαν θᾶτ- V. 123 τον καταλαβών, συνησπικὼς ἵστατο. τὴν γοῦν ἐκτὸς πολιορκίαν ὁ Βρυέννιος ὁρῶν καὶ τὸν Παλαιολόγον κατ' αὐτῶν βρύχοντα, οὐδ' οὕτως ἐνεδίδου, ἀλλὰ τοὺς κόμητας ἐκέλευε γενναιότερον ἀντικαθίστασθαι. οἱ δὲ ἀναισχυντότερον αὐτῷ προσφερόμενοι ἔλεγον "ὁρᾷς, ὡς κακὸν ἐπὶ κακῷ ἐστήρικται· ἔξεστι οὖν ἑκάστῳ ἡμῶν τοῦ λοιποῦ τὴν ἑαυτοῦ σωτηρίαν πραγματεύσασθαι, καὶ τοὺς μὲν τῷ βασιλεῖ προσελθεῖν, τοὺς δὲ ἐπὶ τὴν οἰκείαν πατρίδα ἐπαναζεῦξαι." καὶ παραχρῆμα D ἔργου ἁψάμενοι, ἐξαιτοῦνται τὸν αὐτοκράτορα μίαν, μὲν σημαίαν πρὸς τὸ τοῦ μεγαλομάρτυρος Γεωργίου τέμενος στῆναι, (ἔφθασε γὰρ ἐπ' ὀνόματι τούτου τοῦ μάρτυρος ἐκεῖσε ἀνοικοδομηθῆναι ὁ ναὸς οὑτοσί,) τὴν δὲ ὡς πρὸς τὸν Αὐλῶνα,

1. ἐπιστήσας τούτῳ ἕνα τοι τὸ δοθὲν PG, ἐπιστήσας τὸ δοθὲν C, recte F. 2. post βασιλέως add. σημεῖον P, om. CF. 3. αὐτῷ τοῦ τὸ P. 7. σημείου FC, σημεῖον PG. 10. καὶ τὸν Παλαιολόγον — βρύχοντα om. CG. an αὐτοῦ? βρύχοντος F. 14. οὖν FA, γοῦν PG. ὑμῶν A. 17. ἔργον PG, ἔργου FA. 18. πρὸς τὸ — τέμενος A, πρὸς τῷ — τεμένει PG. 20. τὴν δὲ: ἑτέραν δὲ πρὸς τὴν εἰς τὸν αὐλῶνα ἀπάγουσαν A.

rarentur. Palaeologus igitur Georgius postquam sub collem, quem iam commemoravi, appulit, armatus substitit et speculatorem in edito loco posuit, qui signum ab imperatore datum observaret et, simul atque conspexisset, id sibi rursus significaret. luce iam orta, qui cum imperatore erant, classico canente, pugnam a continenti conserere cum Latinis festinant. speculator, ut datum signum conspexit, per alterum signum Palaeologo id nuntiat. qui statim iugo celerrime cum suis superato, ibi confertim constitit. at Bryennius, quamvis et extrinsecus impetum imminentem et Palaeologum frendentem in se intra cerneret, tamen ne sic quidem animo cecidat, sed comites iussit eo fortius resistere. at hi inverecundius se gerentes, "vides, inquiunt, ut malum malo accedat. oportet igitur unumquemque nostrum in posterum saluti suae consulere, et vel ad imperatorem transgredi vel in patriam redire." ac statim rem aggressi, petunt ab imperatore, ut signum militare alterum versus templum magni martyris Georgii, (erat enim huic templum ibi conditum,) alterum Aulonem versus statuere-

ἵν' ὁπόσοι μὲν ἡμῶν τῇ σῇ βασιλείᾳ θητεῦσαι βούλοιντο, τῇ πρὸς τὸ τέμενος τοῦ μάρτυρος ἀπονενευκυίᾳ προσέλθωσιν, P. 154 ὁπόσοι δὲ πρὸς τὴν ἰδίαν πατρίδα ἐπαναζεῦξαι, τῇ πρὸς τὸν Αὐλῶνα ἀφορώσῃ προσχωρήσωσι." ταῦτ' εἰπόντες παραχρῆμα προσῆλθον τῷ βασιλεῖ. ὁ δὲ Βρυέννιος γενναῖος ὢν ἀνὴρ προσεληλυθέναι μὲν τῷ βασιλεῖ οὐδαμῶς ἠβούλετο, ἐπώμνυτο δὲ μηδέποτε κατ' αὐτοῦ ὅπλα κινῆσαι, εἰ μόνον δοίη τοὺς τοῦτον μέχρι τῶν ὁρίων τῆς τῶν Ῥωμαίων βασιλείας ἀκινδύνως διασώσοντας, καὶ οὕτω πρὸς τὴν ἰδίαν ἀπολῦσαι χώραν. ὁ δὲ αὐτοκράτωρ μάλα ταχέως ἐπλήρου τὸ αἰτηθέν· αὐτὸς δὲ τῆς πρὸς τὸ Βυζάντιον εἴχετο νικητὴς ἐπιφανέστατος.

2. Μικρὸν δὲ ἐνταῦθα τὴν τοῦ λόγου διήγησιν διακόψασα, ὅπως καὶ τοὺς Παυλικιανοὺς κατηγωνίσατο, διηγήσο- B μαι. οὐκ ἔφερε μηδὲ τούτους τοὺς ἀποστάτας καταγωνίσασθαι πρὸ τοῦ τὰ βασίλεια καταλαβεῖν, ἀλλ' ὥσπερ ἀπό τινος νίκης ἑτέραν νίκην πρυτανευόμενος, καὶ τὴν πληθὺν τῶν Μανιχαίων τὸν κύκλον συμπληροῦσαν τῶν ἑαυτοῦ κατορθωμάτων ἐποίει. οὐδὲ γὰρ ἐνῆν τῷ λαμπρῷ τροπαίῳ τῶν ἑσπερίων πολεμίων οἷον σπῖλον ἐνεῖναι τοὺς ἐκ Παυλικιανῶν ὁρμωμένους ἐκείνους. διὰ πολέμου δὲ καὶ μάχης οὐκ ἤθελεν, ἵνα

1. ἡμῶν om. A. 3. ἰδίαν : οἰκείαν A. 4. ἀφορώσει P. 6. μὲν om. CG. τῷ βασιλεῖ add. A. οὐδαμῶς : οὐκ A. ἠβούλετο A, ἐβούλετο PG. ἐπόμνυτο PA, ἐπώμνυτο CG. 7. κατ' αὐτοῦ μηδέποτε G. 8. τοῦτον : αὐτὸν A. 9. διασώσαντας G. 11. ἐπιφανέστατος om. A. 13. τοῦ λόγου om. G. διακόψασα FP, τεμοῦσα CG. 14. καὶ add. F.

tur, ut "quicunque nostrum sub tua maiestate merere velint, ad signum martyris aedem versus positum se conferant; qui autem in patriam suam redire cupiant, ad signum, quod Aulonem versus spectat, accedant." quibus dictis, statim ad imperatorem transeunt; Bryennius autem, quo erat animo generoso, idem facere nequaquam voluit; iuravit tamen nunquam se in imperatorem arma capturum esse, modo se, usque ad imperii Romani fines tuto deductum, domum redire sineret. imperator celerrime concessit, quod postulavit; ipse iter Byzantium ingressus est, splendida victoria reportata.

2. Digrediar hic paullulum, ut quomodo Paulicianos quoque debellaverit, enarrem. nam puduit eum, desertores istos non devicisse, priusquam in regiam rediret; sed quasi victoriam ex victoria serens, etiam Manichaeorum multitudine deleta, praeclare factorum orbem implevit. neque enim par erat, illustrem de occiduis hostibus reportatam victoriam quasi macula afficere istos ex Paulicianis profe-

μὴ ἐν τῇ συμβολῇ τοῦ πολέμου πολλοὶ ἐξ ἑκατέρων ἀναιρε-
θήσονται, πάλαι τούτους γινώσκων ἐκθυμοτάτους ἄνδρας καὶ
δριμὺ κατὰ τῶν ἐχθρῶν πνέοντας. ἔσπευδεν οὖν διὰ τοῦτο
τοὺς πρωταιτίους μὲν τιμωρήσασθαι, τοὺς δέ γε λοιποὺς τῷ
τοῦ στρατοπέδου συγκαταλέξαι σώματι. ἔνθεν τοι καὶ διὰ C
τρόπου τούτου μετῄει. γινώσκων δὲ τὸ φιλοκίνδυνον τῶν
ἀνδρῶν ἐκείνων καὶ περὶ τοὺς πολέμους καὶ τὰς μάχας ἀκά-
θεκτον, ἐδεδίει μὴ ἀπογνόντες χεῖρόν τι μελετήσαιεν· ἠρέ-
μουν γὰρ τέως τὴν σφῶν οἰκοῦντες πατρίδα, καὶ οὔπω πρὸς
ληλασίας ἄλλας καὶ προνομὰς ἐξετράποντο· μετεπέμπετο
οὖν διὰ γραμμάτων τούτους ἐν τῷ πρὸς τὸ Βυζάντιον ἐπα-
νέρχεσθαι συχναῖς ὑποσχέσεσιν. οἱ δὲ τὴν κατὰ τῶν Κελτῶν
νίκην αὐτοῦ μεμαθηκότες ἐδεδίεσαν, εἰ τάχα καὶ τὰ γράμμα-
τα χρησταῖς αὐτοὺς ἐλπίσιν ὑπέσαινον· ὅμως καὶ μὴ βου- D
λόμενοι τῆς πρὸς αὐτὸν εἴχοντο. ἐκεῖνος δὲ τὴν Μοσυνού-
πολιν καταλαβών, αὐτοῦ που προσέμενεν, ὑποκρινόμενος δι'
ἄλλ' ἄττα ἐγκαρτερεῖν, τὸ δέ γε ὅλον τὴν αὐτῶν ἀναμένων
ἄφιξιν. καταλαβόντων δέ, ἐσχηματίζετο ἀναθεωρῆσαι τού-
τους βούλεσθαι καὶ ἑκάστου τὴν ὀνομασίαν ἐγγράψασθαι. ἔν-
θεν τοι καὶ φοβερὸς προὐκάθητο, καὶ οὐ φύρδην, ἀλλὰ κατὰ V 124
δεκάδας τοὺς λογάδας τῶν Μανιχαίων ποιεῖσθαι ἐκέλευσε,

3. ἐχθρῶν: ἀντιπάλων A. 6. τούτους C. δὲ: malim γάρ. 15. Μοσυνούπολιν P, Μοσυνόπολιν AG. 16. αὐτοῦ που A et in margine P, αὐτόθι PG. 17. ἀλλάττα A, ἀλλ' ἅττα PG. correxi. 18. καταλαβόντων C, καταλαβόντας PG, καταλαβόντας δὲ τούτους A. 19. ἀναγράψασθαι CG. 20. κατὰ C et in margine P, καὶ PGA. 21. τοὺς λογάδας om. C. ἐκέλευε A. post ἐκέλευσε excidisse videtur τὴν πάροδον aut quid tale.

ctos. aperto autem Marte aggredi eos noluit, ne, pugna commissa, multi utrarumque partium exstinguerentur; dudum enim summa eos fortitudine esse norat et ferociam in hostes spirare. quapropter id operam dedit, ut auctores sceleris ulcisceretur, reliquos exercitui adiungeret. hac igitur ratione poenas persecutus est. cum ad pericula eos promtos indomitique in proeliis impetus esse sciret, veritus est, ne desperatis rebus ad peiora delaberentur. nam quieti tum temporis terram incolebant patriam, et ad praedationes et latrocinia nondum se converterant. itaque per litteras, Byzantium rediens, arcessivit eos magnis pollicitationibus. isti, cognita eius de Gallis victoria, quanquam verebantur, ne forte falsa sibi spe litterae subblandirentur, tamen vel inviti iter ad eum ingressi sunt. Alexius Mosynopoli substitit, fictis morandi caussis, re vera adventum eorum opperiens. qui cum adessent, lustrare eos se velle simulat ac singulorum nomina perscribere. itaque terribili considens specie, non promiscue, sed de-

τὴν τῶν κοινῶν θέαν ἐς νέωτα ὑποσχόμενος· κᾀθ' οὕτως P. 155 εἴσω τῶν πυλῶν ἀπογραφομένους εἰσέρχεσθαι. ἡτοιμασμένοι δὲ ὄντες οἱ τούτους δεσμεῖν ὀφείλοντες, τοὺς ἵππους καὶ τὰ ὅπλα ἀναλαμβανόμενοι, τούτους ἐν τοῖς ἀποτεταγμένοις φρουρίοις ἐνέκλειον. οἱ δέ γε ἐφεξῆς ἐρχόμενοι, παντελῆ τῶν πραττομένων ἄγνοιαν ἔχοντες, εἰσῄεσαν ἀγνοοῦντες τὸ ἀποβησόμενον ἑκάστῳ. τούτους μὲν οὖν οὕτω κατέσχε, καὶ τὰς αὐτῶν περιουσίας δημεύσει καθυποβαλὼν, διενείματο τοῖς συγκεκοπιακόσι τούτῳ ἐν ταῖς συμπεσούσαις μάχαις καὶ τοῖς κινδύνοις γενναίοις ἐκείνοις στρατιώταις. ἀπελθὼν δὲ ὁ τὴν οἰκο-B νομίαν ταύτην ἀναδεξάμενος, καὶ τὰς αὐτῶν γυναῖκας τῶν οἰκιῶν ἀπελάσας κατὰ τὴν ἀκρόπολιν ἐμφρούρους εἶχεν. τοὺς δέ γε κατασχεθέντας τῶν Μανιχαίων συμπαθείας κατὰ μικρὸν ὁ αὐτοκράτωρ ἠξίωσεν· ὁπόσοι δὲ καὶ τοῦ θείου βαπτίσματος τυχεῖν προείλοντο, οὐδὲ τούτου ἀπετύγχανον. διὰ παντοίας δὲ περιελθὼν αὐτοὺς μεθόδου καὶ διαγνοὺς τοὺς πρωταιτίους τῆς τοιαύτης ἀπονοίας, ἐν νήσοις περιορίσας C καθεῖρξε· τοῖς δέ γε λοιποῖς ἄδειαν δεδωκὼς ὅπη βουλητὸν αὐτοῖς ἀπιέναι, ἀπέλυσεν. οἱ δὲ τὴν ἐνεγκαμένην τῶν ἄλλων προτιμησάμενοι, αὐτίκα πρὸς αὐτὴν ἐπανέτρεχον, ὡς ἐνὸν τὰ κατ' αὐτοὺς οἰκονομήσαντες.

4. ἀναλαμβάνεσθαι A. 6. τῷ ἑκάστῳ ἀποβησόμενον A. 7. οὖν om. A. 8. τῇ δημεύσει A. συγκεκοπακόσι P. 10. ἀπελθὼν δὲ: πέμψας δὲ εἰς φιλίππου πόλιν καὶ τὰς αὐτῶν A. 13. lege μετὰ μικρόν. 17. πρωταιτίους A, αἰτίους PG. 18. ὅπη CA, ὅποι PG.

curiatim primores Manichaeorum praetervehi iussit, universos se crastino die lustraturum pollicitus; ac deinde hoc modo urbem, postquam in tabulas relati essent, introire. iam qui ad vinciendos eos parati erant, equis armisque ablatis, in suam quemque custodiam deducunt. deinceps qui sequebantur, cum quae fierent plane nescirent, ingrediebantur ignari, quid cuique immineret. hos igitur sic cepit, bonaque eorum publicata generosis istis militibus distribuit, qui proeliorum atque periculorum socii sibi fuerant. cui negotium illud mandatum erat, Philippopolin profectus, etiam uxores eorum, domibus expulsas, in arce carceribus inclusit. captis autem Manichaeis brevi post imperator crimen condonavit; qui sacri baptismi participes fieri cupiebant, iis ne hoc quidem denegavit. omnibus autem artibus adhibitis, ubi auctores pravi illius consilii exploravit, in insulis deportatos detinuit; reliquis potestatem dedit, quo vellent, eundi. hi in patriam, qua nihil carius ducebant, statim reversi, quantum licuit, res suas ordinabant.

3. Ἐκεῖνος δὲ πρὸς τὴν βασιλίδα τῶν πόλεων ἐπάνεισιν. οὐκ ἔλαθε δὲ τοῦτον τὰ κατ' αὐτοῦ ἐν τριόδοις τε καὶ γωνίαις ὑποψιθυριζόμενα. ἀλλὰ ἀκούων ἐτιτρώσκετο τὴν ψυχήν, ὅτι μὴ τοσοῦτον εἰργασμένος, πολλαπλασίω τὰ στόματα τῶν συκοφαντούντων εἶχεν ἑαυτῷ περιχαίνοντα. ἐκεῖνος γὰρ χρείας κατεπειγούσης καὶ κοσμικοῦ κλύδωνος ἐξ ἀπορίας τῶν βασιλικῶν ταμιείων, πρὸς τοῦτο ἀπέβλεψε καὶ ὡς δάνειον ἐλογίζετο, ἀλλ' οὐχ ὡς ἅρπαγμα ἢ τυραννικῆς χειρὸς ἐπιβουλήν, ὡς οἱ διαλοιδορούμενοι λέξειαν. ἀλλὰ καὶ γνώμης οὕτως εἶχεν, ὡς μετὰ τὸ κατορθῶσαι τοὺς ἐπικειμένους πολέμους ἀποδώσων ταῖς ἐκκλησίαις τὸν ἀφῃρημένον κόσμον αὐτῶν. D
καὶ οὐκ ἔφερεν ἐπαναζεύξας τῇ βασιλίδι τῶν πόλεων, ὑπόθεσιν γίνεσθαι τοῖς ἐθέλουσι διασύρειν τὰ ἐκείνου. ἔνθεν τοι καὶ ἐκκλησίαν κηρύττει καὶ συνέδριον μέγιστον εἰς τὰ ἐν Βλαχέρναις ἀνάκτορα, ἑαυτὸν ἐθέλων πρῶτον ὑπόδικον καταστήσασθαι, καὶ οὕτω τὰ ὑπὲρ ἑαυτοῦ ἀπολογήσασθαι. παρῆν δὲ ἤδη καὶ ἡ σύγκλητος ἅπασα καὶ τὸ στρατιωτικὸν καὶ ὅσον τοῦ ἱερατικοῦ καταλόγου, καραδοκοῦντες τὸ τί ἂν βούλοιτο ἡ P. 156
τῶν ἁπάντων συνέλευσις. τὸ δὲ ἦν ἄρα ἄλλο οὐδὲν ἢ ἡ τῶν κατὰ τοῦ βασιλέως θρυλλουμένων ἀνάκρισις. παρῆσαν οὖν

1. ἐκεῖνος δὲ: ὁ δέ γε βασιλεὺς A. τὴν τῶν πόλεων βασιλίδα A. ἐπάνεισιν A, ἐπάνεισι PG. 3. ὑποψιθυριζόμενα: desidero περὶ τῆς τῶν ἱερῶν ἐκποιήσεως vel similem criminis mentionem, quo sequens πρὸς τοῦτο ἀπέβλεψε referendum sit. ἀλλ' ἀκούων A. 7. ταμείων G. 9. οἱ om. G. 12. ἐπαναζεύξας C, ὑπαναζεύξας PG. 13. διασύρνειν PG, διασύρειν C. 14. καὶ primum om. G. 16. αὐτοῦ G. 17. ὅσοι A. 18. ἱεροῦ AG. βούλοιτο: γένοιτο A. 19. ἄρα om. G.

3. Imperator in urbem reversus, ubi cognovit, quae in triviis et angiportis de alienata sacra supellectile in se susurrabantur, moleste ferebat, quod cum non tantam admisisset culpam, multo plures se allatrarent calumniatores. etenim urgente is necessitate ac rerum secularium propter exhaustum aerarium vexatione, ad id animum adverterat, mutuatus potius, quam latrocinatus vel tyranni more grassatus, ut maledici criminabantur. quin etiam statutum habebat, simulac bella, quae urgebant, prospere finivisset, ecclesiis ornamenta ablata restituere. itaque in urbem redux, cum calumniandi copiam praecisam cuperet, maximam concionem in Blachernarum palatium convocavit, coram qua primum reum se sisteret, deinde causam pro se diceret. convenerat iam senatus universus et principes exercitus et totus ordo sacerdotum, exspectantes, quid omnium conventus sibi vellet. habebatur autem non aliam ob causam, nisi ut eorum, quae in imperatorem iactabantur, quaestio institueretur. aderant igitur sacrorum monaste-

τηνικαῦτα οἱ τῶν ἱερῶν φροντιστηρίων κηδεμόνες, καὶ τὰ βιβλία ἐς μέσον τηνικαῦτα προὐτίθετο, (βρέβια ταῦτα ἡ συνήθεια οἶδε καλεῖν,) ἐν οἷς ἀναγεγράφαται τὰ ἐν ἑκάστῳ τεμένει κειμήλια. καὶ τῷ μὲν φαινομένῳ κριτὴς ὁ βασιλεὺς ἐπὶ τοῦ βασιλικοῦ καθῆστο θρόνου, τῇ δὲ ἀληθείᾳ αὐτὸς ἐξετα-
V. 125 σθησόμενος. ἐξητάζετο τοίνυν τὰ πάλαι παρὰ πολλῶν ἀνα-
B τεθέντα τοῖς εὐαγέσιν οἴκοις, καὶ παρὰ τούτων ἐσύστερον ἢ καὶ αὐτοῦ τοῦ αὐτοκράτορος ἀφαιρεθέντα. καὶ ἐπεὶ μηδὲν ἕτερον ἀφαιρεθὲν κατεφαίνετο, ἀλλ' ἢ μόνον ὁ τῇ σορῷ τῆς βασιλίδος ἐκείνης Ζωῆς ἐκ χρυσοῦ καὶ ἀργύρου ἐπικείμενος κόσμος καὶ ὀλίγα τινὰ ἄλλα σκεύη μὴ τοσοῦτον εἰς ἱερὰν λειτουργίαν χρηματίζοντα, ἑαυτὸν εἰς τοὐμφανὲς ὁ αὐτοκράτωρ ὑπόδικον καθίστησιν, κριτὴν δὲ τὸν βουλόμενον ὁντιναοῦν. καὶ μετὰ μικρὸν μεταβαλὼν τῇ γλώττῃ λέγει· "ἐγὼ" φησι "τὴν βασιλείαν πανταχόθεν κυκλουμένην βαρβάροις εὑράμε-
C νος καὶ μηδέν τι πρὸς τοὺς ἐπικειμένους ἐχθροὺς ἀξιόμαχον ἔχουσαν, ἴστε ὁπόσοις κινδύνοις περιπέπτωκα, μικροῦ καὶ βαρβαρικοῦ ξίφους ἔργον γεγονώς. καὶ γὰρ πολλαπλασίους ἦσαν οἱ ἑκατέρωθεν ἡμᾶς τοξεύοντες. τὰς γὰρ τῶν Περσῶν ἐπελεύσεις καὶ τὰς τῶν Σκυθῶν ἐκδρομὰς οὐκ ἀγνοεῖτε, καὶ τῶν ἐκ Λογγιβαρδίας ὀξυνομένων δοράτων οὐκ ἐπιλέλησθε.

2. προὐτίθεντο PG, προυτίθετο C, idque Reiskius tacite correxit ad Constant. p. 752. 4. τῷ μὲν φαινομένῳ PA, τὸ μὲν φαινόμενον CG. 5. τῇ δ' A. 6. ἀνατεθέντα CA, ἀνατιθέντα PG. 7. τούτων: lege τῶν. 9. ἕτερον om. A. ἀλλ' ἢ μόνον ὁ CA, ἀλλ' ἢ ὁ G, κατεφαίνετο ὁ μόνον τῇ P. σορῷ A, σωρῷ PG. 14. λέγει add. A. 15. κυκλουμένην πανταχόθεν A. 16. μηδένα πρὸς τοὺς ἐπικ. ἐχθ. ἀξιόμαχον ὄντα, ἴστε A. 18. πολλαπλασίους γὰρ ἦσαν A. 21. ἐπελήσθητε CG.

riorum curatores, et in medium proferebantur libri, (brevia vulgo vocari solent,) in quibus aedis cuiusque supellex perscripta erat. imperator regio sedebat in solio, specie quidem iudicis, re vera ipse reus. inibatur ratio eorum, quae templis olim a multis donata, postea ablata erant cum ab aliis, tum ab ipso imperatore. cumque nihil aliud sublatum esse appareret, nisi tumulo Zoes illius augustae impositum ornamentum auri argentique et pauca quaedam alia vasa, non ita ad sacri ministerii usum necessaria, reum se palam profitetur imperator, iudicemque facit, quisquis vellet. brevi post mutata oratione, "ego, inquit, cum imperium undique invenissem barbaris circumdatum et omni adversus imminentes hostes auxilio destitutum, scitis, quot pericula subierim, barbarorum tantum non ipse ferro absumptus. etenim multo plures erant, qui ab utraque parte nos aggrederentur. Persarum incursiones et Scytharum impetus haud ignoratis; nec Longibardorum infesta in nos

τὰ δὲ χρήματα συναπῆρε τοῖς ὅπλοις, καὶ ὁ κύκλος τῆς ἡγεμονίας εἰς τὸ ἀμερὲς συνένευε κέντρον. ὅπως δὲ τό τε ὁπλιτικὸν ἅπαν ηὔξηται γυμναζόμενον καὶ ἁπανταχόθεν συλλεγόμε- D
νον καὶ συγκροτούμενον, οἴδατε· καὶ ταῦτα πάντα ὅτι πολλῶν ἐδεῖτο χρημάτων, ἴστε πάντες, καὶ ὅτι τὰ ἀφαιρεθέντα εἰς δέον ἀνήλωτο, κατὰ τὸν Περικλέα ἐκεῖνον, καὶ ὑπὲρ τῆς ὑμῶν τιμῆς δεδαπάνηται. εἰ δὲ τοῖς μεμψιμοίροις ὡς τοῖς κανόσι προσκεκρουκότες κατεφάνημεν, θαυμαστὸν οὐδέν. ἀκούομεν γάρ, ὅτι καὶ ὁ ἐν βασιλεῦσι προφήτης Δαβὶδ εἰς τὴν αὐτὴν ἀνάγκην ἐληλυθώς, τῶν ἱερῶν ἐγεύσατο ἄρτων μετὰ τῶν στρατευμάτων αὐτοῦ, καὶ ταῦτα μὴ ἐνδεχομένου, τῆς ἐξιδιαζομένης τοῖς ἱερεῦσι τροφῆς ἰδιώτην ἅψασθαι. καὶ ἄλλως δὲ καταμαθεῖν ἐστὶ τοὺς ἱεροὺς κανόνας ἐν ἑτέροις ἐνδιδόντας τὰ ἱερὰ πιπράσκεσθαι ὑπὲρ ἀναρρύσεως αἰχμαλώτων. εἰ δὲ P. 157
αἰχμαλωτιζομένης οἰκουμένης καὶ δορυαλώτων ἤδη τῶν πόλεων καὶ αὐτῆς τῆς Κωνσταντίνου γενέσθαι κινδυνευουσῶν, ὀλίγων τινῶν καὶ οὐδὲ πάνυ τῆς τῶν ἱερῶν μετεχόντων ἀξίας ἐν βίᾳ τοσαύτῃ ἁψάμενοι, εἰς τὴν ἐλευθερίαν τούτων κατεχρησάμεθα, οὐδεμίαν ἄρα κατηγορίαν εὔλογον τοῖς φιλοσκώμμοσι καταλιμπάνομεν." ταῦτ' εἰπὼν καὶ μεταστρέψας τὸν λόγον, ἔνοχον οἷον ἑαυτὸν ποιεῖται καὶ καταδικάζει αὐτὸς

2. συνένευε CA, συννένευκε PG. ante ὁπλητικὸν P add. ὁ, om. CG. 5. τὰ add. CAG. 6. ἀνήλωται G. καὶ ὑπὲρ: ἀπο A. 9. ὁ om. G. 11. ἐνδεχομένως A. 12. τοῖς add. G. 15. an τῆς οἰκουμένης? 18. συνεχρησάμεθα P, κατεχρησάμεθα CAG. 21. οἷον: πάλιν A.

arma obliti estis. cum armis deerant pecuniae, orbisque imperii quasi ad centrum individuum redigebatur. quantum mox creverit tota res militaris, copiis exercitatis et novis undecunque contractis, recordamini. nec quenquam vestrum latet, talia a nobis sine magna pecunia non potuisse praestari, quaeque ablata fuerunt, utiliter, secundum Periclem illum, atque in vestrum honorem impensa esse. quodsi nonnullis ad vituperandum proclivioribus canones offendisse visi sumus, mirum non est. accepimus enim, ipsum prophetam inter reges Davidem, eadem necessitate circumventum, sacros panes gustasse una cum commilitonibus suis, licet nefas esset cibo sacerdotibus proprio vesci. atque praeterea etiam intelligere licet, sacros canones aliis locis permittere supellectilem sacram venumdari ad redimendos captivos. itaque si, quo imperium Romanum urbesque nostras et ipsam Cpolin a praesenti servitutis periculo liberaremus, paucis quibusdam, iisque nullo plane sacrorum vasorum cultu habitis, in tanto rerum discrimine usi sumus, nullam profecto iustam accusandi causam malignis relinqui-

ἑαυτόν. εἶτ' αὖθις τὰ βρέβια ἀνελίττειν προστάττει τοῖς ἔχουσιν, B ἵνα καταφανῆ γένηται τὰ ἀφῃρημένα. καὶ παραχρῆμα τῷ μὲν σεκρέτῳ τοῦ Ἀντιφωνητοῦ χρυσίου ποσότητα ἱκανὴν ἐλογίσατο κατ' ἔτος εἰσκομιζομένου τοῖς τοῦ δημοσίου φροντισταῖς, ὃ καὶ μέχρι τοῦ νῦν ἀπαρασάλευτον διαμεμενήκει· ἐκεῖσε γὰρ ἡ τῆς δηλωθείσης βασιλίδος σορὸς ἐναπέκειτο· τοῖς δὲ Χαλκοπρατείοις ἐτησίαν εἴσοδον χρυσίου ἀρκοῦντος τοῖς τῷ θείῳ τεμένει τῆς θεομήτορος συνήθως τοὺς ὕμνους ἐπιτελοῦσιν ἐκ τῶν βασιλικῶν ταμιείων πρυτανεύεσθαι παρεκελεύσατο.

4. Ἐν τούτοις ἐπιβουλὴ ἀνεφάνη κατὰ τοῦ αὐτοκράτορος, μελετωμένη παρά τε τῶν τῆς συγκλήτου λογάδων καὶ τῶν τοῦ στρατοῦ κορυφαίων· καὶ διεμηνύθη τηνικαῦτα τῷ C αὐτοκράτορι. καὶ οἱ κατήγοροι παρέστησαν καὶ τοὺς συνίστο- V. 126 ρας τῆς τοιαύτης βουλῆς ἐξήλεγχον. ἐκδήλου δὲ τῆς μελέτης ἤδη γεγονυίας καὶ τῆς ἀπὸ τῶν νόμων ποινῆς κατ' αὐτῶν βαρείας ἐπερχομένης, ὁ αὐτοκράτωρ ποινὴν μὲν αὐτοῖς οὐδαμῶς ἐπενεγκεῖν προτεθύμητο, δήμευσιν δὲ μόνον καὶ περιορισμὸν κατὰ τῶν πρωταιτίων ἀπεφήνατο, καὶ μέχρι τούτου τὴν τῆς τοιαύτης ἐπιβουλῆς ἐπεξέλευσιν ἔστησεν. ἀλλὰ γὰρ ὁ λόγος ἀνατρεχέτω αὖθις ὅθεν ἀπερρύη. ὁπηνίκα ὁ αὐτο-

1. εἶτ' αὖθις: καὶ προστάττει ἀνελίττειν τὰ βρέβια A. 4. εἰσκομιζομένην A. τοῦ om. A. 5. ὃ : ἣ A. ἀσάλευτον A. 6. σορὸς CA, σωρὸς PG. 9. ταμείων G. 11. βουλὴ A. ἐφάνη G. 13. καὶ om. A. 16. ἤδη om. A. 17. οὐδαμῶς ἐπενεγκεῖν αὐτοῖς P, altero ordine AG. 21. αὖθις add. CAG et in margine P.

mus." haec locutus, mutata oratione, quasi reum se profitetur seque ipse condemnat. brevia rursus replicari iubet, ut quae ablata essent, patefieret. ac statim secreto Antiphonetae auri summam satis magnam quotannis a vectigalium curatoribus pendendam constituit; quod et hucusque constanter servatur. ibi enim imperatricis, cuius mentionem fecimus, tumulus erat. Chalcoprateis vero tantum auri, quantum iis, qui in hac sacra deiparae aede hymnos canere solebant, videbatur sufficere, singulis annis ex aerario pendi iussit.

4. Eodem tempore exorta coniuratio in imperatorem est, conflata ab senatus principibus et exercitus ducibus nobilioribus. cuius rei ubi indicium ad imperatorem allatum est, accusatores producti conscios sceleris convincebant. patefacto iam eorum consilio, cum poena legibus praescripta esset gravissima, imperator hanc quidem iis infligi noluit, bonorum tantum publicatione et exilio coniurationis auctores multavit, et hactenus scelus ultus est. sed redeat rursus oratio, unde digressa

κράτωρ εἰς τὴν τοῦ δομεστικάτου ἀξίαν παρὰ Νικηφόρου τοῦ Βοτανειάτου ἀνηνέχθη, Τραυλόν τινα Μανιχαῖον προσλαβό- D μενος μετὰ τῶν γνησίων αὐτοῦ θεραπόντων συγκατέλεξε, καὶ τοῦ θείου βαπτίσματος ἀξιώσας, μιᾷ τῶν τῆς βασιλίδος θεραπαινίδων συνέζευξεν. οὗτος οὖν τέσσαρας ἀδελφὰς ἔχων, ὡς ταύτας ἐμφρούρους μετὰ τῶν λοιπῶν τότε συναπαχθείσας ἐθεάσατο τά τε προσόντα ἀφαιρεθείσας ἅπαντα, ἤχθετο καὶ φέρειν οὐκ εἶχεν, ἀλλὰ διεσκοπεῖτο, ὅπως ἑαυτὸν τῆς τοῦ αὐτοκράτορος χειρὸς ἀπαλλάξειεν. ἐν γνώσει δὲ τούτων ἡ αὐτοῦ ὁμευνέτις ἤδη γεγονυῖα καὶ ἀποδιδράσκοντα τοῦτον ὁρῶσα, δηλοῖ τῷ τηνικαῦτα τὴν οἰκονομίαν τῶν Μανιχαίων P. 158 ἐμπεπιστευμένῳ. οὐ διέλαθε τοῦτο τὸν Τραυλόν, καὶ τηνικαῦτα ὁπόσοις φθάσας τὸ ἀπόρρητον ἀνεκάλυψε, πρὸς ἑαυτὸν ἑσπέρας μεταπέμπεται. καὶ ὁπόσοι δὲ ἐκ συγγενείας ἦσαν αὐτῷ προσήκοντες, ἐς αὐτὸν συνεληλυθότες καταλαμβάνουσι τὴν Βελιάτοβαν· πολίχνιον δὲ τοῦτο διακείμενον κατὰ τὴν ἀκρολοφίαν τοῦ κατὰ ταυτηνὶ τὴν Βελιάτοβαν τέμπους. ἄοικον δὲ τοῦτο ἐφευρηκότες, ὥσπερ ἴδιόν τι λάχος λογισάμενοι, ἐν αὐτῷ τὰς οἰκήσεις ἐποιοῦντο. εἶτα τὰς καθ' ἑκάστην ἐκεῖθεν ἐκδρομὰς ποιούμενοι καὶ μέχρι τῆς σφετέρας φθάνοντες πόλεως Φιλίππου, λεῖαν πολλὴν ἀναλαμβανόμενοι ἐπανέστρε- B φον. ὁ δὲ Τραυλὸς τούτοις μὴ ἀρκούμενος, σπονδὰς μετὰ

1. δομεστίκου G, δομεστικάτου FP. 7. ἀφαιρεθέντα G, alterum FP. 13. φθάσας F, φθάσαι P, om. G. ἀπεκάλυψε G. ἑαυτὸν F, αὐτὸν PG. 21. ἀναλαβόμενοι CG.

est. Imperator enim, cum in magni domestici dignitatem a Nicephoro Botaniate evectus esset, Traulum quendam Manichaeum in familiarium ministrorum numerum adsciverat, eique sacro baptismate dignato unam ex imperatoris famulabus in matrimonium dederat. huic quatuor erant sorores; quas cum in custodiam illo tempore una cum ceteris abductas cerneret bonisque omnibus spoliatas, indignabatur nec ferre poterat. itaque dispiciebat occasionem e manibus imperatoris elabendi. quod ubi coniux eius cognovit aufugientemque maritum animadvertit, rem nuntiavit ei, cui tum Manichaeorum administratio commissa erat. sensit Traulus consilium proditum, et quibuscum rem antea communicaverat, vespere ad se arcessivit; ac congregatis, qui consanguinitate sibi iuncti erant, Beliatobam occupat; oppidulum id est in summo monte positum, qui valli ad Beliatobam adiacet. quod cum vacuum invenissent, in eo tanquam sibi proprio domicilia collocarunt. inde quotidianis excursionibus, interdum usque ad suam ipsorum urbem Philippopolin, factis, multa onusti praeda revertebantur. nec his contentus Traulus foedus cum Scythis Istrum accolentibus

τῶν τὸ Παρίστριον νεμομένων Σκυθῶν ἐποιεῖτο, τοὺς περὶ τὴν Γλαβινίτζαν καὶ Δρίστραν ἡγεμόνας καὶ τὰ ταύταις παρακείμενα ὑποποιούμενος, μνηστευσάμενος ἅμα ἑαυτῷ καὶ τῶν λογάδων Σκυθῶν ἑνὸς θυγατέρα, σπεύδων ὅλῃ χειρὶ λυπῆσαι τὸν αὐτοκράτορα διὰ τῆς τῶν Σκυθῶν ἐπελεύσεως. ταῦτα δὲ ὁ βασιλεὺς καθ' ἑκάστην μανθάνων, τὸ μέλλον προμηθευσάμενος, ἔσπευδεν ὑποποιεῖσθαι τοῦτον διὰ γραμμάτων καὶ ὑποσχέσεων, ὑφορώμενος τὸ ἐξ αὐτοῦ τεχθησόμενον κακόν. ἀλλὰ καὶ χρυσόβουλλον λόγον ἀπαθείας καὶ πάσης ἐλευθερίας C ἐκθέμενος, ἐκπέπομφε πρὸς αὐτόν. ἀλλ' ὁ καρκῖνος ὀρθὰ βαδίζειν οὐκ ἐμάνθανεν· ὁ αὐτὸς δὲ ἦν ὁ χθὲς καὶ πρότριτα, τούς τε Σκύθας ὑποποιούμενος καὶ πλείονας ἐκ τῶν σφετέρων μεταπεμπόμενος χωρῶν καὶ ληϊζόμενος τὰ παρακείμενα ἅπαντα.

5. Εἶτα ὁ μὲν αὐτοκράτωρ ὁδοῦ πάρεργον καὶ τὰ κατὰ τοὺς Μανιχαίους ποιησάμενος, ὑποσπόνδους αὖθις εἶχεν. ὁ δέ γε Βαϊμοῦντος κατὰ τὸν Αὐλῶνα χρονοτριβῶν ἦν· ἐπαναγέσθω γὰρ πρὸς αὐτὸν αὖθις ὁ λόγος· καὶ τὰ κατὰ τὸν Βρυέννιον μεμαθηκὼς καὶ τοὺς ἄλλους κόμητας, ὧν οἱ μὲν V. 127 θητεῦσαι τῷ αὐτοκράτορι προείλοντο, ἄλλοι δὲ ἄλλοσε D διεσπάρησαν, τὴν ἐνεγκαμένην ἀναζητήσας διαπερᾷ εἰς Λογγιβαρδίαν καὶ καταλαμβάνει τὸν ἴδιον πατέρα τὸν Ῥομπέρτον

1. τὸ add. G. 2. Δύστραν G, alterum FP. 9. χρυσοβούλλου G. ἀληθείας G. 10. ὀρθῶς G. 12. ἐκ τῶν G, αὐτῶν P. 17. γε om. G. 21. εἰς λογγιβαρδίαν διαπερᾷ A. 22. τὸν Ῥομπέρτον add. A, Ῥομπέρτον C, om. PG.

init, ducibus, qui Glabinitzam et Dristram finitimasque regiones obtinebant, sibi conciliatis et illustris inter Scythas viri filia in matrimonium ducta; id sedulo agens, ut imperatorem Scytharum irruptione vexaret. de quibus imperator quotidie certior factus, cum futurorum curam haberet, litteris et pollicitationibus illum reconciliare studebat, malum inde proventurum suspectans. quin etiam bullam auream, qua impunitas et plena libertas sancita erat, ad eum misit. verum cancer recta ingredi non didicit: idem erat homo, qui heri ac nudiustertius, Scythas sibi conciliabat pluresque semper arcessebat ex finibus eorum ac vicinas omnes regiones populabatur.

5. Postquam imperator obiter Manichaeos quoque ad frugem compulit, rursus in fidem eos recepit. at Boëmundus (nam redeat ad eum oratio) Aulone commorabatur, cumque certior factus esset de Bryennio ceterisque comitibus, quorum quidem alii sub imperatore stipendia mereri maluerant, alii alio dispersi erant: patriam repetiit, et in Longibardiam traiectus, Robertum patrem Salerni convenit, ut supra iam narravi-

εἰς τὸ Σαλερηνόν, ὡς ὁ λόγος φθάσας ἐδήλωσε, καὶ πολλὰ κατὰ τοῦ βασιλέως εἰπών, ἠρέθιζε κατ' αὐτοῦ. ὃν θεασάμενος ὁ Ῥομπέρτος τὴν δεινὴν ἐκείνην ἀγγελίαν ἐπὶ τοῦ προσώπου φέροντα, καὶ τὰς πολλὰς ἐκείνας ἃς ἐπ' αὐτῷ εἶχεν ἐλπίδας ὀστράκου δίκην εἰς τοὐναντίον μεταπεσούσας, αὖος ἐφ' ἱκανὸν εἱστήκει ὥσπερ ὑπὸ κεραυνοῦ βληθείς. περὶ πάντων δὲ πυθόμενος καὶ μαθὼν τὰ παρ' ἐλπίδας αὐτῷ συμπεσόντα, ἀθυμίᾳ κατεσχέθη. ἀγεννὲς μὲν οὖν οὐδ' οὕτω τι ἐλογίσατο, οὐδὲ τῆς αὐτοῦ ἀνδρείας καὶ τόλμης ἀνάξιον. μᾶλλον μὲν P. 159 οὖν καὶ πρὸς μάχας ἐπιπλέον ἠρέθιστο, καὶ φροντίδες τούτον καὶ μέριμναι αὖθις τῶν προτέρων μείζους συνεῖχον. ἦν γὰρ ὁ ἀνὴρ ἰσχυρὸς προστάτης τῶν οἰκείων βουλευμάτων τε καὶ προλήψεων, καὶ μηδαμῶς ἐθέλων ἀνεῖναι ἐφ' οἷς καθάπαξ διεβουλεύσατο, καὶ τὸ ὅλον εἰπεῖν ἀκατάπληκτος καὶ πάντα αὐτῷ ἁλώσιμα ἐκ μόνης προσβολῆς οἰόμενος γίνεσθαι. εὐθὺς οὖν τὸ φρονοῦν αὐτῷ τῆς ψυχῆς συναγαγὼν καὶ τῆς πολλῆς ἀθυμίας ἑαυτὸν ἀνακτησάμενος, ἀποστείλας ἁπανταχόθεν διεκηρύκευε τὴν εἰς τὸ Ἰλλυρικὸν αὖθις κατὰ τοῦ βασιλέως διαπεραίωσιν, μετακαλούμενος ἅπαντας. καὶ αὐτίκα πανταχό- B θεν πλῆθος συνείλεκτο στρατιωτῶν, ἱππέων τε καὶ πεζῶν, πάντων ἐξωπλισμένων λαμπρῶς καὶ πρὸς μάχην ἀποβλεπόν-

1. Σαληρινὸν G. 2. ὃς καὶ θεασάμενος τοῦτον, τὴν δεινὴν A. 3. ἐκείνην om. A. 4. ἐκείνας ἐλπίδας ἃς ἐπ' αὐτῷ εἶχεν A. 6. ἑστήκει A. ἀπὸ G. 7. ἐλπίδα A. 8. οὖν om. G. 9. αὐτοῦ G, ἑαυτοῦ P. μὲν om. G. 10. ἐπιπλέον C, πλέον PG. 17. ἀπανταχόθεν A, πανταχόθεν PG. διεκηρύκευε A, διεκηρύκευεν PG.

mus, multisque in imperatorem dictis, animum patris adversus illum irritavit. quem ubi Robertus ipso vultu infaustum illum nuntium prodentem vidit et magnam, quam in eo posuerat, spem testulae instar in contrarium versam, obstupuit aliquamdiu, quasi fulmine ictus. sciscitatus autem de omnibus, et quae praeter spem accidissent edoctus, animum deiecit. quanquam ne tum quidem ignavam ac generoso audacique animo indignam cogitationem suscepit. imo magis etiam ad bellum incensus, gravioribus, quam antea, curis ac sollicitudinibus agitabatur. erat enim constans et tenax propositi, nec ab iis, quae semel statuerat, facile declinabat, imperterriti denique vir pectoris, et nihil non expugnabile primo statim impetu sibi ratus. simul igitur animum collegit atque ex magna perturbatione se recepit, statim dimissis quoquoversum, qui iterum in Illyricum contra imperatorem traiecturum se esse nuntiarent, omnes convocavit. ac protenus ingens undique militum conveniebat numerus, tam equitum quam peditum, qui splendide omnes armati erant et pugnandi cupiditate fla-

των. τὸ πλῆθος εἶπεν ἂν Ὅμηρος „ἠΰτε ἔθνεα εἶσι μελισ-
σάων ἀδινάων." καὶ συνέρρεον ἔκ τε τῶν παρακειμένων πόλεων
καὶ ἐξ ἀλλοδαπῶν δὲ οὐχ ἧττον. κἀντεῦθεν ὡπλίζετο καρτε-
ρῶς, ἐφ' ᾧ τὴν τοῦ υἱοῦ ἀνακαλέσασθαι ἧτταν. ἱκανὰ δὲ
συλλεξάμενος στρατεύματα, εἶτα τοὺς αὐτοῦ μετακαλεσάμενος
υἱεῖς, τόν τε Ῥογέρην καὶ τὸν Γίδον καλούμενον, ὃν καὶ ὁ
C βασιλεὺς Ἀλέξιος θέλων τοῦ πατρὸς ἀποστῆσαι, ἀποστείλας
λάθρα περὶ κήδους αὐτῷ ἐδήλωσεν, ὑποσχόμενος καὶ τιμὴν
διαφέρουσαν καὶ χρημάτων δόσιν δαψιλῆ· ὁ δὲ τούτων ἀκού-
σας συνέθετο, τὸν δὲ λόγον τέως εἶχεν ἀπόρρητον. τούτοις
οὖν τὸ ἱππικὸν ἅπαν παραδούς, ἀπέστειλε παραγγείλας σπου-
δάσαι κατασχεῖν τὸν Αὐλῶνα. οἳ καὶ διαπεράσαντες, ἐξ ἐπι-
δρομῆς τοῦτον εἷλον. καὶ μετρητούς τινας εἰς φυλακὴν αὐ-
τοῦ καταλιπόντες, μετὰ τῶν λοιπῶν καταλαβόντες τὸ Βοθρεν-
τόν, ἐξ ἐφόδου καὶ τοῦτο κατέσχον. ὁ δέ γε Ῥομπέρτος τὸ
D ναυτικὸν αὐτοῦ ἅπαν ἀναλαβόμενος καὶ τὴν ὡς πρὸς τὸ Βο-
θρεντὸν παραλίαν παραπλέων, κατέλαβε τὸ Βρεντήσιον, ἐφ'
ᾧ πρὸς τὸ Ἰλλυρικὸν διαπεράσαι. τὸν δ' ἀπὸ τῆς Ὑδροῦν-
τος πορθμὸν ἧττον διάστημα ἔχειν μεμαθηκώς, ἐκεῖθεν διε-
πέρασεν εἰς τὸν Αὐλῶνα. καὶ οὕτω διὰ τῆς ἀναμεταξὺ τοῦ
Αὐλῶνος καὶ τοῦ Βοθρεντοῦ παραλίας μετὰ τοῦ στόλου αὐ-
τοῦ παντὸς διελθών, ἡνώθη μετὰ τῶν υἱῶν αὐτοῦ. ὡς δὲ

6. Γίδαν P, Γήδαν G, γήδον A. hic et infra correxi. vid. p. 388 A, 389 C, 390 B, 392 A. καὶ alterum add. A. 12. καὶ : δὲ C. 14. καταλιπόντες εἰς τὸ βοθρωτὸν παραγενόμενοι, ἐξ ἐφόδου A. 15. τοῦτο A, τοῦτον PG. 16. ὡς πρὸς C et in margine P, ἐς PG. 18. Ἰδροῦντος C. 19. ἔχειν διάστημα G. 22. παντὸς : πεζῇ G.

grabant. multitudinem Homerus tantam diceret, "quanta apum feruntur examina frequentium." nec magis ex vicinis quam ex longinquis confluebant oppidis. iamque acriter se paravit ad ulciscendam filii cladem. exercitu satis magno collecto, filios arcessivit Rogerium et qui dicebatur Gidus, cui etiam imperator Alexius, ut a patre abstraheret, legatis clam missis, affinitatem obtulerat, et honorem insignem et pergrandem pecuniae summam pollicitus. quibus ille auditis annuerat, sed consilium tum celabat. hos igitur equitatui universo praefecit, dimisitque cum mandatis, ut Aulonem quam celerrime occuparent. quod illi, traiecto mari, statim fecerunt. exiguo illic praesidio relicto, cum ceteris copiis Buthrotum proficiscuntur, quod et ipsum facile expugnant. interim Robertus cum classe universa, oram Buthroto oppositam legens, Brundusium pervenit, in Illyricum traiecturus. sed cum Hydrunte breviorem traiectum esse didicisset, inde solvit. dein litus Aulonem inter atque Buthrotum prae-

ἡ Κορυφὼ προκατασχεθεῖσα παρ' αὐτοῦ αὖθις ἀπεστάτησε,
τοὺς υἱοὺς αὐτοῦ εἰς τὸν Βοθρεντὸν καταλιπών, αὐτὸς μετὰ
τοῦ ναυτικοῦ παντὸς ἀπέπλευσε πρὸς τὴν Κορυφώ. ἀλλ' ὁ P. 160
μὲν Ῥομπέρτος τοιαῦτα· ἅπερ μεμαθηκὼς ὁ αὐτοκράτωρ,
οὐδαμῶς ἀνεπεπτώκει, ἀλλὰ τοὺς Βενετίκους διὰ γραμμάτων V. 128
ἐξώτρυνε, παρασκευάσας αὖθις τὸν μετὰ τοῦ Ῥομπέρτου
ἀναδήσασθαι πόλεμον, στόλον ἱκανὸν ἐξοπλίσαντας, καὶ τὰς
δαπάνας πολλαπλασίους λήψεσθαι ὑποσχόμενος. αὐτὸς δὲ
διήρεις καὶ τριήρεις καὶ παντοῖον εἶδος λῃστρικῶν νηῶν κατασκευάσας κατὰ τοῦ Ῥομπέρτου ἐξέπεμψεν, ὁπλίτας εἰσαγαγὼν τῆς διὰ θαλάττης μάχης εἰδήμονας. τὴν δὲ κατ' αὐτοῦ
τῶν στόλων ἔφοδον μεμαθηκὼς ὁ Ῥομπέρτος, τὴν μάχην προαρπάζων ὁποῖος ἐκεῖνος, λύσας τὰ πρυμνήσια μετὰ τοῦ ναυ- B
τικοῦ αὐτοῦ παντὸς τὸν λιμένα Κασσόπης κατέλαβεν. οἱ δέ
γε Βενέτικοι καταλαβόντες τὸν λιμένα Πασσάρων καὶ μικρὸν κἀκεῖθι τὴν τοῦ Ῥομπέρτου ἔφοδον μεμαθηκότες, θᾶττον καὶ αὐτοὶ καταλαμβάνουσι τὸν λιμένα Κασσόπης. καὶ συμβολῆς καρτερᾶς γενομένης καὶ τῆς μάχης ἀγχεμάχου, ἡττᾶται ὁ Ῥομπέρτος. ὁποῖος δ' ἐκεῖνος φιλοπόλεμος καὶ ἐκθύμως ἔχων πρὸς μάχας, οὐδὲ μετὰ τὴν ἧτταν ἐκείνην τὸ παράπαν ἐνεδίδου, ἀλλ' αὖθις ἡτοιμάζετο πρὸς ἑτέραν μάχην καὶ συμ-

3. προσαπέπλευσε A. ἀλλ' ὁ μέν: ταῦτ' οὖν ὁ αὐτοκράτωρ μεμαθηκὼς A. 5. ἀναπεπτώκει AG. 6. παρώτρυνε AG, ἐξώτρυνε FP. 7. ἐξωπλίσαντας PG, recte C. 8. λήψασθαι G. 9. διήρεις τε G. νηῶν add. CG et in margine P. 11. εἰς θάλασσαν A. 15. Πασσάρων AG hic et infra, Πασάρων P.

tervectus universa classe, cum filiis se coniungit. quoniam vero Corypho prius occupata defecerat, filiis Buthroti relictis, ipse classe insulam petiit. haec Robertus. quae postquam imperator rescivit, nequaquam oscitabatur, sed bellum adversus Robertum renovans, Venetos litteris acciit, si classem satis magnam armassent, pecunias largissimas pollicens. ipse biremes et triremes et varii generis piraticas naves instructas adversus Robertum misit, militibus impositis pugnae maritimae peritis. ubi adventum classium Robertus cognovit, quo erat animo, aggredi occupans, solvit et cum universa classe portum Cassopes insedit. Veneti tenebant Passarorum portum, ubi comperto Roberti adventu, celeriter et ipsi in Cassopes portum invehuntur. proelio atroci commisso et manu conserta cominus, Robertus fugatur. verum ut pugnandi cupidus erat et bello strenuus, ne victus quidem animum demisit, sed rursus ad alteram eamque graviorem pugnam se comparavit. quo cognito, utriusque classis duces, recenti victoria freti,

βολὴν πολέμου μείζονος. ὅπερ οἱ ἡγεμόνες ἀμφοτέρων τῶν στό- C *λων μεμαθηκότες κἀκ τῆς προηγησαμένης νίκης θαρρήσαντες, μετὰ τὴν τρίτην πάλιν ἡμέραν προσβαλόντες αὐτῷ λαμπρὰν τὴν κατ' αὐτοῦ νίκην ἤραντο. εἶθ' οὕτως ἐπανέρχονται πάλιν εἰς τὸν λιμένα Πασσάρων. εἴτε ὁποῖα ἐν τοῖς τοιούτοις ὡς τὰ πολλὰ φιλεῖ γενέσθαι, ἐπαρθέντες ἐπὶ ταῖς προγεγενημέναις νίκαις, εἴτε τοὺς ἡττηθέντας ἀπελπίσαντες, ἀναπεπτώκασιν ὡς ἤδη τὸ πᾶν ἠνυκότες, καὶ καταφρονητικῶς πρὸς τὸν Ῥομπέρτον διετίθεντο. εἶτα διελόντες τὰ ταχύδρομα τῶν πλοίων, ἀπέστειλαν εἰς Βενετίαν διηγησομένους τὰ ξυμπεσόντα καὶ ὅπως κατὰ κράτος τὸν Ῥομπέρτον ἥττησαν. ὁ δὲ Ῥομπέρτος ταῦτα* D *μεμαθηκὼς ἀπό τινος Βενετίκου Κονταρίνου Πέτρου καλουμένου ἄρτι προσπεφευγότος αὐτῷ, ἐπὶ πλέον ἀθύμει καὶ οὐκέτι ἀνεκτῶς εἶχεν· λογισμοῖς δὲ κρείττοσιν ἀναρρώσας ἑαυτόν, αὖθις κατὰ τῶν Βενετίκων ἴεται. οἱ δὲ Βενέτικοι τῷ ἀπροόπτῳ καταπλαγέντες τῆς αὐτοῦ ἐλεύσεως, εὐθὺς δεσμήσαντες τὰ μείζω τούτων πλοῖα καλωδίοις παρὰ τὸν λιμένα τῆς Κορυφῶ καὶ συναπαρτίσαντες τὸν λεγόμενον πελαγολιμένα, τὰ σμικρὰ τούτων σκάφη εἰς μέσον ἤλασαν· σιδηροφορήσαντες δὲ ἅπαντες ἐκαραδόκουν τὴν τούτων ἔλευσιν. ὁ δὲ καταλαβὼν συμμίγνυται τούτοις πρὸς πόλεμον. ὁ δὲ πόλεμος δεινὸς ἦν καὶ τῶν πρώην ἰσχυρότερος, ἐκθύμως μα-*

3. *τὴν* utrobique om. A. *πάλιν* add. A. *προσβάλλοντες* A. post *αὐτῷ* add. PGA *οἱ Βενέτικοι*, om. C. 4. *αὐτῶν* G. 5. *εἴτε δὲ οἱ ὁποῖοι* G. 15. *οἱ δὲ Βενέτικοι*: *οἳ καὶ* A. 17. *περὶ* A. 19. *μικρὰ* A. *σκάφη* om. C.

tertio die rursus aggrediuntur victoriamque splendidam reportant. dein in Passarorum portum revertuntur. sed sive elati, ut plerumque fieri solet, victoriis reportatis, sive hostes iam debellatos rati, secure degebant, tanquam tota confecta re, et Robertum contemnebant. celeres etiam naves omnes mittunt Venetias nuntiatum, quae evenissent et quantam de Roberto adepti essent victoriam. quae ubi Robertus comperit ex Veneto quodam, Petro Contarino nomine, nuper ad ipsum transfuga, animum etiam magis despondit, nec ferre amplius potuit. mox tamen prudentioribus rationibus erectus, rursus Venetos aggreditur. Veneti, improviso eius adventu obstupefacti, maioribus statim navigiis ante portum urbis Corypho inter se alligatis et facto maris portu quem vocant, parvas naves in medium cogunt, armatique omnes illorum adventum opperiuntur. ille, ut advenit, pugnam conserit. pugna autem atrox erat et prioribus acrior, cum fortius, quam antea, pugnaretur. proelio igitur commisso gravi, et nemine ex utra-

χομένων ἢ πρότερον. καρτερᾶς οὖν μάχης ἀναμεταξὺ γεγο- P. 161 νυίας καὶ μηδενὸς τῶν μερῶν ᾽νῶτα διδόντος, ἀλλὰ μᾶλλον κατὰ πρόσωπον ἐρχομένων, ἐπεὶ οἱ Βενέτικοι τὰ προσόντα τούτοις φθάσαντες προκατηναλώκεσαν, καὶ οὐδὲν ἄλλο πλὴν τῶν ὁπλιτῶν ταῖς ναυσὶ παρῆν, αὗται δὲ τῇ κουφότητι ἐπεπόλαζον οἷον τοῖς ὕδασιν ἀνεχόμεναι, ὡς μηδ᾽ ἄχρι δευτέρου ζωστῆρος τοῦ ὕδατος φθάνοντος, πανσυδὶ ἐπὶ τὴν ἑτέραν πλευρὰν τὴν ὡς πρὸς τοὺς πολεμίους συρρεύσαντες, τηνικαῦτα ἐβυθίσθησαν· ἦσαν δὲ ὡσεὶ χιλιάδες τρισκαίδεκα. αἱ δὲ ἄλλαι τῶν νηῶν σὺν αὐτοῖς πλωτῆρσι κατεσχέθησαν. B ὁ δὲ Ῥομπέρτος μετὰ τὴν λαμπρὰν ἐκείνην νίκην ἀπηνῶς διατεθείς, πολλοῖς τῶν κατασχεθέντων ὠμοτάτως ἐχρήσατο, τῶν μὲν τὰς ὄψεις πηρώσας, τοὺς δὲ ῥινοτομήσας, τινῶν V. 129 δὲ καὶ χεῖρας ἢ πόδας ἢ καὶ ἀμφότερα ἀφελόμενος. περὶ δέ γε τῶν λοιπῶν ἀποστείλας πρὸς τοὺς ὁμοχώρους αὐτῶν διεφήμισεν, ἵν᾽ ὁ βουλόμενος πρίασθαι τὸν ἴδιον τιμῆς, ἀφόβως παραγίνοιτο. ἅμα δὲ καὶ τὰ περὶ εἰρήνης αὐτοὺς ἠρώτα· οἱ δὲ μηνύουσι πρὸς αὐτόν „ἴσθι, δοὺξ Ῥομπέρτε, ὡς εἰ καὶ τὰς σφῶν ἡμῶν γυναῖκας καὶ τὰ τέκνα ἀποσφαττόμενα θεασαίμεθα, οὐκ ἂν τὰς πρὸς τὸν αὐτοκράτορα Ἀλέξιον συνθήκας ἀπαρνησόμεθα, οὔτε μὴν τοῦ ἐπαρήγειν αὐτῷ C καὶ ὑπὲρ αὐτοῦ ἐκθύμως μάχεσθαι ὅλως ἐνδώσομεν." και-

1. ἀναμεταξὺ om. A. 3. κατὰ προσώπου G. 4. προκατηναλώκεισαν AG. 5. ναυσὶ A, ταῖς ναυσὶν παρῆν P, παρῆν ταῖς ναυσὶν G. 10. δ᾽ A. 14. ἢ πόδας : καὶ πόδας AG. 16. διευφήμισεν PG, ἐφήμισεν A, διεφήμισεν C, probante Lobeckio ad Phrynich. p. 598. τιμῆς om. A. 19. εἰ om. A. 20. εἰ θεασόμεθα A. Ἀλέξιον om. A. 22. ἐνδώσομεν P.

que parte terga vertente, sed a fronte potius irruentibus, cum Veneti commeatum antea consumpsissent, neque quidquam praeter milites navibus inesset, hae autem propter levitatem innatarent quasi undis sublatae, ne secundum quidem cingulum aqua contingente: accidit, ut cuncti in illud latus, quod hostes spectabat, confluentes, immergerentur. erant autem ad tredecim millia. reliquae naves cum ipsis vectoribus captae sunt. Robertus post illustrem hanc victoriam in crudelitatem erumpens, multos eorum, quos ceperat, saevissime tractavit. alios privavit oculis, aliis nares abscidit, nonnullis manus aut pedes aut utraque simul. de ceteris misit popularibus eorum nuntiatum, qui suos redimere vellent, iis secure se adire licere. simul de pace eosdem interrogat. at illi hoc responsum dant. "scito, dux Roberte, etiamsi uxores et liberos nostros trucidari a te cerneremus, foedus cum imperatore Alexio non renuntiaremus, neque adiuvare eum et

ροῦ δ' ὀλίγου παρεῤῥυηκότος, δρόμωνάς τε καὶ τριήρεις εὐτρεπίσαντες οἱ Βενέτικοι καὶ ἄλλ' ἄττα τῶν μικρῶν καὶ ταχυδρόμων νηῶν, μετὰ πλείονος δυνάμεως κατὰ τοῦ Ῥομπέρτου ἔρχονται. καὶ δὴ καταλαβόντες αὐτὸν περὶ Βοθρεντὸν αὐλιζόμενον, τὸν μετ' αὐτοῦ συνάπτουσι πόλεμον καὶ κατὰ κράτος νικῶσι, πολλοὺς μὲν ἀποκτείναντες, πλείονας δὲ καὶ βυθίσαντες· μικροῦ δὲ δεῖν καὶ αὐτὸν τὸν γνήσιον υἱὸν αὐτοῦ Γίδον καὶ τὴν ὁμευνέτιν κατέσχον Γαΐταν. καὶ νίκην κατ' αὐτοῦ λαμπρὰν ἀράμενοι, δηλοῦσι πάντα τῷ βασιλεῖ. ὃς διὰ D πολλῶν τούτους ἀμειψάμενος δωρεῶν καὶ τιμῆς, καὶ αὐτὸν τὸν δοῦκα Βενετίας τῷ τῶν πρωτοσεβαστῶν ἀξιώματι μετὰ τῆς ἀναλόγου ῥόγας ἐτίμησεν, ὑπέρτιμον δὲ καὶ τὸν πατριάρχην σφῶν ἠξίωσε μετὰ τῆς ἀναλόγου ῥόγας. ἀλλὰ καὶ πάσαις ταῖς ἐν Βενετίᾳ ἐκκλησίαις χρυσίου ποσότητα ἱκανὴν ἐτησίως διανείμεσθαι ἀπὸ τῶν βασιλικῶν ταμιείων ἐκέλευσε. τῇ μέντοι ἐπ' ὀνόματι τοῦ εὐαγγελιστοῦ ἀποστόλου Μάρκου ἐκκλησίᾳ ὑποφόρους ἅπαντας τοὺς ἐκ Μέλφης ἐν Κωνσταντινουπόλει ἐργαστήρια κατέχοντας πεποίηκε καὶ τὰ ἀπὸ τῆς παλαιᾶς Ἑβραϊκῆς σκάλας μέχρι τῆς καλουμένης Βίγλας διή-

1. τριήρης P. 2. ἀλλάττα A, ἀλλ' ἅττα PG, correxi. 4. δὴ om. A. περὶ τὸ Βοθρωτὸν A, παρὰ τὸν Βωτρεντὸν G, παρὰ τὸ Βρεντισθὸν C. 5. καιακράτος A. 6. κτείναντες A. 7. αὐτοῦ υἱὸν A. 8. Γίδαν P, γῆδον AG. Γαΐταν om. A. 11. δοῦκα A, Δοῦκαν PG. 12. ἀναλόγου om. A. ἐτίμησεν om. C. ὑπέρτιμον — μετὰ τῆς ἀλόγου ῥόγας add. A. ἀναλόγου em. Ducangius in annotat. 14. χρυσίων ἱκανὴν ποσότητα A. 15. διανείμεσθαι: δίδοσθαι A. lege διανείμασθαι. ταμείων A. 17. πάντας A. 18. κατέχοντας A, ἔχοντας PG. πεποίηκε A, πεποίηκεν PG. 19. σκάλλας A hic et infra.

fortiter pro eo pugnare desineremus." paulo post Veneti paratis dromonibus et triremibus nonnullisque aliis parvis ac velocibus navibus, cum maioribus viribus in Robertum movent. cumque in eum circa Buthrotum stationem habentem incidissent, gravi proelio vincunt, multis caesis, pluribus demersis. nec multum abfuit, quin ipsum filium eius germanum Gidum et Gaïtam uxorem caperent. qua victoria reportata splendida, imperatori rem omnem nuntiant. is multis muneribus honoribusque eos affecit, ipsum ducem Venetorum protosebasti dignitate ornavit, salario iusto addito, et hypertimi titulum patriarchae eorum concessit cum stipendio congruo. quin etiam omnibus apud Venetos ecclesiis auri quantitatem satis magnam quotannis ex aerario regio numerari iussit; ecclesiae autem in honorem evangelistae apostoli Marci exstructae tum vectigales fecit Melphenses omnes, qui Cpoli officinas haberent, tum donavit officinas, quae a veteri

κοντα ἐργαστήρια καὶ τὰς ἐντὸς τοῦ διαστήματος τούτου ἐμπεριεχομένας σκάλας ἐδωρήσατο καὶ ἑτέρων πολλῶν ἀκινήτων δωρεὰς ἔν τε τῇ βασιλευούσῃ καὶ τῇ πόλει Δυρραχίου καὶ ὅποι ποτ' ἂν ἐκεῖνοι ᾐτήσαντο. τὸ δὲ δὴ μεῖζον, τὴν P. 162 ἐμπορίαν αὐτῶν ἀζήμιον ἐποίησεν ἐν πάσαις ταῖς ὑπὸ τὴν ἐξουσίαν Ῥωμαίων χώραις, ὥστε ἀνέτως ἐμπορεύεσθαι καὶ κατὰ τὸ αὐτοῖς βουλητόν, μήτε μὴν ὑπὲρ κομμερκίου ἢ ἑτέρας τινὸς εἰσπράξεως τῷ δημοσίῳ εἰσκομιζομένης παρέχειν ἄχρι καὶ ὀβολοῦ ἑνός, ἀλλ' ἔξω πάσης εἶναι Ῥωμαϊκῆς ἐξουσίας.

6. Ὁ δέ γε Ῥομπέρτος (ἐπαναγέσθω γὰρ αὖθις ὁ λόγος ὅθεν ἐξέπεσε καὶ καθ' εἱρμὸν ἐχέσθω τῆς διηγήσεως,) οὐδὲ μετὰ ταύτην τὴν ἧτταν αὖθις ἠρέμει. ἀλλ' ἐπεὶ προφθάσας τινὰ τῶν πλοίων αὐτοῦ μετὰ τοῦ ἰδίου υἱοῦ κατὰ τῆς Κεφαληνίας ἀπέστειλε σπεύδων τὴν ἐν αὐτῇ πόλιν κατασχεῖν, B τὰ μὲν ἐνόντα αὐτῷ πλοῖα τῇ Βοντίτζῃ προσώρμισε μετὰ τῆς παρεμβολῆς πάσης, αὐτὸς δὲ εἰς μονήρη γαλέαν εἰσελθὼν τὴν Κεφαληνίαν κατέλαβε. καὶ πρὶν ἢ ταῖς λοιπαῖς δυνάμεσι καὶ τῷ υἱῷ αὐτοῦ ἑνωθῆναι, ἐγκαρτερῶν ἔτι περὶ τὸν Ἀθέρα, (ἀκρωτήριόν τι τοῦτο τῆς Κεφαληνίας,) λάβρῳ κατέχεται πυρετῷ. μὴ φέρων δὲ τὴν τοῦ πυρετοῦ φλόγωσιν, ὕδωρ ψυχρὸν αἰτεῖ. τῶν δὲ περὶ αὐτὸν ἁπανταχοῦ σκεδασθέντων

5. αὐτοῖς A. ἐποιήσατο A. 7. κομμερκίου C, κουμερκίου PGA. 13. αὖθις om. A. 16. βοντίτζῃ G. προσώρμησε G. 17. δὲ om. G. 20. ἀθέρα FP hic et infra, ἀέρα CG. λάβρῳ FP, λαύρῳ AG. 22. αὐτῶν PG, αὐτὸν FCA.

Hebraica scala usque ad Biglam quae dicitur pertinerent, item scalas omnes, quae intra hoc spatium continerentur; addidit quoque alias multas res immobiles Cpoli Dyrrhachiique et ubicunque illi expeterent. postremo, quod maximum erat, mercaturam illorum omni vectigali immunem fecit in cunctis Romani imperii terris, ut libere mercatum possent facere, ac commercii aliusve tributi aerario pendendi nomine ne obolum quidem darent, sed omni plane exemti essent Romanorum potestate.

6. At Robertus (nam redeat oratio, unde digressa est et ordinem sequatur narrationis,) ne post hanc quidem cladem quievit. sed cum iam antea navigia nonnulla, praefecto filio, in Cephaleniam misisset, ut urbem, quae ibi est, caperet, naves, quas ad manum habuit, ad Boditzam appulit cum exercitu toto; ipse, monere galea conscensa, Cephaleniam tenuit. sed priusquam ceteris copiis filioque suo se coniungeret, commoratus adhuc ad Atherem, quod est promontorium Cephaleniae, acri correptus est febri. cumque ardorem

εἰς τὴν τοῦ ὕδατος ζήτησιν, τῶν ἐγχωρίων τις πρὸς αὐτοὺς φησιν "ὁρᾶτε ταυτηνὶ τὴν νῆσον τὴν Ἰθάκην. ἐν αὐτῇ πόλις C μεγάλη πρώην ᾠκοδόμητο Ἱερουσαλὴμ καλουμένη, κἂν τῷ χρόνῳ ἠρείπωται· ἐν αὐτῇ πηγὴ ἦν πότιμον ἐσαεὶ καὶ ψυ- V, 130 χρὸν ὕδωρ ἀναδιδοῦσα." τούτων ὁ Ῥομπέρτος ἀκούσας, δέει πολλῷ τηνικαῦτα συνεσχέθη. συμβαλὼν οὖν τὸν Ἀθέρα καὶ τὴν πόλιν Ἱερουσαλήμ, τὸν ἐφιστάμενον αὐτῷ θάνατον τηνικαῦτα ἐπεγίνωσκε. καὶ γὰρ πρὸ πολλοῦ τινὲς αὐτῷ ἐμαντεύοντο, ὁποῖα εἰώθασιν οἱ κόλακες τοῖς μεγιστᾶσιν εἰσηγεῖσθαι, ὅτι "μέχρι καὶ αὐτοῦ τοῦ Ἀθέρος ἅπαντα μέλλεις ὑποτάξαι· ἐκεῖθεν δὲ εἰς Ἱερουσαλὴμ ἀπερχόμενος, τῷ χρεὼν λειτουργήσεις." εἴτε δὲ ὁ πυρετὸς τοῦτον ἀνάλωσεν, εἴτε D πλευρῖτις ἦν ἡ νόσος, ἀκριβῶς λέγειν οὐκ ἔχω. τέως δι' ἓξ ἡμερῶν τελευτᾷ. καταλαμβάνει δὲ τοῦτον τὰ ἔσχατα πνέοντα ἡ γυνὴ αὐτοῦ Γαΐτα καὶ τὸν υἱὸν αὐτοῦ κλαίοντα ἐπ' αὐτῷ. ἀπαγγέλλεται γοῦν τὸ συμβὰν τῷ υἱῷ αὐτοῦ, ὅνπερ ἔτι ζῶν διάδοχον τῆς ἀρχῆς αὐτοῦ ἐποίει. ὃς τοῦτο μαθών, λύπῃ μὲν ἀφορήτῳ τηνικαῦτα συνείχετο, κρείττοσι δὲ λογισμοῖς ἑαυτὸν ἀνακτησάμενος καὶ συναγαγὼν τὸ φρονοῦν αὐτῷ τῆς ψυχῆς, μετακαλεσάμενος ἅπαντας, πρῶτον μὲν ἀπαγγέλλει τὸ συμβάν, ἀπαράκλητα κλαίων ἐπὶ τῇ τοῦ πατρὸς τελευτῇ, ὀρ-

2. ταύτην A. πόλις μεγάλη πρώην FA, πρώην πόλις μεγάλη PG. 3. ᾠκοδόμητο F, ἀνῳκοδόμητο PA, ἐνωκοδόμητο G. Ἱερουσαλὴμ : ἰλὴμ F. κἂν G, κἀν PA. 4. πότιμον ὕδωρ ἐσαεὶ καὶ ψυχρὸν AG. 5. τοῦτο A. 7. τηνικαῦτα add. A. 8. ἐπέγνωκε A. αὐτῷ om. A. 10. καὶ αὐτοῦ τοῦ Ἀθέρος A, τοῦ Ἀθέρος καὶ αὐτοῦ F, τοῦ Ἀθέρος αὐτοῦ PG. 18. ἑαυτόν τε G. 20. πρῶτα CG. ἐπαγγέλλει G.

non ferret, frigidam petiit. dispersis quoquoversus, qui circa eum erant, ut aquam quaererent, indigenarum unus "videte, inquit, insulam hanc Ithacam. in ea urbs olim magna exstructa erat Hierusalem appellata; quanquam vetustate iam collapsa est. in ea fons erat, idoneam semper ad bibendum frigidamque aquam emittens." his Robertus auditis, magno concussus metu est. nempe Atherem et Hierusalem urbem componens, instare sibi mortem intellexit. etenim dudum vaticinati quidam ipsi erant, qualia solent adulatores principibus narrare, usque ad Atherem cuncta eum subiecturum esse, hinc Hierusalem proficiscentem, naturae debitum redditurum. febrisne eum consumserit, an pleuritidis morbus, parum compertum habeo. mortuus est sexto die; animam agentem Gaïta uxor reperit filiumque eius lamentantem. nuntiatur igitur, quod acciderat, filio, quem adhuc vivus successorem ipse principatus designaverat. is, nuntio accepto, gravissimo dolore affectus est; sed prudentioribus cogitationibus confirmato animo, postquam omnes convocavit, pri-

κίζει δὲ ἅπαντας εἰς ἑαυτόν. καὶ ἀναλαβόμενος τούτους εἰς Ἀπουλίαν διαπερᾷ. ἐν τῷ διαπερᾶν δὲ μεγίστῳ κλύδωνι, P. 163
κἂν ὥρα θέρους ἦν, περιπέπτωκεν, ὥστε τὰ μὲν τῶν πλοίων βυθισθῆναι, τινὰ δὲ τῇ ψάμμῳ προσαρράξαντα συνθραυσθῆναι. τὸ δὲ τὸν νεκρὸν κομίζον πλοῖον ἡμίθραυστον γέγονε· μόλις δὲ τὸ τοῦτον συνέχον κιβώτιον οἱ ἀμφ' αὐτὸν ἀναλαβόμενοι εἰς τὸ Βενούσιον διεσώσαντο. καὶ εἰς τὴν ἐπ' ὀνόματι τῆς ἁγίας Τριάδος πάλαι ἀνοικοδομηθεῖσαν μονήν, οὗ καὶ οἱ ἀδελφοὶ αὐτοῦ προετάφησαν, καὶ αὐτὸς ἐνσωριάζεται. τελευτᾷ δὲ ὁ Ῥομπέρτος εἰκοστῷ ἕκτῳ χρόνῳ τῆς δουκικῆς B
αὐτοῦ ἀρχῆς, τὸν ἅπαντα χρόνον βιώσας ἔτη ἑβδομήκοντα. μεμαθηκὼς δὲ ὁ βασιλεὺς τὸν τοῦ Ῥομπέρτου αἰφνίδιον θάνατον, ἀνέσφαλε μὲν ἄχθος τοιοῦτον ἀπωμισάμενος· ἐπιτίθεται δὲ παραχρῆμα τοῖς τὸ Δυρράχιον ἔτι κατέχουσιν, εἰς διχόνοιαν τούτους διὰ γραμμάτων καὶ παντοίας μεθόδου εἰσάξαι σκεψάμενος, καθ' οὕτως ῥᾷστα τὴν πόλιν Δυρραχίου ἐλπίζων λήψεσθαι. ἀλλὰ καὶ τοὺς ἐν τῇ πόλει παρατυχόντας Βενετίκους παρασκευάζει διὰ γραμμάτων ξυμβουλεῦσαι τοῖς τε Ἀμαλφινοῖς καὶ Βενετίκοις καὶ ὅσοι ἔποικοι εἰς Ἐπί- C
δαμνον ἔτυχον, ὑπεῖξαι τῷ αὐτοῦ θελήματι καὶ παραδοῦναί οἱ τὸ Δυρράχιον. ἀλλὰ καὶ αὐτὸς δι' ὑποσχέσεων καὶ δω-

2. lege Ἀπουλητῖαν. 4. δὲ om. G. συναῤῥάξαντα G. lege προσαράξαντα. 5. πλοῖον om. G. 6. τὸ om. G. 9. lege ἐνσοριάζεται. 10. πέμπτῳ C et in margine P, ἕκτῳ PG. 12. αἰφνίδιον : ἐκείνου A. 13. ἀνέσφηλε CG. 15. τούτους : τὸν τοὺς P. 19. Ἀμαλφηνοῖς CG.

mum rem aperit, insolabiliter patris obitum deflens; dein sacramento adactos in Apuliam traiicit. quo in traiectu, licet aestatis tempus esset, magnae incidit tempestati, ita ut navigiorum alia mergerentur, alia illisa vadis frangerentur. navi, qua mortuus vehebatur, paene confracta, comites arcam, quae cadaver continebat, vix salvam Venusium portabant. ac sepultus est in monasterio S. Trinitati olim exstructo, ubi etiam fratres eius antea depositi erant. obiit anno vicesimo sexto ducatus sui, aetatis septuagesimo. postquam imperator de repentina Roberti morte certior factus est, respiravit, tanto levatus onere, ac statim eos, qui Dyrrhachium adhuc obtinebant, aggressus est, id agens, ut dissensionis semina litteris variisque artibus inter eos spargeret: sic facillime Dyrrhachium urbem capturum sperabat. etiam eos, qui forte Cpoli erant Veneti, adduxit, ut Amalphenis, Venetis et quicunque coloni erant Epidamni, per litteras suaderent, ut voluntati suae obsequerentur Dyrrhachiumque sibi proderent. quod quo lubentius facerent, ne ipse quidem munera dare pollicerique desiit. cumque

ρεῶν οὐκ ἐνεδίδου ὅλως, ὥστε τὴν πόλιν Δυρράχιον παραδοῦναι αὐτῷ. καταπειθεῖς οὖν γεγονότες, (τοιοῦτον γὰρ τὸ Λατίνων ἅπαν γένος ἐρασιχρήματόν τε καὶ ὀβολοῦ ἑνὸς πιπράσκειν εἰωθὸς καὶ αὐτὰ δὴ τὰ φίλτατα,) μεγάλα ἐλπίσαντες καὶ συνωμοσίαν τηνικαῦτα ποιησάμενοι, ἀναιροῦσι μὲν τὸν πρώτως αὐτοὺς ἀναπείσαντα τὸ κάστρον τῷ Ῥομπέρτῳ
D προδοῦναι καὶ τοὺς συνωμότας αὐτοῦ· ἐκεῖνοι δὲ προσελθόντες παραδιδόασι τὸ κάστρον τῷ βασιλεῖ, πάσης ἐλευθερίας ἐξ αὐτοῦ παραπολαύσαντες.

7. Τὴν δὲ τοῦ Ῥομπέρτου τελευτὴν μαθηματικός τις Σὴθ καλούμενος μεγάλα ἐπ' ἀστρολογίᾳ αὐχῶν, μετὰ τὴν εἰς τὸ Ἰλλυρικὸν αὐτοῦ διαπεραίωσιν προειρήκει διὰ χρη-
V. 131 σμοῦ, ὃν ἐν χάρτῃ ἐκθέμενος καὶ σφραγίσας, τισὶ τῶν τοῦ βασιλέως οἰκειοτάτων ἐνεχείρισε, παραγγείλας κατέχειν αὐτὸν μέχρι τινός. εἶτα τοῦ Ῥομπέρτου τετελευτηκότος, ἐξ ἐπιταγῆς αὐτοῦ λύουσι τὸν χάρτην. εἶχε δὲ ὁ χρησμὸς οὕτως· "μέγας ἐχθρὸς ἐξ ἑσπέρας πολλὰ κυκήσας ἄφνω πεσεῖται." ἐθαύμασαν μὲν οὖν πάντες τὴν τοῦ ἀνδρὸς ἐπιστήμην· ἦν γὰρ ἐπὶ ταύτῃ τῇ σοφίᾳ εἰς ἄκρον ἐληλακώς·
P. 164 καὶ ἵνα τι βραχὺ παραδράμωμεν, τοῦ λόγου τῆς ἱστορίας

1. δυῤῥαχίου G. 2. καταπειθεῖς GA, καταπαθεῖς P. 3. λατίνων A, Λατινικὸν PG. 5. τηνικαῦτα add. CA. 7. συνωμότους G. ἐκεῖνοι — παραπολαύσαντες om. G. 9. ἐξ αὐτοῦ παραπολαύσαντες A, παρ' αὐτοῦ ἀπολαύσαντες PG. 10. μαθηματικός A, μεμαθηκὼς PG. 13. ἐνθέμενος A. τῶν οἰκειοτάτων τοῦ βασιλέως G. 14. ἐνεχείρισε A, ἐνεχείρησε PG. 15. τελευτήσαντος A. 18. μὲν οὖν A, δὲ PG. 20. παραδράμωμεν, τοῦ λόγου τῆς ἱστορίας A, παραδράμωμεν τοῦ λόγου, τῆς ἱστορίας PG.

eo adducti essent, (est enim Latinorum gens universa pecuniae amantissima et asse uno carissima quaeque solet vendere,) magna allecti spe, coniuratione facta, e medio tollunt tum qui arcis Roberto tradendae primus auctor fuerat, tum qui cum eo coniuraverant. dein imperatorem adeunt, deditaque arce, omnis generis immunitatem nacti sunt.

7. Roberti mortem mathematicus quidam, nomine Seth, qui astrologiae scientia multum gloriabatur, post eius in Illyricum traiectum praedixerat, vaticiniumque charta consignatum et sigillo munitum familiarissimis quibusdam imperatoris tradiderat, rogans, ut scriptum aliquamdiu servarent. dein mortuo Roberto, iussu illius charta est resignata vaticiniumque sic se habebat: "magnus hostis ex occasu multum tumultuatus repente cadet." admirati sunt omnes viri peritiam; ac sane is ad summam perfectionem huius divinandi scientiae

μικρὸν ἀποστάντες, οὕτως ἔχει τὰ κατὰ τοὺς χρησμούς. νεώτερον μὲν τὸ ἐφεύρεμα, καὶ οὐκ οἶδε τὴν ἐπιστήμην ταύτην ὁ πάλαι χρόνος. οὔτε γὰρ ἐπ' Εὐδόξου τοῦ ἀστρονομικωτάτου ἡ τῶν χρησμῶν μέθοδος ἦν, οὔτε ὁ Πλάτων τὴν σύνεσιν ταύτην ᾔδει, ἀλλ' οὐδὲ Μανέθων ὁ ἀποτελεσματικὸς περὶ ταύτης ἠκρίβωκεν. ἀλλὰ λεῖψις ἦν ἐκείνοις ὡροσκόπου, ἐν οἷς προὐμαντεύοντο, καὶ πῆξις τῶν κέντρων καὶ τοῦ ὅλου διαθέματος ἐπιτήρησις καὶ ὁπόσα ἄλλα ὁ τὴν μέθοδον ταύτην εὑρηκὼς τοῖς ἐσύστερον παρέδωκεν, ἅπερ ξυνετὰ τοῖς περὶ B τὰ τοιαῦτα ματαιάζουσιν. ἡμεῖς δὲ ἐκεῖθέν ποτε ὀλίγον τι τῆς ἐπιστήμης ταύτης ἡψάμεθα, οὐχ ἵνα τι τοιοῦτον διαπραξαίμεθα, (μὴ γένοιτο,) ἀλλ' ἵνα τῆς ματαιολογίας ταύτης ἀκριβέστερον καταγνόντες, καὶ τῶν περὶ αὐτὴν ἠσχολημένων καταγινώσκοιμεν. ταῦτα δὲ γράφω οὐκ ἐπιδείξεως ἕνεκα, ἀλλ' ἵνα ἐνδειξαίμην, ὅτι ἐπὶ τοῦ αὐτοκράτορος τούτου πολλαὶ τῶν ἐπιστημῶν εἰς ἐπίδοσιν ἐληλύθεισαν, τιμῶντος τοὺς φιλοσόφους καὶ φιλοσοφίαν αὐτήν, εἰ καὶ πρὸς τὸ μάθημα τοῦτο τῆς ἀστρολογίας δυσχεραίνων πως κατεφαίνετο, οἶμαι, διότι τοὺς πολλοὺς τῶν ἀκεραιοτέρων ἀφίστασθαι ἀνέπειθε C τῶν ἄνωθεν ἐλπίδων καὶ κεχηνέναι τοῖς ἄστρασιν. αὕτη

2. ἐφεύρημα G. ταύτην τὴν ἐπιστήμην A. 6. ὡροσκόπου A, ὡροσκοπίας PG. 8. διαστήματος AG, διαθέματος P. 9. περὶ ταῦτα A. 11. διαπραξώμεθα A. 12. ματαιολογίας AG, ματαιολόγου P. 13. ἠσχολημένων AG, ἐσχολημένων P. 14. καταγινώσκωμεν A. 16. ἐληλύθησαν P, alterum AG. 19. τῶν ἀκεραιοτέρων om. AG.

pervenerat. quae ars, ut paulisper a narrationis cursu deflectamus, ita se habet. recentioris inventum est aetatis, neque veteres hanc scientiam noverant. nec enim temporibus Eudoxi, astronomorum summi, erat ista divinandi ars, nec Platoni haec disciplina nota fuit; imo ne Manetho quidem apotelesmaticus perfectam eius rei scientiam habuit. veteres enim non solebant, cum vaticinarentur, geniturae rationem habere et cardines figere et totam constellationem observare et si quae alia inventor disciplinae huius posteris tradidit; quae quidem nota iis sunt, qui tales nugas agunt. attigimus et nos olim aliquantisper hanc artem, non ut divinaremus, (avertat id deus,) sed ut vanitate huius scientiae melius perspecta, eorum qui ei dediti sunt stultitiam coarguere possemus. neque vero ostentationis causa haec scribo, sed ut ostendam, artium plerasque floruisse, Alexio imperatore, qui litterarum studiosos et litteras ipsas colebat. quanquam hanc astrologiae disciplinam haud obscuro odio prosequebatur, eam puto ob causam, quod multitudinem impulit, ut spem in deo integriorem abiiceret astrisque inhiaret. ea causa erat, cur inimico in

αἰτία γέγονε πόλεμον ἔχειν τὸν αὐτοκράτορα πρὸς τὸ μάθημα τῆς ἀστρολογίας. οὐ μὴν διὰ τοῦτο αὐχμός τις ἦν ἀστρολόγων τὸ τηνικάδε, ἀλλὰ καὶ ὁ εἰρημένος Σὴθ κατ' ἐκεῖνο καιροῦ ἐξήνθησε, καὶ ὁ Αἰγύπτιος ἐκεῖνος Ἀλεξανδρεὺς πολὺς ἦν τὰ τῆς ἀστρολογίας ἐμφαίνων ὄργια. ὃς καὶ παρὰ πολλῶν ἐρωτώμενος ἀκριβέστατα προεμαντεύετο· ἐν ἐνίοις δὲ οὐδὲ ἀστρολάβου δεόμενος, ἀλλὰ διά τινος ψηφηφορίας
D τὰς προρρήσεις ἐπεποίητο. ἦν δ' ἄρα καὶ τοῦτο μαντικὸν μὲν οὐδαμῶς, ἀλλὰ τέχνη τις Ἀλεξανδρέως λογική. ὁρῶν δὲ ὁ αὐτοκράτωρ τὴν νεότητα συρρέουσαν ἐπ' αὐτὸν καὶ ὥσπερ τινὰ προφήτην τὸν ἄνδρα λογιζομένην, δὶς καὶ αὐτὸς τοῦτον ἐπηρωτήκει, καὶ τοσαυτάκις καὶ ὁ Ἀλεξανδρεὺς εὐστοχήκει τῆς ἐπερωτήσεως· δειλιάσας δὲ ἵνα μὴ πολλῶν βλάβη γένηται, καὶ πρὸς τὴν ματαιότητα τῆς ἀστρολογίας ἀποκλίνωσιν ἅπαντες, κατὰ τὴν Ῥαιδεστὸν τούτῳ τὰς διατριβὰς ἀφώρισε,
P. 165 τῆς πόλεως ἀπελάσας, πολλὴν τὴν περὶ αὐτὸν προμήθειαν ἐνδειξάμενος, ὥστε δαψιλῶς αὐτῷ τὰ πρὸς χρῆσιν ἐκ τῶν βασιλικῶν ταμιείων ἐπιχορηγεῖσθαι. ναὶ μὴν καὶ ὁ διαλεκτικώτατος Ἐλευθέριος, Αἰγύπτιος καὶ οὗτος ἀνήρ, τὰ τῆς ἐπιστήμης ταύτης πρεσβεύων, εἰς ἄκρον ἤλαυνεν εὐφυΐας, μηδενὶ μηδαμῶς τῶν πρωτείων παραχωρῶν. ἐν ὑστέροις δὲ καὶ ὁ
V. 132 καλούμενος Κατανάγκης Ἀθήνηθεν εἰς τὴν μεγαλόπολιν κα-

4. ἐξήνθει A. 8. μαντικὸν A, μαγικὸν PG. 9. Ἀλεξανδρέων CAG. 10. νεώτητα P. 11. λογιζομένην A, λογιζόμενοι PG. 12. ἐπερωτήκει P, ἐπηρωτήκει G, ἐπηρώτησε A. καὶ alterum om. AG. ἠστοχήκει A. 14. τὴν om. A. 16. αὐτοῦ CG. ἐπιδειξάμενος G. 18. καὶ μὴν A. 19. αὐτὸς A. 22. καταναᾶς A. καταλαβὼν : παρελθὼν A.

astrologiam animo esset. neque tamen propterea inopia tum temporis erat astrologorum; sed et Seth ille, cuius modo meminimus, eo tempore floruit, et Aegyptius ille Alexandrinus multus fuit in pandendis astrologiae mysteriis. qui etiam a multis interrogatus, accuratissime futura praedixit; interdum ne astrolabio quidem usus, ex calculorum quodam iactu vaticinabatur. erat autem ne ista quidem divinatio, sed ars quaedam Alexandrini. ad quem cum imperator iuventutem confluere cerneret et quasi prophetae honore eum habere, bis et ipse consuluit hominem, et toties recte Alexandrinus consulenti respondit. veritus tamen imperator, ne multis inde damnum existeret et ad hanc astrologiae vanitatem omnes inclinarent, Raedestum in exilium eum misit, ceterum diligenter prospexit, ut quae ad victum pertinerent, largiter ex aerario regio darentur. etiam Eleutherius, in dialectica versatissimus, patria itidem Aegyptius, istam artem tenebat et ad tantam in eo genere excellentiam

ταλαβὼν, τὰ πρωτεῖα τῶν πρὸ αὐτοῦ φιλονεικῶν φέρειν, ἐπερωτηθεὶς παρά τινων περὶ τοῦ αὐτοκράτορος, πότε τεθνήξοιτο, καὶ τὸν θάνατον αὐτοῦ προκαταγγείλας, ὡς ᾤετο, ἐψεύσθη τοῦ στοχασμοῦ. B συνέβη δὲ τηνικαῦτα τὸν θῆρα λέοντα ἐν τοῖς βασιλείοις διαιτώμενον ἐπὶ τέσσαρσιν ἡμέραις πυρέξαντα τὴν ψυχὴν ἐξερεύξασθαι· εἰς ὃ τοῖς πολλοῖς ἔδοξεν ἡ τοῦ Κατανάγκη πρόρρησις τελευτῆσαι. καιροῦ δὲ παρερρυηκότος ἱκανοῦ, αὖθις τὸν τοῦ αὐτοκράτορος θάνατον προὐμαντεύσατο καὶ διεψεύσθη· ἐτεθνήκει δ' ὅμως ἡ βασιλὶς Ἄννα καὶ μήτηρ αὐτοῦ κατὰ τὴν ἡμέραν ἐκείνην, ἣν ὁ Κατανάγκης προεῖπεν. ὁ δὲ βασιλεὺς, ἐπεὶ ποσάκις περὶ αὐ- C τοῦ προμαντευσάμενος, τοσαυτάκις διήμαρτε, τῆς πόλεως τοῦτον μεταστῆσαι οὐκ ἤθελεν αὐτέλεγκτον γενόμενον, ἅμα δὲ καὶ ἵνα μὴ δι' ἐμπάθειαν δόξῃ τοῦτον ἐκεῖθεν ἀπελαύνειν. ἀλλ' ἡμεῖς γε ἐντεῦθεν πάλιν ὅθεν ἐξεληλύθειμεν ἀναστρέψωμεν, ἵνα μὴ δοκοίημεν μετεωρολέσχοι τινὲς καὶ ἐξ ἀστρολογίας ὀνόμασι τὸ σῶμα τῆς ἱστορίας καταζοφοῦντες. ὁ δέ γε Ῥομπέρτος, ὡς λόγος ἐκράτει καί τινες ἔλεγον, ἡγεμὼν ἐξαίρετος γέγονεν, ἀγχίνους, εὐπρεπὴς τὴν ὄψιν, ἀστεῖος ἐν λό-

1. ἐρωτηθεὶς G. 2. τινος A. 4. τὸν λέοντα A. 5. ἡμέραις A, ἡμέρας PG. 7. καταναῖ A, Κατανάγγου PG, Κατανάγκη C. 9. προὐμαντεύετο A. ὁμῶς G. 11. καταναῖς A, κατανάγγης PG. correxi. ποσάκις A, πολλάκις PG. 13. ἀντελέγητον P, recte CAG. 14. καὶ om. A. ἐκεῖθεν om. A. 15. ἐντεῦθεν om. A. ἐξεληλύθημεν P, ἐξεληλύθωμεν G, ἐξεληλύθειμεν A. ἀναστρέψαμεν P. 16. μετεωρολέσχαι G. 17. καταιοφοῦντες P, recte CG.

pervenerat, ut nemini omnino palmam concederet. postea Catananges quidam nomine, Athenis Cpolin profectus, qui omnibus ante se genethliacis praestare studebat, cum interrogatus a quibusdam, quandonam imperator moriturus esset, obitum eius praedixisset, ut sibi videbatur, a vero aberravit. contigit autem, ut eo tempore leo, qui in palatio alebatur, postquam quatuor dies febre laboravit, animam efflaret: quo Catanangae vaticinium spectare plerisque visum est. tempore satis magno praeterito, iterum imperatoris mortem praedixit; nec minus falsus est. obiit tamen Anna augusta, illius mater, eo die, quem Catananges praedixerat. imperator autem, cum quoties ille de se vaticinaretur, toties falsus esset, urbe eum pellere noluit, quoniam semet ipse convincebat, simul ne ira eum hinc eiicere videretur. sed nos iam redeamus, unde profecti sumus, ne de coelestibus rebus nugari videamur et quaesitis ex astrologia nominibus historiae corpori caliginem offundere. Robertus igitur, ut fama erat et nonnulli dicebant, dux belli eximius fuit; sollers, decora facie, ur-

γοις, ὀξὺς μὲν εἰπεῖν, φωνὴ δ' αὐτοῦ μεγάλη, εὐπρόσιτος, D εὐμεγέθης τὸ σῶμα, σύμμετρον τὴν κόμην ἔχων ἀεὶ τῇ κεφαλῇ, βαθυπώγων, σπεύδων ἀεὶ τὰ ἔθη τοῦ οἰκείου γένους τηρεῖν, τὸ τοῦ προσώπου ἄνθος καὶ τοῦ ὅλου σώματος μέχρι τέλους σώζων, καὶ τούτοις ἐπιγαννύμενος, δι' ἅπερ ἄξιον τυραννίδος τὸ εἶδος αὐτοῦ ἐνομίζετο, πάντας τοὺς ὑπ' αὐτὸν τιμῆς ἀξιῶν καὶ πλείονος μᾶλλον τοὺς εὐνοϊκωτέρως πρὸς αὐτὸν διατιθεμένους. φειδωλότατος δὲ ἦν καὶ φιλοχρυσώτατος, P. 166 ἐμπορικώτατος καὶ φιλοκτεανώτατος, καὶ ἐπὶ τούτοις φιλοδοξότατος· ὑφ' ὧν πάντων ἡττώμενος, πολλὴν τὴν μέμψιν πάντων ἐπεσπάσατο. κακίζουσι δέ τινες τὸν αὐτοκράτορα ὡς μικροψυχήσαντα καὶ τὸν μετ' αὐτοῦ πόλεμον τότε προαρπάσαντα. εἰ μὴ γὰρ πρὸ τοῦ προσήκοντος καιροῦ τοῦτον ἀνεζήτησεν, ὥς φασιν, ἄλλως ἂν ῥαδίως κατίσχυσεν αὐτοῦ βαλλομένου ἁπανταχόθεν παρά τε τῶν καλουμένων Ἀρβανιτῶν παρά τε τῶν ἀπὸ Δαλματίας παρὰ τοῦ Βοδίνου πεμπομένων. ἀλλὰ τοιαῦτα μὲν οἱ μωμοσκόποι ἔξω βελῶν ἱστάμενοι καὶ κατὰ τῶν ἀγωνιζομένων πικροὺς οἰστοὺς διὰ γλώττης πέμποντες. B τὸ γὰρ τοῦ Ῥομπέρτου ἀνδρεῖον καὶ περὶ τὰ πολεμικὰ περιδέξιον καὶ τὸ τοῦ φρονήματος ἑδραῖον πάντες ἴσασι· καὶ γὰρ οὐ τῶν ῥαδίως, ἀλλὰ καὶ τῶν λίαν δυσκόλως καταγωνι-

2. εὐμεγεθέστατος CG, εὐμεγέθης FP. 3. ἀεὶ : lege ἀμφὶ. ἤθη G. 5. διόπερ G. 8. ante δὲ add. P τε, om. G. lege φιλοχρυσότατος. 11. ἐσπάσατο CG. 14. κατήσχυσεν P, recte G. 15. ὀρβανιτῶν G. 21. τῶν ῥ. G, τοῦ P.

banus in sermone, citata voce, sed plena eadem ac magna, aditu facillimo, procera corporis forma, capillo aequaliter circum caput promisso, barba longa, religiosus in servandis patriae moribus; faciei atque totius corporis decor ad finem usque idem, ipse iis corporis virtutibus gestiens, propter quas dignus imperio habebatur; omnibus quidem subditis honorem tribuens, praecipue autem, quorum propensam erga se voluntatem perspexerat. idem parcissimus erat et avarissimus ac quaestus faciendi congerendarumque opum quam maxime studiosus; ad haec etiam gloriae avidissimus. quibus cupiditatibus omnibus cum serviret, in magnam omnium reprehensionem incurrit. vituperant autem quidam imperatorem ut hominem exigui consilii, quod aggredi eum praefestinarit. nisi enim ante opportunum tempus adortus esset, facile aiunt superiorem eum discessurum fuisse, prementibus undique et Albanitis qui vocantur et Dalmatis a Bodino missis. at talia censores, qui extra teli iactum stant et in pugnantes acerbissima obtrectationum tela mittunt. nam Roberti virtutem et in rebus bellicis dexteritatem et animi constantiam omnes norunt. nec

ζομένων ἦν ὁ ἀνήρ, ἐν ταῖς ἥτταις μᾶλλον θαρραλεώτερος φαινόμενος.

8. Ὁ δὲ βασιλεὺς μετὰ τῶν αὐτομολησάντων πρὸς αὐτὸν τοῦ κόμητος Βρυεννίου Λατίνων, τροπαιοφόρος νικητὴς πρὸς τὴν μεγαλόπολιν ἐπαναζεύγνυσιν, ὡς ἄνωθεν εἴρηται, πρώτην ἄγοντος τοῦ Δεκεμβρίου μηνός, ἑβδόμης ἐπινεμήσεως, τὴν βασιλίδα κατὰ τὸ ἀφωρισμένον πάλαι ταῖς τικτούσαις τῶν V. 133 βασιλίδων οἴκημα ἐπὶ ταῖς ὠδῖσιν εὑρηκώς· πορφύραν δὲ C τοῦτο οἱ ἀνέκαθεν ὀνομάζουσιν, ἐξ οὗ καὶ τὸ τῶν πορφυρογεννήτων ὄνομα εἰς τὴν οἰκουμένην διέδραμεν. κατὰ δὲ τὸ περίορθρον (σάββατον δὲ ἦν) τίκτεται τούτοις παιδίον θῆλυ ἐμφερές, ὡς ἔλεγον, κατὰ πάντα τῷ πατρί· ἐγὼ δὲ ἦν ἄρα τοῦτο. καὶ ὥς γε τῆς βασιλίδος καὶ μητέρος ἔν τισι καιροῖς διηγουμένης ἤκουον, ὅτι πρὸ τρίτης ἡμέρας τῆς τοῦ βασιλέως εἰς τὰ ἀνάκτορα εἰσελεύσεως, (ἐπανῄει γὰρ ἤδη ἀπὸ τῆς τοῦ Ῥομπέρτου μάχης καὶ τῶν πολλῶν ἐκείνων πολέμων καὶ πόνων,) ταῖς ὠδῖσι συνεχομένη, σταυροῦ τύπον τῇ γαστρὶ ἐνσημήνασα ἔφη "μεῖνον ἔτι παιδίον τὴν τοῦ πατρὸς ἄφιξιν." πολλὰ δὲ αὐτήν, ὡς ἔλεγεν, ἡ πρωτοβεστιαρία καὶ μήτηρ D αὐτῆς καταμεμψαμένη ἔφη μετ' ὀργῆς "εἰ δὲ μετὰ μῆνα ἐλεύσεται, οἶδας; καὶ πῶς αὐτὴ τοσαύταις ὀδύναις ἐγκαρτε-

3. πρὸς αὐτὸν Λατίνων, καὶ τοῦ κόμητος Βρυεννίου, τροπαιοφόρος PAG, alterum FC. 5. πρὸς τὴν μεγαλόπολιν F et in margine P, εἰς τὴν βασιλεύουσαν PAG. ἐπανέζευξε A. 8. δὲ om. FA. 9. οἱ ἀνέκαθεν PG, οἱ om. A. 12. κατὰ om. G. δὲ ἄρα ἦν AG. 13. τὴν βασιλίδα καὶ μητέρα ἐ. τ. κ. διηγουμένην FA. 19. αὐτὴν om. A. 21. ὠδύναις PG, ὀδύναις CA. ἐγκαρτερήσεις AG.

facile, sed summa difficultate superandus erat, qui post acceptas clades etiam audacior exsurgeret.

8. Imperator una cum Latinis Bryennii comitis, qui in suas partes transierant, victor in urbem reversus, ut supra narratum est, calendis Decembribus indictionis septimae, imperatricem in ea aedium parte, quae olim augustarum puerperiis dicata est, parturientem invenit. eam autem porphyram veteres appellarunt, unde porphyrogenitorum nomen per universum orbem manavit. diluculum sabbati erat, cum ipsis nasceretur puella, prorsus, ut dicebant, patri similis. haec ego fui. ut imperatricem matrem meam narrantem quondam audivi, triduo ante imperatoris in palatium adventum, (iam enim revertebat ex bello cum Roberto gesto et multis istis pugnis sudoribusque,) cum illa partus dolores sentiret, cruce ventrem consignans, "mane, inquit, puer, et exspecta patris reditum." sed multum pro-

ρήσαις;" ἀλλὰ ταῦτα μὲν ἡ ἐκείνης μήτηρ· τὸ δέ γε τῆς βασιλίδος ἐπίταγμα πέρας εἰλήφει, ὅπερ κἂν τῇ γαστρὶ τὴν εἰς τὸ μέλλον πρὸς τοὺς γειναμένους εὔνοιαν ἀριδήλως ὑπεσημαίνετο. P. 167 καὶ γὰρ μετὰ ταῦτα εἰς ἡλικίαν ἐπιδεδωκυῖα καὶ ἀπολαβοῦσα τὸ φρονοῦν καθαρῶς, φιλομήτωρ κατὰ ταὐτὸν ἐγεγόνειν καὶ φιλοπάτωρ. καὶ μάρτυρες τοῦ τοιούτου ἤθους εἰσί μοι πολλοὶ μὲν τῶν ἀνθρώπων, ἤδη δὲ καὶ πάντες, ὁπόσοι τἀμὰ γινώσκουσι, προσεπιμαρτυρούντων αὐτοῖς καὶ τῶν πολλῶν μου ὑπὲρ τῶν γονέων ἄθλων καὶ καμάτων καὶ τῶν κινδύνων ἐκείνων, εἰς οὓς ἐμαυτὴν διὰ τὸ πρὸς ἐκείνους φίλτρον ἐνέβαλον, ἀφειδήσασα μὲν καὶ τιμῆς καὶ χρημάτων καὶ αὐτῆς τῆς ζωῆς· οὕτω γάρ με τὸ πρὸς αὐτοὺς φίλτρον ἐξέκαεν, ὡς καὶ αὐτὴν τὴν ψυχὴν δι' αὐτοὺς προέσθαι πολλάκις. B ἀλλὰ μήπω περὶ τούτων. ἀνατρεχέτω δ' αὖθις ὁ λόγος πρὸς τὰ ἐξ αὐτῆς μοι ξυμπεσόντα γενέσεως. πάντων γὰρ τῶν συνήθων ἐπὶ τοῖς νεογνοῖς τῶν βασιλέων παισὶ δαψιλέστερον τελεσθέντων, ὡς λέγεται, εὐφημιῶν δηλαδὴ καὶ δωρεῶν καὶ φιλοτιμημάτων παρεχομένων τοῖς λογάσι τῆς συγκλήτου καὶ τοῦ στρατοῦ, πλέον ἤπερ ποτὲ ἔχαιρον, ἐσκίρτων, ἐπαιάνιζον ἅπαντες, καὶ μᾶλλον οἱ τῇ βασιλίδι καθ' αἷμα προσήκοντες οὐκ εἶχον ὑφ' ἡδονῆς ὅ τι καὶ γένοιντο. μετρη-

2. ἐπίταγμα om. A. εἴληφεν A. κἂν : ἐν G. 7. ἤδη : fortasse ἔτι. 11. μὲν καὶ ζωῆς καὶ τιμῆς καὶ χρημάτων G. 17. τελεσθέντα C. 19. ἤπερ F, εἴπερ PG. 21. ὅ, τι CG, οἷ τι P.

tovestiaria, eius mater, obiurgavit, ut narrabat, filiam, et cum stomacho "at, inquit, scisne, num post mensem venturus sit? et quomodo par eris tantis sustinendis doloribus?" haec mater eius. sed quod imperatrix iusserat, factum est: qua re vel in utero obsequium erga parentes meum in posterum satis aperte significabatur. nam ubi adolevi et sapere incepi, matris perinde patrisque amantissima facta sum. cuius rei testes mihi sunt multi mortalium, praecipue omnes, qui res meas norunt, accedentibus in testimonium multis, quos parentum causa subii, laboribus sudoribusque et periculis illis, in quae propter illorum amorem me immisi, neque honori, nec pecuniae, nec ipsi vitae parcens: adeo parentum amor me inflammabat, ut etiam in vitae discrimen eorum causa saepe me inferrem. sed nondum de his agendi tempus est: redeat oratio ad ea, quae primo, postquam nata sum, tempore mihi acciderunt. omnibus enim, quae solennia sunt in natalitiis imperatoriae prolis, impensius praestitis, acclamationibus videlicet et donis muneribusque, senatus et exercitus principibus dari solitis, magis quam unquam gestiebant ovabantque

τῶν δέ τινων παρελθουσῶν ἡμερῶν, στέφους κἀμὲ ἀξιοῦσιν οἱ γονεῖς καὶ βασιλικοῦ διαδήματος. ἐπεὶ δέ, Κωνσταντίνου τοῦ υἱοῦ τοῦ προβεβασιλευκότος Μιχαὴλ τοῦ Δούκα, περὶ οὗ πολλάκις ὁ λόγος ἐμνήσθη, συμβασιλεύοντος ἔτι τῷ αὐτοκράτορι καὶ ἐμῷ πατρὶ κἀν ταῖς δωρεαῖς δι' ἐρυθρῶν συνυπο- C γράφοντος τούτῳ κἀν ταῖς προπομπαῖς μετὰ τιάρας αὐτῷ συνεφεπομένου κἀν ταῖς εὐφημίαις δευτέρου εὐφημουμένου, κἀγὼ εὐφημεῖσθαι ἔμελλον, Κωνσταντῖνον καὶ Ἄνναν ἐν ταὐτῷ ἐξεφώνουν ἐν τοῖς τῆς εὐφημίας καιροῖς οἱ τῆς εὐφημίας προεξάρχοντες. καὶ τοῦτο δὴ μέχρι καιρῶν ἱκανῶν ἐτελεῖτο, ὥς γέ μοι τῶν συγγενῶν καὶ ἐμῶν γεννητόρων ἐν ὑστέροις πολλάκις διηγουμένων ἀκήκοα. προμάντευμα δὲ ἴσως τοῦτο τῶν ἐμοὶ ξυμπεσόντων ἦν εἴτε εὐτυχημάτων, εἴτε τοὔμπαλιν δυστυχημάτων. ἐπεὶ δὲ τοῖς βασιλεῦσι καὶ δεύτερον D ἐτέχθη θῆλυ, ἀναφέρον μὲν κατὰ τὴν ὄψιν εἰς τοὺς προγό- V. 134 νους, ἐμφαῖνον δὲ ἅμα καὶ τὴν ἐσύστερον ἐπιλάμπουσαν αὐτῷ ἀρετήν τε καὶ φρόνησιν, ἐπεπόθουν καὶ ἄρρεν τεκεῖν καὶ δι' εὐχῆς αὐτοῖς τοῦτ' ἦν. ἐπινεμήσεως οὖν ἑνδεκάτης τρεχούσης, τίκτεται τούτοις καὶ ἄρρεν. εὐθὺς οὖν οἱ μὲν γονεῖς ἐγεγήθεσαν, καὶ πένθους οὐκέτι ἴχνος αὐτοῖς ἐπιλέλειπτο, τῆς

4. συμβουλεύοντος G. 6. συνεπομένου FA. 7. δευτέραν C. 8. Κωνσταντίνου καὶ Ἄννης C. 11. ὥσπερ CG. 13. τοὔμπαλιν om. AG. 15. εἰς uncis inclusit Hoeschel. vid. annotat. 16. δ' ἅμα A. 17. τεκεῖν : ἰδεῖν A. 18. τοῦτο αὐτοῖς ἦν A.

omnes, maxime qui sanguine imperatrici iuncti erant, qui prae laetitia quid agerent nesciebant. diebus non ita multis interiectis, corona etiam me et regio diademate parentes ornant. Constantinus autem, filius Michaelis Ducae, antea imperatoris, cuius saepe mentionem fecimus, cum regni etiam tum consortium obtineret, et una cum imperatore patre meo donationibus rubramento subscriberet, et in pompis solennibus tiara indutus incederet, postremo in acclamationibus secundo loco nominaretur, quoniam etiam mei in acclamationibus mentio facienda erat, Constantinum et Annam simul pronuntiabant, qui acclamationes praeibant; id quod satis longo tempore observatum esse, e consanguineis postea parentibusque meis saepe audivi. erat autem fortasse hoc augurium eorum, quae mihi eventura erant aut prospera aut adversa. sed cum etiam altera imperatoribus filia esset nata, vultu referens parentes, apparentibus simul virtutis atque prudentiae vestigiis, quae postea in ea eluxere, desiderium eos incessit etiam virilis stirpis procreandae, idque in votis erat. iam indictione undecima etiam puer ipsis natus est. ingenti de ea re gaudio parentes affecti sunt, neque tristitiae ullum vestigium

σφῶν ἐπιθυμίας εἰς ἔργον προαχθείσης. τὸ δὲ ὑπήκοον ἅπαν P. 168 ἐσκίρτων, τοὺς κρατοῦντας οὕτω χαίροντας ὁρῶν, συνέχαιρον ἀλλήλοις, ἐγεγήθεσαν. καὶ ἦν ἰδεῖν τὰ βασίλεια χαρμονῆς ἀνάπλεω, καὶ πένθος οὐδαμοῦ, οὐδὲ ἑτέρας οἱασδηποτοῦν ἐννοίας, τῶν μὲν ἐκ μέσης θαλάμης καρδίας χαιρόντων ὁπόσοι εὔνοι, τῶν δὲ συσχηματιζομένων χαίρειν. ἔστι μὲν γὰρ τὸ ὑπήκοον ὡς ἐπίπαν δύσνουν τοῖς κρατοῦσιν, σχηματιζόμενον δὲ τὰ πολλὰ καὶ διὰ κολακείας ἐπισπώμενον τοὺς ὑπερέχοντας. ὅμως δ' οὖν κοινὴν ἦν ἰδεῖν τότε τὴν χαρμονὴν συνηδομένων ἁπάντων. τὸ δὲ παιδίον μέλαν ἦν τὴν χροιάν, μέτωπον τούτῳ εὐρύ, παρειαὶ ὑπόξηροι, ῥὶς οὔτε σιμή, οὔτε B κάμπτουσα πρὸς τὸ γρυπόν, ἀλλὰ μέση πως ἀμφοῖν· ὀφθαλμοὶ μελάντεροι καὶ τὸ ὑποκαθήμενον ἦθος ὀξύ, ὅσον ἐκ βρεφυλλίου σώματος εἰκάσαι, ἐμφαίνοντες. ἐθέλοντες τοιγαροῦν τουτὶ τὸ παιδίον εἰς τὴν αὐτοκράτορος περιωπὴν ἀναβιβάσαι καὶ κλῆρον οἷον αὐτῷ τὴν βασιλείαν Ῥωμαίων καταλιπεῖν, εἰς τὴν τοῦ θεοῦ μεγάλην ἐκκλησίαν τοῦ θείου βαπτίσματος καὶ τοῦ στέφους αὐτὸ ἀξιοῦσιν. τοιαῦτα τοίνυν τὰ τοῖς πορφυρογεννήτοις ἡμῖν ἐξ αὐτῶν βαλβίδων τῆς ἡμῶν γενέσεως ξυμβάντα· τὰ δέ γε ἐσύστερον ξυμπεσόντα κατὰ τὸν προσήκοντα ῥηθήσεται τόπον.

1. προαχθήσης P. 2. οὕτω CF et in margine P, αὐτοῦ PG. 3. καὶ om. P, add. ACG. 11. οὔτε σιμή add. CAG. 13. ante ὀξύ add. καὶ PAG, om. C. ὅσον : οἷον G. βρεφυλίνου G. 19. γενέσεως C, γεννήσεως PG.

ipsis reliquum erat, quoniam optata eorum evaserant. populus autem omnis exsultabat, principesque tanto voluptate affectos cernens, eadem laetitia perfundebatur atque gestiebat. aulam gaudii plenam cerneres, nec usquam moeror aut alia ulla cogitatio erat, aliis ex intimo animo laetantibus, quotquot benevoli erant, aliis fingentibus laetitiam. nam sunt fere qui parent infesto in dominos animo, sed simulatione plerumque et assentando demereri student principes. nihilominus tamen communem tum cerneres laetitiam, similiter affectis omnibus. ceterum puerulus fusco erat colore, lata fronte, aridulis genis; nasus neque simus erat, neque aduncus, sed forma inter utrumque media, oculi nigri ingeniumque alacre, quantum ex infantis corpore coniicere licet, prodentes. hunc filiolum cum ad imperatoris dignitatem extollere eique velut hereditatem Romanorum imperium relinquere cuperent, in magna dei ecclesia eum sacro baptismate initiandum et coronandum curant. haec igitur porphyrogenitis nobis ab ipsis ortus primordiis contigerunt; quae postea acciderunt, suo quidque narrabuntur loco.

9. Ὁ μέντοι αὐτοκράτωρ Ἀλέξιος τῶν παραλίων τῆς Βιθυνίας καὶ αὐτῆς Βοσπόρου καὶ τῶν ἀνωτέρω χωρῶν τοὺς Τούρκους ἀπελάσας, μετὰ τοῦ Σολυμᾶ εἰς εἰρηνικὰς ἐξελη- C
λύθει σπονδάς, καθὼς ὁ λόγος ἀνωτέρω φθάσας ἐδήλωσε, καὶ οὕτω πρὸς τὸ Ἰλλυρικὸν τὰς ἡνίας στρέψας, τόν τε Ῥομπέρτον καὶ τὸν υἱὸν αὐτοῦ Βαϊμοῦντον πολλὰ μογήσας κατὰ κράτος ἥττησε, καὶ μεγίστης συμφορᾶς τὰ κατὰ τὴν ἑσπέραν ἐρρύσατο. κἀκεῖθεν ἐπανελθών, αὖθις τοὺς ὑπὸ τὸν Ἀπελχασὴμ Τούρκους οὐ τὴν ἕω ἁπλῶς κατατρέχοντας εὗρεν, ἀλλὰ μέχρις αὐτῆς Προποντίδος καὶ τῶν παραλίων ταύτῃ χωρίων κατεληλυθότας. ὅπως μὲν οὖν ὁ Ἀμὴρ Σολυμᾶς τῆς Νικαίας ἐξελθών, τουτονὶ τὸν Ἀπελχασὴμ φρουρὸν αὐτῇ καταλέλοιπεν, ὁ δὲ Πουζάνος παρὰ τοῦ Περσῶν σουλτᾶν πρὸς τὴν Ἀσίαν ἐξεπέμφθη καὶ παρὰ τοῦ ἀδελφοῦ τοῦ D
σουλτᾶν Τουτούσῃ ἡττηθεὶς ἀνῃρέθη, καὶ τὸν Τουτούσην μετὰ τὸ τὸν Πουζάνον ἡττῆσαι οἱ ἀνεψιαδεῖς αὐτοῦ ἀπέπνιξαν, ἀρκτέον ἤδη διηγεῖσθαι. ἀνήρ τις ἐξ Ἀρμενίας ὁρμώμενος Φιλάρετος τὴν ἐπωνυμίαν, περίβλεπτος ἐπ' ἀνδρείᾳ καὶ φρονήσει, εἰς τὴν τοῦ δομεστικάτου ἀξίαν παρὰ τοῦ προβεβασιλευκότος Ῥωμανοῦ τοῦ Διογένους ἀνενεχθείς, καὶ τὰ συμβάντα τῷ Διογένει θεασάμενος καὶ τὴν τῶν ὀμμάτων αὐτοῦ στέρησιν βεβαιωθείς, διαφερόντως τοῦτον ποθῶν, οὐκ P. 169

1. Ἀλέξιος om. A. 3. Σολυμὰν G. ἐξεληλύθει C, ἐληλύθει PG. 10. προποντίδος αὐτῆς A. 11. ταύτης AG. 16. τὸ om. G. 17. ἀρητέον P. 18. Φιλάρητος G. 21. ξυμβάντα G.

9. Imperator Alexius, Turcis ex Bithyniae et ipsius Bospori oris superioribusque regionibus pulsis, cum Solymano pacem fecerat, ut supra narravimus, tum versis in Illyricum habenis, Robertum filiumque eius Boëmundum multa perpessus plane devicerat et occidentem calamitate maxima liberaverat. inde reversus, rursus Turcas, qui Apelchasemo parebant, non Orientem modo invadentes invenit, sed ad ipsam usque Propontidem et maritimas circa regiones progressos. iam vero quomodo Amer Solymas Nicaea proficiscens hunc Apelchasemum praesidio urbis praefecerit, Puzanus autem, a Persarum sultano in Asiam missus, a sultani fratre Tutuse victus occisusque sit, Tutusen rursus post superatum Puzanum consobrini eius strangulaverint, narrare incipiam. vir ex Armenia oriundus, Philaretus nomine, fortitudine ac prudentia insignis, ad domesticatus dignitatem ab imperatore Romano Diogene evectus, cum quae acciderant Diogeni vidisset, et luce eum privatum esse certo comperisset, quoniam egregie eum diligebat, ferendum

ἔφερεν. ἀλλ' ἀποστασίαν μελετήσας, τὴν τῆς Ἀντιόχου ἐξου-
V. 135 σίαν ἑαυτῷ περιεποιήσατο. καθ' ἑκάστην δὲ τῶν Τούρκων ληϊζομένων τὰ πέριξ, ἐπεὶ μὴ ἄνεσις τούτῳ ἐδίδοτο, ἐσκέψατο προσελθεῖν τοῖς Τούρκοις καὶ περιτμηθῆναι, ὡς ἔθος αὐτοῖς. ὁ δὲ υἱὸς αὐτοῦ ἐνέκειτο σφόδρα τοῦτον τῆς παραλόγου ἀνακόπτων ὁρμῆς, ἀλλ' οὐκ εἰσηκούσθη τὰ λῷονα συμβουλεύων. περίλυπος τοίνυν γενόμενος, δι' ἡμερῶν ὀκτὼ καταλαμβάνει τὴν Νίκαιαν, καὶ προσελθὼν τῷ Ἀμὴρ Σολυμᾶ διε-
B γείρει τοῦτον εἰς πολιορκίαν τῆς Ἀντιοχείας, τὴν τοῦ σουλτανικίου τηνικαῦτα περιβεβλημένον ἀξίαν, καὶ πρὸς τὸν πόλεμον τὸν κατὰ τοῦ πατρὸς παροξύνει. πείθεται τούτοις ὁ Σολυμᾶς, ἐν δὲ τῷ πρὸς Ἀντιόχειαν μέλλειν ἀπέρχεσθαι τὸν Ἀπελχασὴμ κατέλιπε φύλακα τῆς Νικαίας ὑπερέχοντα πάντων τῶν ἡγεμόνων, ἡγεμόνα τοῦτον κατονομάσας. ἐκεῖνος δὲ συνεφεπόμενον ἔχων καὶ τὸν τοῦ Φιλαρέτου υἱόν, διὰ δώδεκα νυκτῶν (διὰ τὸ ἀνύποπτον τὰς γὰρ ἡμέρας ἠρέμει) καταλαμβάνει τὴν Ἀντιόχειαν, καὶ ἐξ ἐφόδου ταύτην κατέσχεν. ἐν τούτοις δὲ καὶ ὁ Χαρατικῆς λαθραίως συλᾷ τὴν Σινώπην,
C χρυσίον ἱκανὸν καὶ χρήματα τῶν βασιλικῶν ταμιείων κεῖθι ἐναποκείμενα μεμαθηκώς. ὁ δὲ Τουτούσης τοῦ μεγάλου σουλτᾶν ἀδελφός, τῶν Ἱεροσολύμων καὶ τῆς Μεσοποταμίας ἁπάσης

4. περισμηθῆναι P. 7. καταλαμβάνει P in margine, κατέλαβεν PG. 9. σουλτανικίου : σουλτὰν καὶ οὐ G. 11. παροτρύνει C, παρωτρύνει G. 12. τὸν μὲν G. 13. φύλακα om. G. 16. διὰ τὸ ἀνύποπτον (τὰς γὰρ ἡμέρας ἠρέμει) P, γὰρ om. G, add. F. lege γὰρ τάς. 18. Σιωπὴν PG, Σινώπην CF et in margine P. 19. χρήματα τῶν C, χρημάτων PG.

illud non existimavit. sed defectionem molitus, Antiochiae urbis imperium sibi comparavit. Turcis autem omnem circa regionem quotidie vexantibus, cum quiete frui omnino non liceret, transfugere ad Turcas et circumcidendum, ut mos ipsis est, praebere se in animo erat. filius eius magnopere institit ab insano consilio patrem revocare; sed auditus non est, meliora suadens. magno igitur moerore afflictus, octo diebus Nicaeam pervenit, Ameremque Solymam, sultanicii dignitatem eo tempore adeptum, adiit, ad Antiochiam obsidendam atque ad bellum patri inferendum concitans. obsequitur Solymas, et cum Antiochiam profecturus esset, Apelchasemo custodiam Nicaeae commisit, qui omnium ducum praestantissimus esset, ducis nomen eidem tribuens. ipse, Philareti filio comite, post duodecim noctium iter (nam ut improviso adveniret, diebus quiescebat,) Antiochiam pervenit urbemque statim cepit. eo tempore Charatices Sinopem clam occupavit, ubi auri vim satis magnam et regii aerarii pecunias depositas esse

καὶ τοῦ Χάλεπ καὶ μέχρις αὐτοῦ τοῦ Βαγδᾶ ἐξουσιάζων καὶ
τῆς Ἀντιοχείας ἀντιποιούμενος, ἐπεὶ τὸν Ἀμὴρ Σολυμᾶν ἀφη-
νιάζοντα ἔβλεπε καὶ τὴν τῆς Ἀντιοχείας ἀρχὴν ἑαυτῷ ἤδη
περιποιούμενον, σὺν ὅλαις δυνάμεσιν ἐν μεταιχμίῳ τοῦ Χάλεπ
καὶ τῆς Ἀντιοχείας καταλαμβάνει. συνηντηκότος δὲ αὐτῷ
τοῦ Ἀμὴρ Σολυμᾶ, πόλεμος εὐθὺς ἀναρρήγνυται μέγας, καὶ D
ἀγχεμάχου τῆς μάχης γεγονυίας, νῶτα οἱ τοῦ Σολυμᾶ ὑπο-
σχόντες προτροπάδην ἔφευγον. πολλὰ δὲ τούτους θαρσύνων
ὁ Σολυμᾶς, ἐπεὶ τῆς φυγῆς ἀποσχέσθαι οὐκ ἔπειθεν, ὑπὲρ
κεφαλῆς τὸν κίνδυνον ἐφιστάμενον ὁρῶν, παρεκκλίνας ἐν ἀκιν-
δύνῳ τάχα ἐδόκει καθεστάναι, καὶ κατὰ γῆς τὴν ἀσπίδα τε-
θεικώς, ἐπ' αὐτῇ προσουδίσας ἐκάθητο. ἀλλ' οὐ διέλαθε
τοὺς ὁμοφύλους. προσεληλυθότες γὰρ αὐτῷ τινὲς τῶν σατρα-
πῶν ἔλεγον τὸν θεῖον αὐτοῦ Τουτούσην μεταπέμπεσθαι αὐτόν.
ὁ δὲ ἀνένευεν ὑφορώμενος τὸν ἐξ αὐτοῦ κίνδυνον. ἐγκειμέ- P. 170
νων δὲ τῶν σατραπῶν, ἐπεὶ οὐ πρὸς ἰσχύος αὐτῷ ἀντικαθί-
στασθαι ἦν, οἷα μόνῳ ὄντι, τοῦ κουλεοῦ τὸ ξίφος σπασάμε-
νος, κατὰ τῶν ἰδίων ὦσε σπλάγχνων διαμπερὲς τὸ ξίφος ἐλά-
σας, καὶ κακὸς κακῶς ἀπώλετο. παραχρῆμα γοῦν οἱ σωθέν-
τες τῶν τοῦ Ἀμὴρ Σολυμᾶ δυνάμεων προσχωροῦσι τῷ Του-
τούσῃ. ὁ δὲ μέγας σουλτὰν ταῦτα μεμαθηκὼς καὶ δεδιὼς
τὸν Τουτούσην ἰσχυροποιούμενον ἤδη, ἀπέστειλε πρὸς τὸν

6. πόλεμος — Σολυμᾶ om. CG. 14. ἔλεγον om. G. post αὐτόν add. PG ἀνέπειθον, om. C. 17. κουλεοῦ FC, κολεοῦ PG.

didicerat. sed Tutuses, magni sultani frater, qui Hierosolymis et Mesopotamiae toti et Chalepo atque adeo ad Bagdam usque imperitabat et Antiochia potiri expetebat, ubi Amerem Solymam defecisse et Antiochiae imperium sibi iam comparasse cerneret, copiis omnibus profectus, Chalepum inter atque Antiochiam consedit. occurrente Amere Solyma, proelium statim exortum est magnum: in quo postquam ad manus ventum est, Solymae copiae terga dantes effuse fugiebant. magnopere cohortatus Solymas, cum e fuga revocare eos non posset, quantum sibi periculum impenderet, perspiciens, declinavit et ubi in tuto constitisse sibi visus est, clipeo humi apposito, subsedit. neque tamen latuit populares. accedentes enim ad eum satrapae nonnulli, a patruo ipsius Tutuse se missos dicebant, qui eum accirent; at ille renuit, periculum ex eo metuens. instantibus autem satrapis, ubi vi resistere non poterat, quippe qui solus esset, eductum e vagina gladium in sua intrusit viscera, transfossoque corpore malus male periit. statim igitur quae reliquae erant Ameris Solymae copiae, ad Tutusem transeunt. his magnus sultanus auditis, cum Tutusem potentiorem iam factum metueret, Siauso ad imperatorem mis-

αὐτοκράτορα τὸν Σιαούς, μηνύσας αὐτῷ περὶ κήδους καὶ ὑπο-
σχόμενος, ἐὰν τοῦτο γένηται, ἀναστεῖλαι μὲν τοὺς Τούρκους
τῶν τῆς παραλίας μερῶν καὶ παραδοῦναί οἱ τὰ κάστρα καὶ
ὁλοψύχως βοηθεῖν. τοῦτον θεασάμενος ὁ βασιλεὺς καὶ τὰς
B τοῦ σουλτᾶν γραφὰς ὑπαναγνούς, περὶ μὲν τοῦ κήδους οὐδένα
λόγον ἐπεποίητο, τὸν δὲ Σιαοὺς νουνεχῆ ἄνδρα θεασάμενος,
ἐπυνθάνετο, πόθεν τε ὥρμηται καὶ τίνες οἱ τούτου γονεῖς.
V. 136 τοῦ δὲ μητρόθεν μὲν ἐξ Ἰβήρων εἶναι λέγοντος, τὸν δὲ τούτου
πατέρα Τοῦρκον ἀνομολογοῦντος, πολλὴν ὁ αὐτοκράτωρ πρα-
γματείαν ἐπεποίητο, ὥστε τοῦ θείου βαπτίσματος τοῦτον τυ-
χεῖν. συνέθετο πρὸς τοῦτο ὁ Σιαοὺς καὶ πίστεις ἐδεδώκει
τῷ αὐτοκράτορι, ὥστε μὴ παλινοστῆσαι, τοῦ θείου φωτίσμα-
τος τυχών. καὶ ἐπεὶ ἐντεταλμένον ἦν αὐτῷ δι' ἐγγράφου
προστάξεως σουλτανικῆς, ἵν' εἴπερ ὁ βασιλεὺς πρὸς τὸ τελέ-
C σαι τὸ μετ' αὐτοῦ κῆδος προθυμηθείη, ἅπαντας τοὺς τῆς πα-
ραλίας πόλεις κατασχόντας σατράπας ἀπελάσαι ἐκεῖθεν, τὸ
περὶ τούτων διαλαμβάνον σουλτανικὸν γράμμα ὑποδεικνὺς
αὐτοῖς, ταύτῃ τῇ γραφῇ συγχρήσασθαι ὁ βασιλεὺς τῷ Σι-
αοὺς ὑπέθετο, καὶ ἐπὰν τούτους ἐκεῖθεν ἀπελάσειε, τὰς σουλ-
τανικὰς ὑποδεικνύων γραφάς, αὖθις πρὸς τὴν βασιλεύουσαν
ἐπαναστρέψαι. ὁ δὲ μάλα προθύμως τὴν Σινώπην πρότερον
καταλαβὼν καὶ τὰς σουλτανικὰς ἐπιστολὰς ὑποδείξας τῷ Χα-

1. Σιαοὺς F et in margine P, Οὐσίαν PG hic et infra, Οὐσιᾶς C. 4. τοῦτο G. 11. ἐδεδόκει P. 12. φωτίσματος F, βαπτίσματος PG. 16. κατασχόντας F, παρασχόντας PG.

so, affinitatem eius ambit, pollicens, si voti compos fieret, abducturum se Turcas ex cunctis orae maritimae regionibus et castella ibi sita traditurum omnique studio auxiliaturum esse. quem ubi conspexit imperator et sultani litteras legit, affinitatis quidem nullam habuit rationem; ceterum Siausum, prudentia eius perspecta, interrogavit, cuias esset et quibus parentibus ortus. eo respondente, matrem sibi ex Iberis fuisse, patrem tamen Turcam, imperator omnem curam adhibuit, ut sacro is baptismo se initiandum praeberet. annuit Siaus fidemque imperatori dedit, se domum non rediturum, ubi divini particeps baptismatis factus foret; cumque ipsi mandatum esset scriptis a sultano litteris, ut si imperator ad affinitatem iungendam paratus esset, omnes qui urbes maritimas tenerent satrapas inde pelleret, exhibitis sultani litteris, quibus id praescriptum esset, imperator persuasit Siauso, isto diplomate uteretur et, expulsis hoc modo satrapis, in urbem rediret. itaque libentissime Sinopem primum profectus, Charaticem, sultani litteris ostensis, inde eiecit, ne uno qui-

ρατικῇ, ἐκεῖθεν αὐτὸν ἀπήλασεν, μηδ' ἄχρις ἑνὸς ὀβολοῦ τῶν βασιλικῶν ὑποκρατήσαντα χρημάτων. γίνεται δέ τι τοιοῦτον. ἐν τῷ τῆς Σινώπης ἐξέρχεσθαι αὐτὸν κατεάξας τὸ ἐπ' ὀνόματι τῆς ὑπεραμώμου δεσποίνης ἡμῶν θεοτόκου τέμενος, D δαίμονί τινι καθάπερ ἀλάστορι ἐκ θείας προνοίας παραδοθείς, ἔκειτο ἀφρίζων· καὶ οὕτως ἐκεῖθεν δαιμονιῶν ἐξεληλύθει. καὶ τὴν μέντοι κυρίαν τῆς Σινώπης ὁ Σιαοὺς Κωνσταντίνῳ τῷ Δαλασσηνῷ ἀνέθετο, ἐπ' αὐτῷ παρὰ τοῦ βασιλέως ἀποσταλέντι, κᾆθ' οὕτω τὰς ἄλλας πόλεις περιιὼν καὶ τὰς σουλτανικὰς τοῖς σατράπαις ὑποδεικνύων γραφάς, ἐκεῖθεν ἐξήλαυνε, παραδιδοὺς πρὸς τοὺς τοῦ αὐτοκράτορος σατράπας. ταῦτα οὖν ὁ Σιαοὺς διαπραξάμενος, ὑποστρέφει πρὸς αὐτόν, κἀντεῦθεν τοῦ θείου βαπτίσματος τετυχηκὼς P. 171 καὶ πολλῶν δωρεῶν ἐπαπολαύσας δοὺξ Ἀγχιάλου προχειρίζεται.

10. *Τῆς σφαγῆς δὲ τοῦ Ἀμὴρ Σολυμᾶ κατὰ τὴν Ἀσίαν ἅπασαν διαδραμούσης, ὁπόσοι τῶν σατραπῶν πόλεις καὶ πολίχνια ἔτυχον φυλάσσοντες, ἕκαστος ὅπερ ἔτυχε φυλάσσων κάστρον κατέσχε καὶ ἰδιοποιήσατο. καὶ γὰρ ὁπηνίκα πρὸς τὸν Ἀπελχασὴμ τὴν Νίκαιαν παρεδίδου φρουρεῖν ἐν τῷ πρὸς τὴν Ἀντιόχειαν αὐτὸν ἀπιέναι, διαφόροις σατράπαις τά τε κατὰ τὴν παραλίαν καὶ τὴν Καππαδοκίαν καὶ τὴν ἅπασαν Ἀσίαν, ὡς εἴρηται, ἀνέθετο, ὥστε ἕκαστον τὸ ἴδιον λάχος*

1. ὀβολοῦ add. C. 2. lege ἐπικρατήσαντα. 8. Δαμασσηνῷ G. αὐτῷ C, αὐτὸ PG. 11. τοὺς τοῦ om. G. 12. ὑποστρέφει C, ὑποστρέφῃ PG.

dem obolo ex regia pecunia potitum. accidit enim tale quippiam. Sinope egrediens, cum immaculatae dominae nostrae deiparae templum violasset, daemoni velut ultori per divinam providentiam traditus, iacebat spumam agens; atque ita furore agitatus, urbe exiit. praefecturam autem Sinopes Constantino Dalasseno Siaus tradidit, qui ab imperatore ad id ipsum missus erat. dein reliquas urbes circuiens, sultani scripto satrapis monstrato, eos eiecit imperatorisque satrapis urbes commisit. haec postquam Siaus perfecit, ad imperatorem reversus, sacrum baptismum accepit, multisque muneribus ornatus, etiam Anchiali dux creatus est.

10. Caede Ameris Solymae per totam Asiam vulgata, quicunque satraparum urbibus et oppidis praefecti erant, suam quisque arcem detinebant sibique vindicabant. etenim cum Apelchasemo, Antiochiam profecturus, Nicaeae custodiam committeret, compluribus satrapis oram maritimam et Cappadociam omnemque Asiam, ut narravimus, tradidit, ut quem quisque locum sortitus esset, eum tueretur, quoad ipse inde rediret. Apelchasem, archisatrapa tum temporis Nicaeae,

B φρουρεῖν, τὴν αὐτοῦ ἐκεῖθεν ἐπανέλευσιν ἀπεκδεχόμενον. ὁ δὲ Ἀπελχασὴμ ἀρχισατράπης τῷ τότε τῆς Νικαίας ὢν, ταύτην κατασχὼν, ἐν ᾗ καὶ τὸ σουλτανίκιον ἦν, καὶ τῷ ἰδίῳ ἀδελφῷ Πουλχάσῃ τῶν κατὰ τὴν Καππαδοκίαν παραχωρήσας, ἐν ἀμεριμνίᾳ τε ἦν, τὴν τοῦ σουλτανικίου ἀξίαν περιζώσασθαι οἰόμενος καὶ ἤδη ἐν χερσὶ νομίζων κατέχειν, (δεινὸς γὰρ ἦν ὁ ἀνὴρ καὶ φιλοκίνδυνος,) καὶ ἀρκεῖσθαι τοῖς ἐνοῦσιν οὐκ ἤθελεν, ἀλλὰ προνομεῖς ἀποστέλλων, τὴν Βιθυνῶν ἐληΐζετο ἅπασαν καὶ μέχρις αὐτῆς Προποντίδος. τῇ γοῦν προτέρᾳ μεθόδῳ χρησάμενος ὁ αὐτοκράτωρ, τοὺς μὲν προνομεῖς ἀνέστελλε, τὸν δὲ Ἀπελχασὴμ πρὸς εἰρηνικὰς σπονδὰς
C συνήλαυνε. βυσσοδομεύοντα δὲ τοῦτον διαγινώσκων ἀεὶ κατ' αὐτοῦ καὶ τὰς σπονδὰς ἀναβαλλόμενον, δεῖν ἐλογίσατο κατ' αὐτοῦ ἀξιόμαχον ἐκπέμψαι παράταξιν. τὸν Τατίκιον δέ, περὶ
V. 137 οὗ ἐν πολλοῖς ὁ λόγος ἐμέμνητο, μετὰ δυνάμεως ἀποχρώσης πέπομφε κατὰ τῆς Νικαίας, ἐντειλάμενος αὐτῷ μετὰ νουνεχείας τοῖς ἐχθροῖς ἀντικαταστῆναι, εἴ γε τέως ἐντυχεῖν ἔξωθέν τισι γένοιτο. ἀπελθόντος δὲ τοῦ Τατικίου καὶ ἀγχοῦ τῶν τειχῶν σχῆμα παρατάξεως διατυπώσαντος διὰ τὸ μηδένα τῶν Τούρκων τηνικαῦτα παρεῖναι, ἀναπετάσαντες οἱ Τοῦρκοι εἰς
D διακοσίους ποσούμενοι ἀθρόως κατ' αὐτοῦ ἐξιππάσαντο. οἱ δὲ Κελτοὶ (ἦσαν γὰρ ἱκανοὶ) τούτους θεασάμενοι, κατὰ πρόσ-

2. ταύτην om. G. 5. τε : τέως C. ἐξουσίαν C. 8. ἀλλὰ προνομεῖς C, ἀλλ' εἰς προνομὰς PG. Βιθυνίαν G. 14. παράταξιν : στράτευμα P in margine. 17. εἴγε τέως ἔξωθέν τισι ἐντύχοιεν C et in margine P. 20. post ἀναπετάσαντες exidisse videtur τὰς πύλας.

cum hanc urbem obtineret, ubi etiam sultanicium erat, et fratri suo Pulchasae Cappadociam concessisset, securus erat, sultanicii dignitatem assecuturum se sperans atque in manibus iam tenere ratus: alacer enim erat atque ad pericula promptus: neque se finibus rerum suarum continebat, sed missis, qui praedam agerent, Bithyniam universam depopulabatur usque ad ipsam Propontidem. iisdem igitur, quam antea, artibus imperator usus, et praedatores repressit, et Apelchasemum ad pacem ineundam adegit. sed cum clandestina adversus se consilia eum semper agitare intelligeret et foedus procrastinare, validum contra eum exercitum mittendum censuit. itaque Taticium, cuius saepe narratio mentionem fecit, cum copiarum vi idonea Nicaeam misit praecepitque, ut caute atque prudenter hostes aggrederetur, si quando contingeret, ut extra urbem aliquibus occurreret. Taticius, cum eo advenisset et aciem muris, nemine Turcarum tum obstante, admovisset, Turcae, numero ad ducentos, portis erumpunt et agmine in eum invehuntur. quos conspicati Galli,

ωπον σφοδρᾷ τῇ ῥύμῃ δόρατα μακρὰ ἐναγκαλισάμενοι κατ' αὐτῶν ἵενται, καὶ ἱκανοὺς τρώσαντες εἴσω τοῦ κάστρου τοὺς λοιποὺς συνήλασαν. ὁ δέ γε Τατίκιος ἵστατο αὖθις ἐπὶ ταὐτοῦ σχήματος τῆς παρατάξεως μέχρις ἡλίου δυσμῶν. ἐπεὶ δὲ μηδεὶς ἔξω πυλῶν τῶν Τούρκων ἑωρᾶτο, ἀναποδίσας κατὰ τὴν Βασίλειαν τὸν χάρακα ἐπήξατο, δύο πρὸς τοῖς δέκα σταδίους τῆς Νικαίας ἀπέχουσαν. νυκτὸς δέ τις προσεληλυθὼς αὐτῷ ἀγρότης τὸν Προσοὺχ διενίστατο μετὰ πεντήκοντα χιλιάδων ἐπικαταλαμβάνειν παρὰ τοῦ νεωστὶ γεγονότος σουλ- P. 172 τᾶν τοῦ Παργιαροὺχ ἀποσταλέντα. ταῦτα ὁ Τατίκιος καὶ δι' ἑτέρων βεβαιωθείς, ἐπεὶ πρὸς τοσαῦτα πλήθη δυνάμεις τὰς ἀντικαθισταμένας οὐκ εἶχεν, ἀναλύων τὰ δόξαντα πρότερον, ἀγαπητὸν ἐλογίζετο, εἰ τὸ ὁπλιτικὸν ἅπαν σῶον διατηρήσειεν, καὶ μὴ πολλοστὸς πρὸς ὑπερπληθεῖς καὶ ἰσχυρωτέρους μαχόμενος τὸ πᾶν ἀπολέσειεν. ἔνθεν τοι καὶ τὴν βασιλεύουσαν κατὰ νοῦν εἶχε καὶ πρὸς ταύτην ἑώρα, διὰ τῆς Νικομήδους βουλόμενος ἐπαναστρέψαι. ὁ δὲ Ἀπελχασὴμ ἄνωθεν τοῦ τείχους θεασάμενος αὐτὸν πρὸς τὴν Κωνσταντινούπολιν ἀπονενευκότα καὶ ἤδη καὶ πορευόμενον, ἐξεληλυθὼς παρείπετο, ἵνα ἐπὰν ἐν ἐπικαίρῳ τόπῳ τοῦτον στρατοπεδεύ- B σαντα θεάσηται, προσβαλῇ. καταλαμβάνοντα δὲ τοῦτον τὴν Πρένετον ἐφθακώς, ξυμμίγνυσί τε αὐτῷ καὶ ἐκθύμως τὴν

3. γε om. G. 10. Παργιαροὺχ C et in margine P, Παραγιαροὺχ PG. 12. τὰς add. C. 13. ὁπλητικὸν G. 14. ἰσχυρότερα G, ἰσχυρώτερα C. lege ἰσχυροτέρους. 16. ante διὰ add. G καί. 19. καὶ alterum om. G.

(erant enim sat multi,) recta in eos vehementi impetu, longis armati hastis, feruntur, multisque vulneratis, reliquos in arcem repellunt. quo facto, Taticius eodem rursus ordine stetit usque ad solis occasum; cumque nemo Turcarum extra portas conspiceretur, regressus ad Basileam castra posuit, quae duodecim stadia ab Nicaea abest. nocte autem rusticus eum adiit, qui Prosuchum cum quinquaginta millium exercitu appropinquare affirmavit, ab eo qui nuper factus esset sultano Pargiarucho missum. de quibus cum Taticius etiam ab aliis certior factus esset, quoniam tantae hominum multitudini copias suas impares erant, abiecto priori consilio, satius existimavit, exercitum totum incolumem servare, nec copiis multesimis adversus longe plures validioresque pugnantem, summam rei perdere. itaque ad urbem regiam animo converso, per Nicomediam revertere statuit. sed Apelchasem cum de muro eum Cpolin versus iter iam ingredientem cerneret, eductis copiis secutus est, ut si suo eum loco castra metatum conspiceret, aggrederetur. Preneti assequitur Taticium, pu-

μάχην ἀναρρήγνυσιν. ὁ δὲ Τατίκιος θᾶττον τὰς δυνάμεις εἰς πολέμου τύπον καταστησάμενος, τοῖς Κελτοῖς τὴν πρώτην κατὰ τῶν βαρβάρων ἱππασίαν καὶ τὴν τοῦ πολέμου συμβολὴν ἐπέτρεψεν. οἱ δὲ δόρατα μακρὰ ἐναγκαλισάμενοι, χαλάσαντες ὅλας ἡνίας, ὡς πῦρ κατὰ βαρβάρων ἵενται, καὶ διακόψαντες τὰς φάλαγγας τρέπουσι κατὰ κράτος. καθ' οὕτω πρὸς C τὴν βασιλεύουσαν διὰ τῆς Βιθυνῶν ὁ Τατίκιος ἐπανέρχεται. ὁ μέντοι Ἀπελχασὴμ οὐδαμῶς ἠρεμεῖν ἤθελεν. ἐπιθυμητικῶς γὰρ εἶχε τὰ σκῆπτρα τῆς Ῥωμαίων ἀναδήσασθαι ἀρχῆς· εἰ δὲ μὴ τοῦτο, ἀλλά γε τῶν περὶ τὴν θάλατταν πάντων καὶ αὐτῶν δὴ τῶν νήσων τὴν ἐξουσίαν ἐσχηκέναι. τοιαῦτα οὖν λογιζόμενος, πρότερον μὲν ληστρικὰς νῆας κατασκευάζειν διενοεῖτο, τὴν Κίον καταλαβών· πόλις δὲ αὕτη Βιθυνῶν παρὰ θάλατταν διακειμένη· καὶ προέβαινεν, ὡς ᾤετο, κατὰ σκοπὸν αὐτῷ, ἀπαρτιζομένων τῶν νηῶν. οὐδὲ τοῦτο τὸν αὐτοκράτορα διέλαθεν. καὶ παραχρῆμα τὰς παρατυχούσας διήρεις τε D καὶ τριήρεις καὶ τὰ λοιπὰ τῶν ναυτικῶν ἐξοπλίσας, Μανουὴλ τὸν Βουτουμίτην δοῦκα προβαλλόμενος, κατὰ τοῦ Ἀπελχασὴμ ἀπέστειλεν, ἐπισκήψας σπεῦσαι τὰς ἡμιτελεῖς τοῦ Ἀπελχασὴμ νῆας ἐμπρῆσαι, ἐν ὁποίᾳ καταστάσει ταύτας εὑρήσει. ἀλλὰ καὶ τὸν Τατίκιον μετὰ ἀποχρώσης δυνάμεως ἠπειρόθεν κατ' αὐ-
V. 138 τοῦ ἐκπέμπει. ἀμφοτέρων οὖν τῆς πόλεως ἐξεληλυθότων, ἐπεὶ τὸν Βουτουμίτην ὁ Ἀπελχασὴμ διαπόντιον μετὰ σφοδρᾶς τῆς

7. τῆς C, τῶν PG. 11. ἐσχηκέναι τὴν ἐξουσίαν G. 14. lege τὰ κατὰ σκοπὸν ut supra 270, 4. 23. Βουτουμήτην P, alterum CG.

gnamque fortiter committit. at Taticius, exercitu celeriter in aciem constituto, Gallos primum in barbaros impetum atque impressionem facere iussit; qui hastis correptis longis, effusissimis habenis, velut ignis barbaros invadunt et, disiecta eorum acie, in fugam effusam vertunt. sicque in urbem regiam per Bithyniam Taticius reversus est. verum Apelchasem quiescere omnino noluit. appetebat enim imperii Romani sceptra, sin minus, totam certe oram maritimam ipsasque adeo insulas. talia igitur affectans, primum piraticas naves exstruere decrevit, occupata Cio, quae urbs Bithynorum est maritima; consiliumque bene ipsi procedere videbatur, cum naves iam exstruerentur. neque id imperatorem latebat; qui armatis statim, quas ad manum habuit biremes et triremes ceteraque navigia, Manuelem Butumitem classi praepositum contra Apelchasemum misit mandavitque, ut festinaret semiperfectas Apelchasemi naves incendere, quocunque in statu eas reperiret. etiam Taticium terra cum copiarum vi satis magna adversus eum misit. utroque urbe egresso, ubi Butumitem mari magna celeritate iam adventantem Apelchasem conspexit hostesque

ῥύμης ἤδη καταλαμβάνοντα ἐθεάσατο, ἐμεμαθήκει δὲ καὶ τῶν
ἐξ ἠπείρου ἐπικαταλαμβανόντων, καὶ τὸν τόπον, ἐν ᾧ ἔτυχε,
μὴ συμβαλλόμενον αὐτῷ λογίζεται διὰ τὸ τραχὺ καὶ στενὸν P. 173
καὶ τοῖς τοξόταις πάντη ἀκατάλληλον, ὡς μὴ ἀποχρῶντα
τούτοις πρὸς τὰς κατὰ τῶν Ῥωμαίων ἱππασίας, ἀπάρας ἐκεῖθεν εἰς ἐπίκαιρον τόπον ἐβουλεύσατο τὰς δυνάμεις καταθεῖναι. καταλαμβάνει τοίνυν τόπον, παρὰ μὲν τῶν Ἁλυκὰς ὀνομαζόμενον, παρὰ δὲ τῶν Κυπαρίσσιον. ἐφθακὼς δὲ ὁ Βουτουμίτης διαπόντιος, θᾶττον ἢ λόγος τὰς τοῦ Ἀπελχασὴμ νῆας ἐνέπρησεν. τῇ δὲ μετ' αὐτὴν ἐξ ἠπείρου ἐληλυθὼς καὶ ὁ Τατίκιος, ἐν ἐπικαίροις τὸ στράτευμα κατέθετο τόποις καὶ ἀπὸ πρωΐας μέχρι ἑσπέρας οὐκ ἐνεδίδου πὴ μὲν ἀκροβολιζόμενος, πὴ δὲ μάχας συνάπτων μετὰ τοῦ Ἀπελχασὴμ ἐπὶ B
ὅλαις πεντεκαίδεκα ἡμέραις. τοῦ δὲ Ἀπελχασὴμ μηδ' ὅλως ἐνδιδόντος, ἀλλ' ἰσχυρῶς ἀντικαθισταμένου, ἐκκακήσαντες οἱ Λατῖνοι, κἂν μὴ τὴν ἐκ τοῦ τόπου εἶχον βοήθειαν, ὤχλουν ὅμως τὸν Τατίκιον, ἵν' οὗτοι καὶ μόνοι τὴν μετὰ τῶν Τούρκων ἀναδέξωνται μάχην. ὁ δέ, κἂν μὴ κατὰ γνώμην τὸ πρᾶγμα ἐδόκει αὐτῷ, ἀλλὰ καθ' ἑκάστην ὁρῶν δυνάμεις Τουρκικὰς προσχωρούσας τῷ Ἀπελχασήμ, ὑπεῖξε τῇ βουλῇ τῶν Λατίνων. καὶ περὶ ἀνατολὰς ἡλίου τὰς φάλαγγας καταστήσας, τὸν μετὰ τοῦ Ἀπελχασὴμ συνῆψε πόλεμον. πολλοὶ

2. καταλαμβανόντων PG. 3. λογίζοιτο C. 7. τοίνυν : τοῦτον G. 10. τῇ FP, τὴν CG. μετ' CG, κατ' P. 13. μετὰ FC, κατὰ PG. ἐπὶ G, ἐπ' P. 20. προσχωρούσας τῷ Ἀπελχασὴμ Τουρκικὰς G. 22. μετὰ CG, κατὰ P. συνῆψε F, ἀνῆψε PG.

etiam terra appropinquare comperit, cum locum, in quo erat, iniquum duceret, quod is asper, angustus sagittariisque nequaquam commodus ad arcendum Romanorum equitatum esset: castris motis, copias loco idoneo collocare statuit. itaque locum petiit, ab aliis Halycas, ab aliis Cyparissium dictum. at Butumites mari advectus, celerius quam dici potest naves Apelchasemi combussit; postridie terra etiam Taticius advenit, et exercitu idoneo loco disposito, a prima luce ad vesperam non intermisit modo velitari, modo cominus cum Apelchasemo pugnam conserere, per totos quindecim dies. Apelchasemo autem nequaquam cedente, sed fortiter resistente, Latini morae pertaesi, quamvis loci opportunitate parum adiuvarentur, tamen vel solis sibi ut cum Turcis congredi liceret, instabant. quae res etsi Taticio non satis probanda videbatur, tamen quoniam quotidie copias Turcicas Apelchasemo accedere videbat, Latinis obsecutus, acie sub ortum solis instructa, pugnam cum Apelchasemo capessivit. multi

C μὲν τῶν Τούρκων τηνικαῦτα κτείνονται, πλεῖστοι δὲ καὶ ἁλίσκονται, οἱ δὲ πλείους τὰ νῶτα διδόασι, μηδὲ τῶν οἰκείων σκευῶν φροντίδα ποιησάμενοι. καὶ αὐτὸς ὁ Ἀπελχασὴμ κατευθὺ Νικαίας ἐλάσας μόλις διασώζεται. λείαν οὖν πολλὴν ἐντεῦθεν ἀναλαβόμενοι οἱ ὑπὸ τὸν Τατίκιον, πρὸς τὴν οἰκείαν παλινοστοῦσι παρεμβολήν. ταῦτα μεμαθηκὼς ὁ αὐτοκράτωρ, ὁποῖος ἐκεῖνος δεινὸς θηρᾶσαι ψυχὴν ἀνθρώπου καὶ λιθίνην μαλάξαι φύσιν, γραφὴν τηνικαῦτα ἐκτίθεται πρὸς τὸν Ἀπελχασήμ, συμβουλεύων ἀποσχέσθαι μὲν τῶν τοιούτων κενῶν ἐπιχειρημάτων καὶ μὴ εἰς ἀέρα παίειν, ἀλλὰ προσεληλυθέναι
D τε αὐτῷ καὶ πολλῶν καμάτων ἑαυτὸν ἀπαλλάξαι, δωρημάτων τε δαψιλῶν ἐπαπολαῦσαι καὶ τιμῆς. ὁ δὲ Ἀπελχασήμ, ἐπεὶ καὶ τὸν Προσοὺχ ἐμάνθανε πολιορκοῦντα τὰ κατεχόμενα ὑπό τινων σατραπῶν κάστρα, ἤδη δὲ καὶ τῇ Νικαίᾳ προσπελάζειν ἐφ' ᾧ πολιορκῆσαι ταύτην, τὴν ἀνάγκην φιλοτιμίαν, ὅ φασι, ποιησάμενος, ἅμα δὲ καὶ τῆς τοῦ βασιλέως γνώμης καταστοχασάμενος καὶ τεθαρρηκώς, τὴν μετ' αὐτοῦ εἰρήνην ασπάζεται. τῶν δὲ ἀναμεταξὺ εἰρηνικῶν σπονδῶν τελεσθει-
P. 174 σῶν, μελετήσας καὶ ἕτερόν τι συνοῖσον ὁ αὐτοκράτωρ, ἐπεὶ οὐκ ἐνῆν ἄλλως ἀνυσθῆναι τὸ σκοπούμενον, μετακαλεῖται τοῦτον εἰς τὴν βασιλεύουσαν, ἐφ' ᾧ καὶ χρήματα λαβεῖν καὶ τρυφῆς ἅλις ἐπαπολαῦσαι καὶ οὕτως οἴκαδε ἐπαναστρέψαι.

1. πλεῖστοι: lege πολλοί. 2. μηδὲ: μετὰ G. 4. μόγις G. 7. δεινὸς add. CG et in margine P. 10. ἐς G. 16. καὶ om. G. 18. ἀσπάσασθαι G. 19. post ἐπεὶ add. PG καί, om. C. 22. ἅλις τρυφῆς G.

τε σημαίας καὶ τὸ λαμπρὸν τῶν ἀμφίων καὶ τὴν ἐκεῖθεν ἀποπαλλομένην αἴγλην πρὸς τὴν ἀστρῴαν βολὴν ἀντιστίλβουσαν. D μόνοι δὲ ἁπάντων οἱ τολμητίαι Λατῖνοι καὶ θρασεῖς τὴν μάχην προαρπάζειν ἤθελον, θήγοντες ὀδόντας ὁμοῦ καὶ σιδήρια. ἀνέστελλε δὲ αὐτοὺς ὁ Τατίκιος. ἀνὴρ γὰρ οὗτος εὐσταθὴς καὶ τοῦ μέλλοντος ῥᾷστα καταστοχάσασθαι δυνατός. ἱσταμένων οὖν ἀμφοτέρων τῶν στρατευμάτων καὶ οἷον ἑτέρου τὴν ἐξ ἑτέρου κίνησιν ἀπεκδεχομένου, καὶ μηδ' οὑτινοσοῦν τῶν στρατιωτῶν κατὰ τὸ μεσαίχμιον ἐξ οὐδετέρου τῶν στρατευμάτων ἱππάσασθαι κατατολμῶντος, ἐπεὶ ἐν δυσμαῖς ἤδη ὁ ἥλιος, ἕκαστος τῶν στρατηγῶν ἐπὶ τὴν ἰδίαν παρεμβολὴν ἐπάνεισι. τοῦτο ἐπὶ δυσὶν ἡμέραις ἐγένετο. καὶ πρὸς μάχην P. 185 εὐτρεπιζομένων τῶν δημαγωγῶν καὶ πολέμου σχῆμα καθ' ἑκάστην διατυπούντων, ἐπεὶ μηδεὶς τὴν πρὸς ἕτερον ἀπεθάρρησε μάχην, κατὰ τὸ τῆς τρίτης περίορθρον ἀναχωροῦσιν οἱ Σκύθαι. αἰσθόμενος δὲ ὁ Τατίκιος τούτου, παραχρῆμα κατόπιν αὐτῶν ἤλαυνεν. ἀλλὰ πεζός, φασιν, παρὰ Λύδιον ἅρμα. προφθάσαντες γὰρ οἱ Σκύθαι διῆλθον τὴν Σιδηράν· B τέμπη δ' οὕτως εἰσὶ κατονομαζόμενα· κἀκεῖσε δὲ τούτους μὴ καταλαβών, ἀναλαβόμενος τὰς ὅλας δυνάμεις πρὸς Ἀδριανούπολιν ἐπαναζεύγνυσι. καὶ τοὺς μὲν Κελτοὺς αὐτοῦ που

2. ἀποστίλβουσαν A. 3. μόνοι ἁπάντων δὲ P, altero ordine AG. 5. δ' A. 7. τῶν στρατευμάτων om. CG. 8. ἐξ om. G. μηδ' οὑτινοσοῦν A et in margine P, μηδέ τινος οὖν PG. 11. ἥλιος ἦν P, ἦν om. AG. 12. τούτου ἐπὶ δ. ἡ. γεγονότος A. 13. εὐτρεπισμένων A. 17. πεζοὺς CG. 18. σιδηράν, καὶ τούτους μὴ καταλαβὼν A.

Scytharum multitudinem metuebant, Scythae percellebantur, cum omnes loricis viderent instructos et signa et vestes splendidas et relucentem inde nitorem, siderum radios referentem. soli omnium Latini audaces atque temerarii pugnam occupare poscebant, dentes simul atque gladios exacuentes. Taticius autem eos cohibuit. erat enim animo prudenti et sagax in suspicandis rebus futuris. postquam uterque exercitus, dum alter alterius impetum exspectat, sed ne ullus quidem ex militibus neutra ex parte in medium equitare audet, ad solis occasum constitit, dux uterque in castra revertit. idem duobus factum est diebus. verum licet ad pugnam duces se pararent et aciem utroque die instruerent, quoniam neuter pugnam capessivit, tertii diei diluculo Scythae retro cedunt; quo animadverso, Taticius statim eos sequitur; sed pedes, ut aiunt, ad Lydium currum. nam occupantes Scythas Sideram (vallis id nomen est) cum assecutus non esset,

καταλιπών, τῶν δὲ στρατιωτῶν οἴκοι πορευθῆναι ἕκαστον κελεύσας, μετά τινος μερίδος τῆς στρατιᾶς αὐτὸς ἐπαναζεύγνυσι πρὸς τὴν βασιλεύουσαν.

universas copias Hadrianopolin reduxit, Gallisque ibi relictis, militibus autem in suam quoque patriam dimissis, cum parte aliqua exercitus ipse in urbem revertitur.

ΑΛΕΞΙΑΣ Ζ.

ALEXIADIS LIBER VII.

ARGUMENTUM.

Scythae sive Patzinacae, duce Tzelguo, Chariopolim incursantes, a Romanis vincuntur (1). tamen in fines Romanos irrumpere pergunt. imperator contra eos movet. Scytharum legationem decipit, solis deliquio ingeniose usus (2). proelio prope Dristram oppidum commisso, Romani funduntur, ipseque Alexius vix evadit (3). Palaeologus mirabiliter servatus (4). Scythae a Comanis, orto dissidio de praeda, in Ozolimnae palude aliquamdiu obsidentur (5). post Comanorum discessum Sythae, etsi cum imperatore pacem pepigerant, ad Cypsella usque movent. mox foedere renovato, Taurocomum recedunt (6). unde ineunte vere Chariopolim usque progrediuntur. archontopuli trecenti a Scythis caesi summo Alexii dolore. Taticius hostes ulciscitur (7). per idem tempus Tzachas, Smyrnae emirus, praeter Clazomenas, Phocaeam et Mitylenen, etiam Chio insula potitur. quae insula a Constantino Dalasseno obsessa, tandem ad deditionem compellitur (8). Scythae ad Haden, Neantzis maxime proditione, imperatori gravissimam inferunt cladem (9). paulo post Alexius, licet febri correptus, eos ad Rusium in fugam vertit (10). castra Romana Tzurulum translata. Scythae ibi imperatorem obsident. is, ubi sagacissimo invento hostes depulit, Cpolin revertitur (11).

P. 188 1. Ἔαρος δὲ ἐπιφανέντος διελθὼν ὁ Τζελγοὺ τὰ ὑπερ-
V. 150 κείμενα τοῦ Δανούβεως τέμπη, (ἡγεμὼν δὲ οὗτος ὑπερέχων

ΑΛΕΞΙΑΔΟΣ βιβλίον ἕβδομον GA. 1. δ' A. διελθὼν: αὖθις, ὁ τζελιοὺ (σκύθης δὲ οὗτος) ἡγεμὼν τοῦ σκυθ. στρατεύματος, τὰ ὑπερκ. τοῦ δανούβεως πέμπει διελθεῖν σύμμικτον A.

1. Ineunte vere Tzelgu, angustias Danubio superiacentes transgressus, (dux hic erat supremus Scythicae militiae,) exercitu octo-

τοῦ Σκυθικοῦ στρατεύματος,) σύμμικτον ἐπαγόμενος στράτευμα ὡσεὶ χιλιάδας ὀγδοήκοντα ἔκ τε Σαυροματῶν καὶ Σκυθῶν, καὶ ἀπὸ τοῦ Δακικοῦ στρατεύματος οὐκ ὀλίγους, ὧν ὁ οὕτω καλούμενος Σολομὼν δημαγωγὸς ἦν, τὰς κατὰ τὴν Χαριούπολιν παρακειμένας πόλεις ἐληΐζετο. καὶ εἰς αὐτὴν δὲ φθάσας τὴν Χαριούπολιν καὶ λείαν πολλὴν ἀναλαβόμενος, κατέλαβε τόπον τινά, Σκοτεινὸν καλούμενον. μεμαθηκὼς τοῦτο ὁ Μαυροκατακαλὼν Νικόλαος καὶ ὁ Βεμπετζιώτης, τὴν ἐπω- B νυμίαν ἀπὸ τῆς ἐνεγκαμένης λαχών, μετὰ τῶν ὑπ' αὐτοὺς δυνάμεων καταλαμβάνουσι τὸ Πάμφυλον. ὁρῶντες δὲ τοὺς περὶ τὰς κωμοπόλεις τῶν παρακειμένων χωρῶν πρὸς τὰς πόλεις καὶ τὰ φρούρια συνελαυνομένους διὰ πτοίαν πολλήν, ἀπάραντες τοῦ οὑτωσὶ καλουμένου Παμφύλου τόπου, καταλαμβάνουσι τὸ τοῦ Κούλη πολίχνιον, τὸ ἅπαν συνεπαγόμενοι στράτευμα. ὄπισθεν δὲ τούτων ἐρχόμενοι καὶ τὸν οὑτωσὶ καλούμενον σκοπὸν τοῦ Ῥωμαϊκοῦ στρατεύματος (λέξις δὲ αὕτη C συνήθης τοῖς στρατιώταις) εὑρόντες οἱ Σκύθαι, παρείποντο ἰχνηλατοῦντες οἷον τὸ Ῥωμαϊκὸν στράτευμα. αὐγαζούσης δὲ P. 189 ἤδη τῆς ἡμέρας τὰς ἰδίας ὁ Τζελγοὺ καθιστᾷ δυνάμεις καὶ τὸν κατὰ τοῦ Μαυροκατακαλὼν ἐβουλεύετο πόλεμον. ἐκεῖνος δὲ κατὰ τὸν ὑπερκείμενον τῆς πεδιάδος αὐχένα ἀνῆλθε μετὰ

2. ὡσεὶ — στρατεύματος om. CG, ὡσεὶ — ὀγδοήκοντα om. A. 3. οὐχ P. 4. τὴν om. A. 5. παρακειμένας om. A, κειμένας G. καὶ — Χαριούπολιν om. A. 6. κατέλαβε περί τι χωρίον καλούμενον σκοτεινόν A. 7. τοῦτο μεμαθηκὼς A. 8. Βεμπετζιώτας G. τὴν — λαχὼν om. A. 9. δυνάμεων om. A. 14. τὸ τουκούλη A. 16. κόπον C. 20. ἐβουλεύσατο CG.

ginta fere millium, ex Sauromatis Scythisque conflato, nec exiguo Dacorum numero, quorum Solomo qui dicebatur dux erat, urbes Chariopoli vicinas devastabat; atque ipsa etiam Chariopoli occupata praedaque multa abducta, in loco consedit, qui Scotinum dicitur. quibus cognitis, Nicolaus Maurocatacalo et Bebetziota, nomen a patria sortitus, cum copiis, quibus praeerant, Pamphylum profecti sunt. cumque eos, qui vicos adiacentium regionum incolebant, in urbes viderent castellaque summa trepidatione festinantes, Pamphylo quod dicitur relicto, oppidulum Cule petunt copiis omnibus. Scythae, scopum qui dicitur exercitus Romani (vocabulum hoc usitatum est militibus) odorati, pone sequuntur, vestigiis quasi exercitus Romani insistentes. die iam illucescente, copias Tzelgu in aciem collocavit, et pugnam cum Maurocatacalone committere in animo habuit. sed hic cum lectis nonnullis centurionibus iugum, quod supra planitiem iacebat, ascendit, barbarorum copias speculaturus; conspectaque Scytharum multi-

τινων λογάδων, κατασκοπήσων τὰς βαρβαρικὰς δυνάμεις. ὁρῶν δὲ τὸ πλῆθος τῶν Σκυθῶν, ἐσφάδαζε μὲν τὴν συμπλοκὴν τοῦ πολέμου, ἀνεβάλλετο δέ, τὴν Ῥωμαϊκὴν στρατιὰν κατανοῶν μηδὲ τὸ πολλοστὸν σώζουσαν τῆς τῶν βαρβάρων
B δυνάμεως. ἐπανελθὼν δὲ μετὰ τῶν λογάδων τοῦ ὁπλιτικοῦ παντὸς καὶ αὐτοῦ τοῦ Ἰωαννιάκη διεσκοπεῖτο, εἰ χρὴ προσβαλεῖν τοῖς Σκύθαις. τῶν δὲ πρὸς τοῦτο ἐποτρυνόντων, ἐπεὶ καὶ αὐτὸς μᾶλλον πρὸς τοῦτο κατάρροπος ἦν, τριχῆ διελὼν τὰς δυνάμεις καὶ τὸ ἐνυάλιον ἠχῆσαι κελεύσας, ξυμμίγνυται τοῖς βαρβάροις. πολλοὶ μὲν οὖν τηνικαῦτα τρωθέντες πίπτουσι, κτείνονται δὲ οὐχ ἧττους. ἀλλὰ καὶ αὐτὸς ὁ Τζελγοὺ γενναίως μαχόμενος καὶ ὅλας συνταράσσων φάλαγγας, καιρίαν πληγεὶς ἀφήρηται τὴν ψυχήν. οἱ πλείους δὲ ἐν τῷ φεύγειν πίπτοντες εἰς τὸν ἀναμεταξὺ τοῦ
C καλουμένου Σκοτεινοῦ καὶ τοῦ Κούλη ῥύακα, ἀπεπνίγοντο ὑπ' ἀλλήλων συμπατούμενοι. λαμπρὰν τοίνυν τὴν κατὰ τῶν Σκυθῶν νίκην ἀράμενοι οἱ τοῦ βασιλέως, εἰσῆλθον εἰς τὴν μεγαλόπολιν. δωρεὰς δὲ καὶ τιμὰς ἀπὸ τοῦ βασιλέως δεξάμενοι κατὰ τὸ ἀνάλογον, ὑπέστρεψαν μετὰ τοῦ τηνικαῦτα προχειρισθέντος μεγάλου δομεστίκου τῆς δύσεως Ἀδριανοῦ τοῦ Κομνηνοῦ καὶ αὐταδέλφου τοῦ αὐτοκράτορος.

2. Οὕτω δὲ τῶν κατὰ Μακεδονίαν καὶ Φιλιππούπολιν

1. κατασκοπήσων C, σκοπήσων PG. 4. τὸ om. G. 6. Ἰωαννακίου C, Ἰωαννικίου G. 9. τὰς δυνάμεις : τὸ στράτευμα A. ἐνηχῆσαι G. 11. ἀλλὰ add. A. 16. τὴν om. A. 17. οἱ τοῦ βασιλέως om. C. 18. δὲ om. G. 20. τοῦ add. A. 22. οὗτοι coni. Diesterwegius.

tudine, flagrabat quidem dimicandi cupiditate, sed cunctabatur tamen, cum Romanum exercitum ne minimo quidem barbarorum numero parem esse videret. reversus cum centurionibus totius exercitus et ipso Iohanniace deliberavit, anne aggredi Scythas conduceret. quibus proelium suadentibus, cum et ipse ad hoc potius propensus esset, copiis in tres partes divisis, bellicum cani iussit et barbaros adortus est. multi eo tempore vulnerati sunt, nec pauciores caesi; quin ipse Tzelgu, postquam fortiter pugnans totas conturbavit phalanges, lethali vulnere accepto, animam efflavit; plerique fugientes in rivum Scotino qui dicitur et Cule medium prolapsi, suffocantur, a se invicem conculcati. splendida igitur de Scythis victoria reportata, Romani urbem repetierunt. ubi cum munera atque honores pro merito ab imperatore accepissent, cum magno domestico occidentis nuper creato, Adriano Comneno, imperatoris fratre, redierunt.

2. Illi hoc modo ex Macedonia atque Philippopoli vicinis regioni-

μερῶν ἀπελαθέντες, παρὰ τὸν Ἴστρον αὖθις ἐπαναστρέψαντες ηὐλίζοντο καὶ ὥσπερ ἰδίαν τὴν ἡμεδαπὴν ἀνέτως πάντη παροικοῦντες ἐληΐζοντο. ταῦτα ὁ βασιλεὺς ἀκούσας, οὐκ ἠνέ- V. 151
σχετο τῶν Ῥωμαϊκῶν ὁρίων εἴσω τοὺς Σκύθας παροικεῖν, ἅμα D
δὲ καὶ δεδιώς, μὴ διὰ τῶν στενωπῶν διελθόντες, αὖθις χείρονα τῶν προτέρων ἀπεργάσωνται. ἔνθεν τοι παρεσκευασμένος καὶ καλῶς ἐξοπλίσας τὸ στράτευμα, καταλαμβάνει τὴν Ἀδριανούπολιν κἀκεῖθεν πρὸς τὸν Λαρδέαν ἄπεισιν ἐν μεταιχμίῳ τῆς Δαμπόλεως καὶ Γολόης διακείμενον. κἀκεῖσε προχειρισάμενος ἡγεμόνα Γεώργιον τὸν Εὐφορβηνὸν κατὰ τῆς Δρίστρας διαπόντιον ἐξέπεμψεν. ὁ δὲ αὐτοκράτωρ ἐπὶ τεσσαράκοντα ἡμέραις αὐτοῦ που ἐγκαρτερῶν, τὰς ἁπανταχόθεν δυνάμεις μετεπέμπετο. ἱκανὸν δὲ συνειλοχὼς στράτευμα ἐβουλεύετο, εἰ χρὴ τὰς κλεισούρας διεληλυθότα, τὴν μετὰ τῶν
Σκυθῶν ἀναδέξασθαι μάχην, "οὐ χρὴ" λέγων "ἐκεχειρίαν P. 190
ὅλως τοῖς Σκύθαις δίδοσθαι," εἰκότως τοῦτο περὶ τουτωνὶ τῶν βαρβάρων σκοπήσας. οὐδὲ γὰρ ἀπό τινος καιροῦ τῶν τεσσάρων καταρξάμεναι αἱ τῶν Σκυθῶν προνομαὶ εἰς τὸν ἐφεξῆς κατέληγον, θέρους τυχὸν εἰς τὸν καιρὸν τῆς ὀπώρας, ἢ καὶ χειμῶνος ἐν φθινοπώρῳ παυσάμεναι. οὐδὲ κύκλος εἷς

1. περὶ P in margine. 2. καὶ — ἐληΐζοντο add. CAG et in margine P. 3. ἀκούων AG. ἠνείχετο A. 6. τοι καὶ G. 8. κἀκεῖθεν A. 9. Δαμπόλεως P in margine, Διαμπύας PG. lege Διαμπόλεως. 10. Φορβηνὸν CG. 11. Δίστρας G. 12. καρτερῶν CG. 13. ἐβουλεύσατο G. 14. διεληλυθότας AG. 16. τουτωνὶ τῶν C, τῶν om. P, τῶν βαρβάρων τούτων G. 17. καιροῦ ἀρξάμεναι G. 20. φθινοπώρου G. παυσόμεναι G. εἷς om. G.

bus propulsi, ad Istrum reversi consederunt et tanquam suam Romanorum ditionem finitimam summa licentia incursabant. quod cum audisset imperator, intra Romani imperii fines non perferebat Scythas habitare; simul etiam verebatur, ne angustias montium denuo transgressi, peiora etiam quam antea perpetrarent. itaque exercitu instructo beneque armato, Adrianopolin profectus est; unde Lardeam movit, locum inter Diampolin et Goloen situm. ibi Gregorium Euphorbenum ducem creatum Dristram mari tendere iussit; imperator ipse quadraginta dies illic commorans, omnes undecunque copias contraxit. idoneo autem collecto exercitu, deliberabat expediretne, angustiis superatis, pugnam cum Scythis committi, otium omnino iis dandum non esse censens. nec iniuria. neque enim uno ex quatuor anni temporibus coeptae Scytharum incursiones sequenti desinebant, ut vel a vere usque ad aestatem vel etiam ab hieme ad autumnum durarent; neque unius anni orbis hanc calamitatem circumscribebat, sed

ἐνιαύσιος τουτὶ τὸ κακὸν περιέγραψεν, ἀλλ' ἐφ' ἱκανοῖς ἔτεσι
τὰ Ῥωμαίων ἐκυμαίνετο, κἂν ἐκ πολλῶν ὀλίγων τινῶν αὐτοὶ
ἐπεμνήσθημεν. οὐδὲ διπλοῖς ἐμερίσθησαν λογισμοῖς, κἂν ὁ
αὐτοκράτωρ πολλάκις διὰ παντοίων τούτους ἐφείλκετο· ἀλλ'
οὐδέ τις λαθὼν πρὸς τὸν βασιλέα ἀπηυτομόλησεν, ἔτι ἀμε-
B τάθετον τέως τὴν γνώμην ἔχοντες. ὁ μὲν οὖν Νικηφόρος ὁ
Βρυέννιος καὶ ὁ Μαυροκατακαλὼν Γρηγόριος, ὃν τιμῆς τεσ-
σαράκοντα χιλιάδων ὁ βασιλεὺς παρὰ τῶν Σκυθῶν ἑαλωκότα
ἐπρίατο, οὐδαμῶς τὸν μετὰ τῶν Σκυθῶν κατὰ τὸ Παρίστριον
συνεχώρουν πόλεμον. ὁ δέ γε Παλαιολόγος Γεώργιος καὶ
Νικόλαος ὁ Μαυροκατακαλὼν καὶ ὁπόσοι ἄλλοι νέοι καὶ ἀκμά-
ζοντες τῷ τοῦ βασιλέως προσκείμενοι θελήματι, ἐπέτρεπον
τὰ τέμπη τοῦ Αἵμου διελθεῖν καὶ κατὰ τὸ Παρίστριον τὴν
μετὰ τῶν Σκυθῶν ἀναδέξασθαι μάχην. σὺν οἷς καὶ οἱ
δύο υἱεῖς Διογένους τοῦ αὐτοκράτορος, Νικηφόρος τε καὶ
C Λέων, οἳ μετὰ τὸ ἀνενεχθῆναι αὐτὸν εἰς τὴν τῆς βασι-
λείας περιωπὴν ἐν τῇ πορφύρᾳ ἐξ αὐτοῦ ἐτέχθησαν, κἀν-
τεῦθεν πορφυρογέννητοι προσηγορεύθησαν. ἡ δὲ πορφύρα οἴ-
κημά τί ἐστιν κατὰ τὰ ἀνάκτορα ἐξ αὐτῆς τῆς βάσεως μέ-
χρι τῆς ὀρόφου κινήσεως διὰ τετραγώνου συμπληρούμενον
σχήματος, ἐκεῖθεν δὲ εἰς πυραμίδα ἀποτελευτῶν, ἀφορῶν
μὲν ὡς πρὸς θάλατταν πρὸς τὸν λιμένα, οὗπερ οἱ πέτρινοι

4. ἀφεῖλκετο G. 5. ἀπηυτομόλησεν PG, recte C. 7. Βρυένιος P. 11. κατακαλὼν A. καὶ alterum om. A. 14. σὺν τούτοις A. 17. κἀντεῦθεν — προσηγορεύθησαν add. C.

per annos multos Romanorum res perturbabatur, quanquam e multis pauca tantum memoravimus. neque in diversas trahi poterant partes, licet imperator saepe vario modo eos tentaret, sed ne clam quidem ad eum quisquam transiit, cum firmo adhuc et constanti animo essent. Nicephorus igitur Bryennius et Gregorius Maurocatacalo, quem imperator a Scythis captum quadraginta millium pretio redemerat, ad Istrum cum Scythis acie decertari neutiquam probabant; Palaeologus autem Georgius et Nicolaus Maurocatacalo, et si qui alii iuventute florebant, imperatori obnoxii Haemi valles transire atque ad Istrum pugnam cum Scythis committere suadebant. quibus accedebant etiam Diogenis imperatoris duo filii, Nicephorus atque Leo, qui patre imperium iam adepto, in purpura nati, porphyrogeniti appellabantur. purpura autem aedificium est in regiis aedibus, ab ipsa basi usque ad tecti initium quadrata exstructum forma, hinc in pyramidem desinens, mare versus ad portum spectans, in quo lapidei sunt boves leonesque. marmore autem et solum constratum est et parietes inducti sunt: non vulgaris quidem generis, nec quale ex pretiosiore marmore

βόες καὶ οἱ λέοντες, διὰ μαρμάρων δὲ τό τε ἔδαφος κατέστρωτο καὶ οἱ τοῖχοι περιεστέλλοντο, οὐ τῶν τυχόντων, οὐδὲ τῶν ἄλλων ὁπόσοι εὐποριστότεροι τῶν τιμιωτέρων λίθων εἰσίν, ἀλλ' ἐξ ὧν ἀπὸ Ῥώμης οἱ ἀνέκαθεν βασιλεῖς ἐπεσύραντο. ἔστι δὲ οὗτος ὁ λίθος, τὸ ὅλον εἰπεῖν, πορφυροῦς δι' D
ὅλου καὶ οἷον στίγματά τινα ψαμμοειδῆ λευκὰ αὐτῷ περιτρέχουσιν. ἐκ τουτωνὶ τῶν λίθων, οἶμαι, πορφύραν τὸ οἴκημα οἱ ἀνέκαθεν ὠνόμασαν. ἀλλ' ὅπερ ἔλεγον, ὡς οὖν ἡ σάλπιγξ μέγα ἠχήσασα ἅπαντας τὴν πρὸς τὸν Αἷμον ὁδὸν οἱονεὶ κατὰ τῶν Σκυθῶν προὐτρέπετο, ὁ Βρυέννιος πολλὰ κωλύων τὸν αὐτοκράτορα τοῦ ἐγχειρήματος, ὡς οὐκ ἔπειθεν, ἐπιφωνηματικῶς φησίν "ἴσθι, ὦ βασιλεῦ, εἰ τὸν Αἷμον διέλθητε, τοὺς P. 191
δρομικωτέρους τῶν ἵππων δοκιμάσεις." ἐρωτήσαντος δέ τινος, V. 152
τί ὁ λόγος οὑτοσὶ βούλεται, "ἐν τῷ φεύγειν" φησὶν "ἅπαντας." οὗτος γὰρ ὁ ἀνήρ, εἰ καὶ τοὺς ὀφθαλμοὺς δι' ἀποστασίαν ἐξεκέκοπτο, ἀλλὰ τό γε εἰς στρατηγικωτάτην βουλὴν καὶ παράταξιν δεινότατος τῶν πολλῶν καὶ ποικιλώτατος ἐγνωρίζετο. ὅπως δὲ τῶν ὀμμάτων ὁ προμνημονευθεὶς Βρυέννιος ἀπεστέρητο δι' ἀποστασίαν ἢ ἐπανάστασιν κατὰ τοῦ αὐτοκράτορος Βοτανειάτου, καὶ ὅτι παρὰ τοῦ Κομνηνοῦ Ἀλεξίου τότε μεγάλου δομεστίκου τυγχάνοντος τῶν δυτικῶν τε καὶ ἀνατολικῶν στρατευμάτων κατασχεθείς, τῷ Βορίλλῳ παρε- B

4. ἐπεσύροντο C. 5. τὸ ὅλον C et in margine P, ὅλως PG. 6. τινὰ στίγματα G. 7. τὸ οἴκημα πορφύραν G. 9. ἅπαντας A, ἅπασι PG. vid. annotat. 12. φησὶν CA, ἔφη PG. 15. ὁ om. G. 16. στρατιωτικωτάτην A. 18. πριμνημονευθεὶς P. 20. Βοτανειάτου om. G. 22. lege Βορίλῳ ut supra.

facilius parari potest; sed ex eorum est lapidum numero, quos Roma veteres imperatores deportarunt. est is lapis purpureus fere totus, nisi quod puncta quaedam candida ad arenae instar inspersa sunt. ab huius igitur marmoris colore purpuram, arbitror, aedificium maiores vocarunt. sed redeo ad rem. cum igitur tubae cantus iter ad Haemum utpote adversus Scythas omnibus indiceret, Bryennius, ut imperatorem ab incepto revocaret, multam dedit operam; cumque non persuaderet, ad extremum "scito, inquit, imperator, Haemum si transieritis, equorum qui velociores sint, experiere." quae verba, quid sibi vellent, percontanti cuidam, "fugientibus nimirum omnibus" respondit. erat hic vir, licet ob defectionem luce privatus, rerum bellicarum et exercitus in aciem collocandi peritissimus atque prudentissimus. quo autem casu excaecatus sit, cuius mentionem modo fecimus, Bryennius ob defectionem vel potius rebellionem adversus imperatorem Botaniatem, utque a Comneno Alexio magno tunc temporis occidentalium

δόθη τὰς ὄψεις ἀβλαβεῖς ἔχων, τοὺς ἐθέλοντας λεπτομερέστερον μαθεῖν παραπέμπομεν εἰς τὸν μέγιστον Καίσαρα. ὁ γὰρ Καῖσαρ οὗτος τοῦ μὲν Ἀλεξίου ἤδη τὰ Ῥωμαίων διέποντος σκῆπτρα γαμβρὸς ἐγεγόνει, τοῦ δὲ Βρυεννίου ἐκείνου ἀπόγονος. ἀλλ' ἐνταυθοῖ γενομένη, συγχέομαι τὴν ψυχὴν καὶ πένθους ἐμπίπλαμαι. σοφὸς μὲν γὰρ τὴν γνώμην ἦν οὗτος ὁ ἀνὴρ καὶ τὸν λόγον σοφώτατος. πάντα γὰρ καὶ ῥώμη καὶ τάχος καὶ κάλλος σώματος καὶ ἁπλῶς ἐς ταὐτὸν συνελθόντα ὅσα ψυχῆς καὶ σώματος ἀγαθά, τὸν ἄνδρα ἐκεῖνον ἐκόσμησεν. C ἕνα γὰρ αὐτὸν ἐν τοῖς ἅπασιν ἐξοχώτατον καὶ ἡ φύσις ἀνεβλάστησε καὶ ὁ θεὸς ἐδημιούργησε. καὶ οἷον τὸν Ἀχιλλέα ὕμνησεν Ὅμηρος ἐν τοῖς ἀρχαιοῖς, τοιοῦτον ἄν τις εἶπε τὸν ἐμὸν Καίσαρα ἐν τοῖς ὑπὸ τὸν ἥλιον ἅπασιν ἀναπεφηνότα. οὗτος τοίνυν ὁ Καῖσαρ καὶ τὰ στρατιωτικὰ γεγονὼς ἄριστος, οὐκ ἀμελετήτως ἔσχε πρὸς λόγους. ἀλλὰ πᾶσαν βίβλον ἀναπτυξάμενος καὶ εἰς πᾶσαν ἐπιστήμην ἐγκεκυφώς, πολλὴν σοφίαν ἐκεῖθεν ἠρύσατο, ὅση τε ἡμετέρα καὶ ὅση ποτὲ οὐχ D ἡμετέρα. ὕστερον δὲ καὶ πρὸς συγγραφὰς ἐξέδωκεν ἑαυτόν, καὶ δὴ καὶ σύγγραμμα ἐξ ἐπιταγῆς τῆς ἐμῆς δεσπότιδος καὶ μητρός, τῆς βασιλίδος φημὶ Εἰρήνης, ἐσχεδίασεν ἄξιον λόγου καὶ ἀναγνώσεως, ἱστορίαν συντεταχὼς τῶν πρὸ τοῦ ἀναδήσασθαι τὰς τῆς βασιλείας ἡνίας πράξεων τοὐμοῦ πατρός, ἐν

4. τοῦδε PG. correxi. 5. συγχέομαι P in margine, δυνέχομαι PG. τὴν γνώμην G. καὶ πένθους C, τοῦ καὶ πάθους PG. 6. ἐμπίπλαμαι C, ἐμπίμπλαμαι PG. 8. ταὐτὸ C. 17. ὅσηδήποτε? 20. τῆς om. G.

atque orientalium copiarum domestico captus, Borilo traditus sit integris etiam tum oculis, id qui accuratius cognoscere cupiunt, ad summum remittimus Caesarem. nam Caesar hic et Alexii Romanorum sceptra iam adepti gener erat, et Bryennii illius nepos. verum haec memorans confundor animo luctuque afficior. praestans enim consilio is erat et eloquentia praestantissimus; robur, agilitas, forma, postremo quaecunque sunt animi corporisque bona, ea coniuncta universa hominem ornabant; unum enim illum in omnibus rebus praestantissimum et natura edidit et deus finxit; et qualem Achillem Homerus antiquitus celebravit, talem dixerit quispiam Caesarem meum inter omnes, qui sub sole sunt, extitisse. hic igitur Caesar cum rei militaris peritissimus esset, litterarum non erat expers; sed omnes libros evolverat, omnibusque artibus imbutus, magnam sibi prudentiam comparaverat et nostrarum rerum et externarum; postea etiam ad historias scribendas animum appulit opusque iussu dominae ac matris meae, imperatricis Irenes, exaravit laude et lectione di-

ἢ τὰ κατὰ τὸν Βρυέννιον ἀκριβέστερον ἐπεξέρχεται, καὶ ὁμοῦ τάς τε τοῦ προγόνου συμφορὰς ὡς ἀληθῶς ἀφηγήσατο, P. 192
καὶ τὰς τοῦ πενθεροῦ ἀριστείας συνέγραψε, καὶ οὐκ ἂν ἐψεύσατο, καίπερ ἀμφοῖν ὡς τοῦ μὲν ἀγχιστεύς, τοῦ δὲ καθ' αἷμα προσήκων. καὶ μεμνήμεθα τούτων κἀν τοῖς προτέροις λόγοις τῆσδε ἱστορίας. ἐπεὶ δὲ τὸν Εὐφορβηνὸν Γεώργιον μεθ' ἱκανῆς στρατιᾶς καὶ στόλου διὰ τοῦ Ἴστρου ἐρχόμενον κατ' αὐτῶν οἱ Σκύθαι ἐθεάσαντο, (ὁ δὲ ποταμὸς οὗτος ῥεῖ μὲν ἄνωθεν ἀπὸ τῶν δυτικῶν μερῶν, ἐκδίδοται δὲ διὰ τῶν καταρρακτῶν καὶ μετὰ ταῦτα διὰ πέντε τινῶν στομάτων εἰς τὸν Πόντον τὸν Εὔξεινον, μέγας τε καὶ πολὺς διὰ πολλῆς πεδιάδος ἐρχόμενος καὶ ναυσίπορος ὤν, ὡς καὶ τῶν B
πλοίων τὰ μέγιστά τε καὶ φορτηγότατα τούτῳ τῷ ποταμῷ ἐπινήχεσθαι· οὐ μίαν δὲ προσηγορίαν λαμβάνει, ἀλλὰ τὰ ἀνωτέρω μὲν καὶ πρὸς τὰς πηγὰς Δάνουβις ὄνομα τούτῳ, τὰ κάτω δὲ καὶ πρὸς τὰς ἐκβολὰς Ἴστρος ὁ ποταμὸς μετονομάζεται,) ἐπεὶ δὲ τοίνυν διὰ τούτου τοῦ ποταμοῦ τὸν Εὐφορβηνὸν Γεώργιον ἡ τῶν Σκυθῶν μερὶς ἐθεάσατο, ἐξ ἠπείρου V. 153
δὲ καὶ τὸν αὐτοκράτορα μετὰ στρατεύματος πλείστου αὐτοὺς

4. καίπερ : καὶ περὶ C. ὡς : lege ὤν. τῷ δὲ G. 5. μεμνήμεθα P in margine, μέμνηται PG. 6. τῆς G. Φορβηνὸν G hic et infra. 9. ῥρῶν A et in margine P. δὲ add. G. 10. καὶ om. A. 11. post Εὔξεινον add. A ῥεῖ. 12. καὶ prius om. A. καὶ : τὰ G. 15. ἀνώτατα A, ἀνώτερα G. ταῖς πηγαῖς G. τούτῳ ὄνομα AG. 16. ταῖς ἐκβολαῖς G. ὁ ποταμὸς om. A. post ποταμὸς add. G ὁ γὰρ (leg. παρ') ἑβραίοις φυσὼν (leg. φισὼν ex Gen. 2, 10. coll. Leon. Diac. VIII. p. 129.), παρὰ δὲ ἰνδοῖς γάγγης, παρὰ αἰθίοψιν ἰνδὸς, παρ' ἕλλησι δὲ δανούβιος. vid. Letronn. in A. de Humbold. Geograph. histor. orbis novi II. p. 83. μετονομάζεται A, ἐπονομάζεται PG. 17. ἐπειδὴ A, δὲ om. G. 19. δὲ καὶ τὸν αὐτοκράτορα A, δὲ μετὰ στρατεύματος πλείστου τὸν αὐτοκράτορα PG.

gnum, quo rerum a patre meo ante sumptas imperii habenas gestarum historiam contexuit. in quo libro Bryennii res accuratius enarrat simulque et avi calamitates verissime tradit, et soceri praeclara facinora refert, neque quidquam mentitur, licet utrique, affinitate alteri, alteri sanguine iunctus. horum mentio etiam in prioribus huius historiae libris facta est. ubi igitur Euphorbenum Georgium cum exercitu satis magno et classe per Istrum proficiscentem contra se Scythae viderunt, (fluvius hic ex occidentalibus regionibus decurrit, atque per cataractas et dein per quinque ostia in Pontum Euxinum effunditur, summa aquae copia, per vastas planities fluens tamque navigando aptus, ut vel maxima et valde onusta navigia ferat. nec tamen unum ei est nomen, sed superior et fonti propior pars Danubius, inferior et ostiis propinqua Ister, mutato nomine, appellatur,) per hunc igi-

ἤδη καταλαμβάνοντα μεμαθήκεσαν, ὡς ἀμήχανον τὴν μεθ' ἑκατέρων μάχην εὑρίσκοντες, τρόπον ἐπεζήτουν, δι' οὗ γένοιτ' ἂν αὐτοῖς τὸ ὀξὺ τοῦ κινδύνου διεκφυγεῖν. πέμπουσι τοίνυν πρέσβεις ἑκατὸν πρὸς τοῖς πεντήκοντα Σκύθας, ἐπερωτῶντας τάχα τὰ περὶ εἰρήνης, ἅμα δὲ καὶ ἀπειλήν τινα μεταξὺ τῶν λόγων παρενείροντας, ἔστι δ' οὗ καὶ ὑπισχνουμένους, εἰ ταῖς τούτων νεύσεσι καὶ αἰτήσεσι κατανεῦσαι θελήσειε, μεθ' ἱππέων χιλιάδων τριάκοντα συμμαχεῖν τῷ αὐτοκράτορι, ὁπηνίκα βούλοιτο. ὁ δὲ αὐτοκράτωρ τὴν ἀπάτην διαγνοὺς τῶν Σκυθῶν καὶ ὅτι τὸν ὑπόγυιον κίνδυνον φεύγοντες τοιαῦτα διαπρεσβεύονται, καὶ εἰ ἀδείας ὅλως τύχοιεν, τὸν ὑποκρυπτόμενον τῆς αὐτῶν κακίας σπινθῆρα εἰς πυρσὸν ἀνάψουσι μέγαν, τὴν πρεσβείαν οὐκ ἐδέχετο. τούτων δὲ τῶν λόγων συνειρομένων, Νικόλαός τις τῶν ὑπογραμματευόντων, τῷ αὐτοκράτορι προσελθὼν πρὸς τὸ οὖς καὶ ὑποψιθυρίσας φησί "κατὰ ταυτηνὶ τὴν ἡμέραν, βασιλεῦ, ἔκλειψιν τοῦ ἡλιακοῦ φωτὸς προσδόκα γενήσεσθαι." τοῦ δὲ διαπιστοῦντος, ἐκεῖνος ἐπώμνυτο μὴ διαψεύσασθαι. ὁποῖος δὲ ὁ αὐτοκράτωρ γοργὸς περὶ τὰς ἐνθυμήσεις, φησὶ τοῖς Σκύθαις ἐπιστραφείς, "θεῷ τὴν κρίσιν ἀνατίθημι· καὶ εἰ μέν τι σημεῖον ἐξ οὐρανοῦ κατὰ ταυτηνὶ τὴν ἡμέραν ἔκδηλον γένηται,

1. ἐμεμαθήκεσαν G. 3. διαφυγεῖν G. 6. ὑπισχνουμένου G. 10. γνοὺς G. 11. διαφεύγοντες A. 12. τῆς αὐτῶν κακίας om. AG. 14. σπειρομένων G. ὑπογραμματέων A. 16. ἡμέραν A, ὥραν PG. 17. προσδόκει A. 20. τι om. A. 21. ταύτην G. ἡμέραν AG, ὥραν P.

tur fluvium ubi adventantem Euphorbenum Georgium Scytharum pars vidit, terrestri autem itinere etiam imperatorem exercitum maximum contra se iam ducere audiverunt, cum utrique impares se intelligerent, circumspiciebant, qua ratione subito periculo evaderent. itaque mittunt legatos centum et quinquaginta Scythas, qui pacem peterent, simul minas quasdam orationi intexerent: sin postulatis atque optatis responderet, triginta millia equitum imperatori se, quando vellet, auxilio missuros pollicerentur. imperator autem cum fraudem Scytharum perspiceret, eosque imminentis periculi evitandi causa de pace agere, et facultate data, mox occultam odii favillam in magnam flammam excitaturos esse, legationem non admisit. de qua re dum disceptant, Nicolaus, scribarum unus, ad imperatorem accessit inque aurem insusurrans, "hoc, inquit, die solem defecturum esse exspecta;" quo fidem denegante, iureiurando se non mentiri confirmavit. tum imperator, qua erat ingenii dexteritate, ad Scythas conversus, "deum, inquit, iudicem facio: ac si quidem signum coelo hoc

εἴσεσθε πάντως, ὡς ἐγὼ μὲν ὕποπτον οὖσαν τὴν ὑμῶν πρεσβείαν εὐλόγως οὐ δέχομαι, ὅτι οὐκ ἐπ' ἀληθείας οἱ φαλαγγάρχαι ὑμῶν τὰ περὶ εἰρήνης διαπεσβεύονται· εἰ δ' οὔ, διαμαρτὼν αὐτὸς τοῦ στοχασμοῦ ἐλεγχθήσομαι." δύο οὖν οὔπω παρῆλθον ὧραι, καὶ τὸ ἡλιακὸν φῶς ἐπιλέλοιπεν, ὡς ἀφεγγῆ τὸν ὅλον δίσκον γενέσθαι, ὑποδραμούσης αὐτῷ τῆς σελήνης. καὶ οἱ μὲν Σκύθαι τηνικαῦτα ἔκθαμβοι γεγόνασιν, ὁ δέ γε αὐτοκράτωρ παραδίδωσιν αὐτοὺς Λέοντι τῷ Νικερίτῃ (ἐκτομίας δὲ οὗτος καὶ τοῖς στρατιωτικοῖς νηπιόθεν ἐνδιατρίψας καὶ ἀναφανεὶς δοκιμώτατος), ἐπισκήψας μεθ' ἱκανῶν διασῶσαι τούτους μέχρι τῆς βασιλίδος τῶν πόλεων. ὁ δὲ μάλα προθύμως τῆς πρὸς τὴν Κωνσταντίνου ἥψατο. οἱ δὲ βάρβαροι διὰ παντὸς τῆς ἑαυτῶν φροντίζοντες ἐλευθερίας, ἐπὰν τὴν μικρὰν Νίκαιαν ἔφθασαν, νυκτὸς ἀναιροῦσι τοὺς φύλακας, ἀμελῶς περὶ τὴν αὐτῶν διατεθέντας φυλακήν. καὶ διά τινων σκολιωτέρων ἀτραπῶν ἐπαναστρέφουσι πρὸς τοὺς πέμψαντας. ὁ δὲ Νικερίτης μόγις μετὰ τριῶν σωθείς, καταλαμβάνει τὸν αὐτοκράτορα εἰς Γολόην.

P. 193 B

3. Ταῦτα μεμαθηκὼς ὁ βασιλεὺς καὶ πτοηθείς, μὴ οἱ

2. ἀληθείᾳ G. 3. τῆς εἰρήνης G. lege εἰ δ' οὖν ut supra 220, 17. 4. εὑρεθήσομαι A. οὖν add. A. 6. αὐτῷ A, αὐτὸν PG. 8. γε om. AG. παραδίδωσιν A, δίδωσιν PG. αὐτοὺς τῷ ἐκ . . . . λέοντι τῷ νικερίτῃ, καὶ ὃς τῆς A. excidit ἐκτομίᾳ. 10. ἀναφανεὶς P in margine, ἀφανὴς PG, ἀφανεὶς C. 12. πρὸς A, περὶ PG. idem vitium apud Phrantz. I. p. 112, 15. τὴν βασιλεύουσαν A. 13. ἑαυτὸν P. ἐλευθερίας: σωτηρίας A. 14. μικρὰν Νίκαιαν: νικίτζαν A. 17. μετὰ τῶν ἐπιλοίπων A. 19. μεμαθηκὼς δὲ τοῦτο A.

ipso die apparet, intelligetis sane, suspectam me legationem vestram merito non admisisse, quod non vere atque ex animo duces vestri de pace agunt; sin minus, non recuso, quin temere conceptae de vobis suspicionis arguar." nondum effluxerant horae duae, cum sol ita defecit, ut totus eius orbis absconderetur luna subeunte. obstupuerunt tum Scythae, imperator autem Leoni Niceritae (eunuchus hic erat a puero innutritus castris et virtutis spectatae,) eos cum praesidio idoneo in urbem deducendos tradidit. hic alacri animo Cpolin iter ingressus est; verum barbari in occasionem recuperandae libertatis intenti, ubi Nicaeam parvam pervenerunt, custodibus, qui negligentius vigilias agebant, noctu obtruncatis, per obliquas semitas ad eos redeunt, a quibus missi erant. Nicerita cum tribus aegre servatus, Goloen ad imperatorem pervenit.

3. His auditis imperator, veritus ne legati, universis Scythis instigatis, se adorirentur, non somnio egebat, quo ut Atrei quondam

C πρέσβεις ἅπαν τὸ Σκυθικὸν στράτευμα κατ' αὐτοῦ ἐρεθίσαντες ἐπεισπέσωσιν αὐτῷ, οὐκ ὀνείρου δεηθεὶς πρὸς μάχην αὐτὸν ἐποτρύνοντος, καθάπερ ποτὲ τὸν Ἀτρέως Ἀγαμέμνονα, ἀλλ' ἀναζέσας πρὸς μάχην καὶ τὴν Σιδηρὰν μετὰ τῶν ταγμάτων διελθών, τὸν χάρακα περὶ τὴν Βιτζίναν ἐπήξατο· ποταμὸς δὲ οὗτος ἀπὸ τῶν παρακειμένων ὀρῶν ῥέων. πολλοὶ δὲ τηνικαῦτα χορταγωγίας χάριν τοῦ χάρακος ἐξελθόντες καὶ πορρωτέρω γενόμενοι ἀνῃρέθησαν, πολλοὶ δὲ καὶ κατεσχέθησαν. ὁ δὲ αὐτοκράτωρ κατὰ τὸ περίορθρον ταχὺ καταλαμβάνει τὴν Πλίσκοβαν, κἀκεῖθεν εἰς ἀκρολοφίαν τινὰ τὴν τοῦ
D Συμεῶνος καλουμένην ἄνεισιν, ἣ καὶ Βουλευτήριον τῶν Σκυ-
V. 154 θῶν ἐγχωρίως ὠνομάζετο. τὰ αὐτὰ δὲ πάλιν τῆς τῶν χρειωδῶν συγκομιδῆς χάριν τοῖς τῆς παρεμβολῆς μακρὰν γενομένοις συνέβαινε. τῇ δὲ μετ' αὐτὴν παρά τινα ποταμὸν ἔρχεται ἀγχοῦ τῆς Δρίστρας ῥέοντα καὶ ὡσεὶ σταδίους εἴκοσι πρὸς τοῖς τέσσαρσιν ἀπέχοντα, κἀκεῖσε τὰς σκευὰς καταθέμενος, τὸν χάρακα πήγνυται. ἐπεισπεσόντες δὲ ἀθρόον οἱ Σκύθαι τῇ τοῦ βασιλέως σκηνῇ ἐξ ἑτέρου, ἀνεῖλον μὲν τῶν ψιλῶν τοῦ στρατοῦ ἱκανούς, κατέσχον δὲ καί τινας τῶν ἐκθυμοτέρως ἀγωνισαμένων Μανιχαίων. καὶ θόρυβος ἐπὶ τούτοις τοῦ στρατεύματος ἦρτο πολὺς καὶ σύγχυσις, ὡς καὶ τὴν βασιλικὴν κα-

1. ἅπαν τὸ σκυθικὸν A, τὸ ἅπαν Σκυθικὸν στράτευμα PG. 4. ἀλλ' om. G. 7. χάριν: ἕνεκα A. 8. πόρρω G. ἀνῃρέτησαν P. 11. Συμεὼν CG. βουλευτήριος C. 14. αὐτῶν C. 18. ἐξ ἑτέρου om. A. 19. καὶ ζωοὺς οὐκ ὀλίγους τῶν μανιχαίων A. ἐκθυμοτέρως G, ἐκθυμοτέρων P. 20. καὶ θροῦς ἐπὶ τούτῳ A.

filius Agamemnon, ad pugnam concitaretur, sed pugnandi cupiditate flagrans, Sideram cum legionibus transgressus, castra ad Bitzinam collocavit: fluvius hic est ex adiacentibus fluens montibus. tum multi pabulandi gratia castris egressi longiusque profecti, trucidati sunt a Scythis, multi etiam capti. imperator autem primo diluculo Pliscobam celeriter occupat, indeque in iugum, Symeonis dictum, ascendit, quod etiam Buleuterium Scytharum ab indigenis nuncupatur. eadem hic iis, qui pabulandi causa longius progressi erant, acciderunt. postridie ventum ad flumen est, quod prope Dristram fluit, stadia fere viginti quatuor distans. dum ibi, positis sarcinis, imperator castra munit, irruentes subito Scythae ab altera parte in imperatoris tentorium, magnam stragem edidere levis armaturae militum, quosdam etiam animosius repugnantes ceperunt Manichaeos. multus inde ortus tumultus est atque perturbatio, ut ipsum imperatoris tabernaculum corrueret, equis temere currentibus: quod iis, qui non

ταπεσεῖν σκηνὴν ἐξ αἰτίας τῶν ἀτάκτως θεόντων ἵππων. ὅπερ τοῖς μὴ εὔνως πρὸς τὸν αὐτοκράτορα διακειμένοις κακὸς οἰω- P. 194 νὸς ἔδοξεν. ἀλλ' ὁ μὲν βασιλεὺς τοὺς ἐπεισπεσόντας βαρβάρους διά τινος στρατιᾶς ἐξελάσας πόρρω που τῆς σκηνῆς, ὅπως μὴ θορυβοῖεν, εὐθὺς ἐποχηθεὶς ἐκεῖθεν, καὶ καταστείλας τὸν θόρυβον, σὺν αὐταῖς δυνάμεσι μετ' εὐταξίας τὴν πορείαν ποιησάμενος, καταλαμβάνει τὴν Δρίστραν, (πόλις δὲ αὕτη τῶν περὶ τὸν Ἴστρον διακειμένων περιφανής,) πολιορκήσων ταύτην δι' ἑλεπόλεων. καὶ δῆτα τοῦ ἔργου ἁψάμενος καὶ πανταχόθεν ταύτην πολιορκῶν καὶ καταρράξας μίαν τῶν ταύτης πλευρῶν, εἰσῄει μετὰ παντὸς τοῦ στρατεύματος. αἱ δὲ δύο ἀκροπόλεις τῆς ῥηθείσης πόλεως ἔτι παρὰ τῶν συγγε- B νῶν κατείχοντο τοῦ καλουμένου Τατοῦ, ἐκείνου προφθάσαντος ἀπελθεῖν ἐφ' ᾧ ἐπενδύσασθαι Κομάνους καὶ ἐπαναστρέψαι εἰς ἀρωγὴν τῶν Σκυθῶν. ὃς ἐν τῷ ἐκεῖθεν ὑποχωρεῖν συντασσόμενος τοῖς ἰδίοις ἔφη, ὡς "ἐγὼ μὲν ἀκριβῶς οἶδα τὸν βασιλέα τουτὶ τὸ κάστρον πολιορκῆσαι μέλλοντα. ἐπὰν οὖν αὐτοὶ τοῦτον θεάσησθε τὴν πεδιάδα ταύτην καταλαβόντα,

1. αἰτίας om. A. ἵππων AG, ἱππέων P.. 4. lege ἐξελάσας πόρρω που τῆς σκηνῆς καὶ καταστείλας τὸν θόρυβον, ὅπως μὴ θορυβοῖεν αὖθις, ἐποχηθεὶς ἐκεῖθεν σὺν αὐταῖς δυνάμεσι, μετ' εὐταξίας κ. τ. λ. 6. τὴν πορείαν ποιησάμενος om. G. 9. ἁψάμενος, μίαν τῶν πλευρῶν αὐτῆς καταράξεως εἰσῄει A. 10. κατάρξας G. lege καταράξας. 12. ῥηθείσης: τοιαύτης A. πόλεως ἐφυλάττοντο ὑπὸ τῶν ἰδίων τοῦ τῶν Σκυθῶν ἀρχηγοῦ, τοῦ λεγομένου Τατοῦ, ὑποχωρήσαντος τῆς Δρίστρας, ἐφ' ᾧ ἐπενδύσασθαι Κομάνους καὶ πρὸς συμμαχίαν ἑτέρους Σκύθας ἀπελθόντος συγκαλέσασθαι καὶ ἐπαναστρέψαι εἰς ἀρωγὴν τῶν Σκυθῶν G et in margine P, quibuscum consentit A, omissis tamen ἐφ' ᾧ — Κομάνους et καὶ ἐπαναστρέψαι — Σκυθῶν. 13. ἐκείνου: ἐκεῖθεν coni. Diesterwegius.

amico in imperatorem animo erant, infaustum omen videbatur. at imperator, postquam invectos Scythas exercitus sui parte procul a tentorio propulit tumultumque sedavit, ne sui iterum perturbarentur, motis inde castris, bono ordine Dristram pervenit, (urbs ea est inter oppida ad Istrum sita admodum celebris,) machinis eam oppugnaturus. rem igitur aggressus, urbe undique circumdata, per ruinam unius lateris cum universo exercitu ingreditur. duas autem urbis arces tenebant adhuc consanguinei Tati qui dicebatur; ipse paulo ante eo consilio inde profectus erat, ut Comanos in auxilium Scytharum arcesseret. qui cum discederet, valedicens suis, "non dubito," inquit, "quin imperator oppugnaturus hoc castrum sit. itaque cum planitiem istam ab eo obsessam videritis, vos quidem festinate imminens praeoccu-

σπεύσατε ὑμεῖς προκαταλαβεῖν εἰς τὸν ὑπερκείμενον αὐχένα ἐπικαιρότατον ὄντα τῶν ἄλλων, κἀκεῖσε τὸν χάρακα πήξασθε, C ὡς μὴ ἐκεχειρίαν ἔχειν τὸν αὐτοκράτορα πολιορκεῖν τὸ φρούριον, ἀλλὰ καὶ ὄπισθεν ὅμως ἔχειν τὸν νοῦν, τὴν ἐξ ὑμῶν ὑφορώμενον βλάβην. ὑμεῖς δὲ πανημέριοι καὶ παννύχιοι κατ' αὐτοῦ πέμποντες ἀμοιβαδὶς στρατιώτας μὴ ἐνδιδόατε." ὁ δὲ αὐτοκράτωρ στοχασάμενος τοῦ δέοντος, καταλιπὼν τὴν τῶν ἀκροπόλεων πολιορκίαν, (ἐπεὶ δυσχερὴς ἦν καὶ καιροῦ δεομένη,) κἀκεῖθεν ἐξελθών, περί τινα ῥύακα ἀγχοῦ τοῦ Ἴστρου διακείμενον τὸν χάρακα ἐπήξατο, βουλευόμενος εἰ χρὴ προσβαλεῖν τοῖς Σκύθαις. ὁ μὲν οὖν Παλαιολόγος καὶ ὁ Μαυροκατακαλὼν Γρηγόριος τὸν μετὰ τῶν Πατζινάκων ἀνεβάλλοντο πόλεμον, ὁπλισαμένους δὲ συνεβούλευον τὴν μεγάλην D Περισθλάβαν καταλαβεῖν. "οἱ γὰρ Σκύθαι οὕτω πορευομένους ἡμᾶς καθωπλισμένους μετ' εὐκοσμίας θεώμενοι, οὐδαμῶς τὸν καθ' ἡμῶν ἀποθαρρήσουσι πόλεμον" ἔλεγον. "εἰ δὲ καὶ οἱ ἱππεῖς ἄτερ τῶν ἁμαξῶν τοῦ πολέμου κατατολμήσειαν, εὖ ἴσθι, ὡς ἡττηθήσονται, καὶ ἡμεῖς τοῦ λοιποῦ ὀχύρωμα ἐρυμνότατον τὴν μεγάλην ἕξομεν Περισθλάβαν." πόλις δὲ αὕτη περιφανὴς περὶ τὸν Ἴστρον διακειμένη, ποτὲ μὲν οὔτ' ὄνομα τοῦτο ἔχουσα τὸ βαρβαρικόν, ἀλλ' Ἑλληνίζουσα περὶ τὴν προσ-

4. ὅμως PG. correxi. 6. ἀμοιβαδὶς G, ἀμειβαδὸν P. ὁ δὲ βασιλεὺς καταλιπὼν A. 8. ἐπεὶ — δεομένη add. A. 9. κἀκεῖθεν ἐξελθών om. A. 11. ἀλλ' ὁ μὲν παλαιολόγος A. 12. μετ' αὐτῶν ἀνεβάλλοντο A. 14. οὕτω om. A. 15. καὶ ὡπλισμένους A. 18. ὡς om. C. 19. Περσθλάβαν A. apud Nicet. p. 486, 19 vocatur Πρισθλάβα. 21. τὸ om. G. ἀπὸ τῆς προσηγορίας G.

pare iugum inter cetera opportunissimum ibique castra collocate; ne otiose vacare oppugnationi imperator queat, sed ea simul, quae a tergo fiunt, respectet metu impendentis a vobis periculi. vos autem nec diem nec noctem praetermittite, quin milites per vices adversus eum succedere iubeatis." imperator cum quid facto opus esset videret, arcium oppugnatione utpote difficili et longinqua omissa, hinc digressus, ad rivum, qui ab Istro non multum aberat, castrametatus est, ecquid aggredi Scythas expediret, consultans. Palaeologus et Maurocatacalo Gregorius pugnam cum Patzinacis putabant differendam; armato instructoque exercitu Peristhlabam magnam proficiscendum censebant. "sic enim, inquiebant, ubi paratos nos et integris ordinibus euntes Scythae viderint, nequaquam pugnare nobiscum audebunt. sin forte equites sine curribus temere aggredi nos conentur, scito eos victum iri; nobis autem praesidium iam munitissimum fore magnam Peristh-

ηγορίαν, μεγάλη πόλις καὶ οὖσα καὶ λεγομένη· ἀφ' οὗ δὲ Μόκρος ὁ τῶν Βουλγάρων βασιλεὺς καὶ οἱ ἐξ ἐκείνου γενόμενοι καὶ προσέτι γε Σαμουὴλ ὁ τελευταῖος τῆς Βουλγαρικῆς V. 155 δυναστείας, καθάπερ ὁ Σεδεκίας τῶν Ἰουδαίων, τῆς ἑσπέρας P. 195 κατέδραμον, σύνθετον ἐκτήσατο τὴν προσηγορίαν ἀπό τε τῆς Ἑλληνικῆς σημασίας μεγάλη ἐπονομαζομένη καὶ τὴν ἀπὸ τῶν Σθλαβογενῶν ἐπισυρομένη λέξιν, μεγάλη Περισθλάβα πανταχόθεν τούτοις φημιζομένη. "ταύτην τοίνυν κρησφύγετον ἔχοντες" οἱ ἀμφὶ τὸν Μαυροκατακαλὼν ἔλεγον "καὶ ὁσημέραι δι' ἀκροβολισμῶν τοῖς Σκύθαις προσβάλλοντες, οὐ παυσόμεθα ζημιοῦντες αὐτούς, μηδ' ὅλως τούτους τῆς οἰκείας παρεμβολῆς χορταγωγίας χάριν ἢ τῆς τῶν χρειωδῶν συγκομιδῆς συγχωροῦντες ἐξεληλυθέναι." τούτων οὖν τῶν λόγων τριβομένων, B ἀποβάντες οἱ τοῦ Διογένους υἱοὶ τῶν σφετέρων ἵππων, οἷα νέοι καὶ τῆς τῶν μόθων κακότητος ἄγευστοι, ὅ τε Νικηφόρος καὶ ὁ Λέων, τοὺς χαλινοὺς ἀφελόμενοι, πλήξαντές τε αὐτοὺς κατὰ τῶν κέγχρων ἐξήλασαν, ἐπειπόντες "μὴ δέδιθι, βασιλεῦ· αὐτοὶ γὰρ τοὺς ἀκινάκεις σπασάμενοι διαμελίσομεν αὐτούς." ὁ δὲ βασιλεὺς φιλοκινδυνότατος ὢν καὶ προαρπάζειν πεφυκὼς τὰς μάχας, οὐδ' εἰς νοῦν ὅλως τῶν ἀπειργόντων αὐτὸν τοὺς λόγους ἐβάλλετο, ἀλλὰ τὴν βασιλικὴν σκηνὴν καὶ τὰς σκευὰς ἁπάσας ἀναθέμενος τῷ Κουτζομίτῃ Γεωργίῳ

3. γε om. G. 4. ὁ om. G. 5. κατέδραμεν C. 7. τάξιν CG. 14. σφοδροτέρων A. 18. τοὺς: αὐτοὺς G. τοὺς σκύθας διαμελίσομεν A. 20. ἀπαγόντων G. 21. ἀλλὰ: τὰ A. 22. Κουτζομύτῃ C.

labam." urbs haec illustris, ad Istrum sita, olim non barbarum habebat nomen, sed graeco appellata vocabulo, Megalopolis i. e. magna urbs et erat et dicebatur. ex quo autem Mocrus, Bulgarorum rex, quique eo orti erant, et post hos Samuel, qui ultimus Bulgaris imperavit, ut Sedecias Iudaeis, Occidentem incursarunt, nomen nacta est partim ex Graeco, partim ex Slavorum genere ductum, ut Peristhlaba magna passim audiat. "ex hac igitur urbe, tanquam tuto perfugio, inquiebat Maurocatacalo, quotidie velitantes, lacessere Scythas non desistemus, nec omnino pabulandi quaeque opus sunt comportandi causa castris egredi eos sinemus." talia dum pertractantur, Diogenis filii iuvenes et pugnae discriminum ignari, equis desilientes, fraenis eos demtis, in milii segetem propellunt, simulque "noli, inquiunt, imperator timere; ipsi enim acinacibus strictis concidemus eos." imperator cum ad pericula promptissimus atque ad proelia occupanda propensus esset, nulla dissuadentium ratione habita, Augustale tabernaculum et vasa omnia, Cutzomitae Georgio commendata,

πρὸς τὸ Βέτρινον ἐξέπεμψε, τὸ δὲ στράτευμα ἐπέταξε μὴ λύχνον, μηδὲ πῦρ ἀνάψαι τὸ παράπαν κατὰ τὴν ἑσπέραν C ἐκείνην, ἀλλὰ τοὺς ἵππους κατέχοντας ἐγρηγορέναι μέχρις ἡλίου ἀνατολῆς. αὐτὸς δὲ κατὰ τὸ περίορθρον ἔξεισι τῆς παρεμβολῆς καὶ τὰς δυνάμεις διελὼν καὶ τὰς φάλαγγας εἰς πολέμου καταστησάμενος σχῆμα, παραθέων ἐθεᾶτο τὸ στράτευμα. εἶτα τὴν μέσην τῆς παρατάξεως χώραν εἶχεν αὐτός, συμπληρουμένην ἀπό τε τῶν ἐξ αἵματος καὶ ἀγχιστείας προσηκόντων αὐτῷ συγγενῶν καὶ τἀδελφοῦ Ἀδριανοῦ τῶν Λατίνων τῷ τότε ἡγεμονεύοντος καὶ ἑτέρων γενναίων ἀνδρῶν. τοῦ δέ γε ἀριστεροῦ κέρως κατῆρχε Νικηφόρος Καῖσαρ ὁ Μελισσηνὸς ὁ ἐπ' ἀδελφῇ γαμβρὸς αὐτοῦ. κατὰ δὲ τὸ D δεξιὸν ἡγεμόνες ἵσταντο ὅ τε Κασταμονίτης καὶ ὁ Τατίκιος· τῶν δὲ ἐθνικῶν ὅ τε Οὐζᾶς καὶ ὁ Καρατζᾶς οἱ Σαυρομάται. ἓξ δὲ τὸν ἀριθμὸν διελόμενος, τὴν αὐτοῦ φυλακὴν ἐπέτρεψε, πρὸς αὐτόν τε ὁρᾶν παραγγείλας καὶ μηδενὶ τὸ παράπαν προσεσχηκέναι ἑτέρῳ, τούς τε δύο υἱούς φημι Ῥωμανοῦ τοῦ Διογένους καὶ Νικόλαον τὸν Μαυροκατακαλὼν πολλὴν ἐκ μακροῦ πεῖραν τῶν πολέμων ἐσχηκότα καὶ τὸν Ἰωαννάκην καὶ τὸν ἄρχοντα Βαραγγίας Ναμπίτην καὶ Γουλήν τινα καλούμενον πατρῷον θεράποντα. ἀλλὰ καὶ οἱ Σκύ-
P. 196 θαι σχῆμα πολέμου διατυπώσαντες, ἐκ φυσικῆς ἐπιστήμης

1. μὴ : μηδὲ G. 3. μέχρι τῆς τοῦ ἡλίου G. 7. μέσην A et in margine P, μεγάλην PG. 9. τοῦ ἀδελφοῦ A. 13. Κασταμωνίτης AG, Κασταμμωνίτης P. scripsi Κασταμονίτης, ut mox p. 206 B, coll. Nicet. p. 574, 7. 19. ἐσχηκότας G. 20. Ιωανάκην C. τὸν ἀμπίτην AG. Γούλην PG, γουλὴν A. vid. 241, 18.

Betrinum misit; exercitui edixit, ne ignem neve lampadem illo uspiam vespere accenderent, sed paratis ad manum equis, ad solis ortum vigilarent. ipse primo diluculo castris egreditur, divisisque copiis et in aciem collocatis, obiens exercitum lustrat. dein mediam ipse tenuit aciem, ubi consistebant, qui vel sanguine vel affinitate iuncti erant, frater eius Adrianus, qui Latinis tum praeerat, aliique viri fortissimi. sinistro cornu praefectus erat Nicephorus Caesar Melissenus, qui sororem imperatoris in matrimonio habebat; dextri cornu duces erant Castamonita et Taticius; sociis praeerant Uzas et Caratzas Sarmatae. sex autem numero elegit, quibus sui custodiam crederet, quos sibi solum adesse nec ad alium quenquam animum advertere iussit: filios dico Romani Diogenis et Nicolaum Maurocatacalonem, magnam longa militia rei bellicae experientiam adeptum, et Iohannacem Nampitemque Barangorum ducem, postremo Gulen quendam nomine, famulum paternum. verum etiam Scythae, qui naturalem quandam pu-

πολεμεῖν εἰδότες καὶ κατὰ φάλαγγα ἵστασθαι, καὶ λόχους
καθίσαντες καὶ τὰς τάξεις τοῖς τακτικοῖς δεσμήσαντες σφί-
γμασι καὶ καταπυργώσαντες οἱονεὶ ταῖς ἁρμαμάξαις τὸ στρά-
τευμα, ἰλαδὸν κατὰ τοῦ αὐτοκράτορος ᾖεσαν καὶ ἠκροβολί-
ζοντο πόρρωθεν. ὁ δὲ αὐτοκράτωρ συναρμόσας ταῖς ἴλαις
τὸ στρατόπεδον, τῶν ὁπλιτῶν οὐδενὶ προπηδᾷν ἐνετέλλετο,
οὐδὲ τὸν συνασπισμὸν λύειν, μέχρις ἂν ἀγχέμαχοι τοῖς Σκύ-
θαις γένωνται· εἶτ' ἐπειδὰν τὸ μεσαίχμιον ἀποχρῶν πρὸς
χαλινὸν ἕνα ἀμφοτέρων τῶν στρατευμάτων κατ' ἀλλήλων ἱεμέ-
νων θεάσοιντο, ὁμόσε κατὰ τῶν ἐναντίων χωρῆσαι. οὕτω τοίνυν B
τοῦ αὐτοκράτορος ἑτοιμαζομένου, πόρρωθεν ἀνεφάνησαν οἱ V. 156
Σκύθαι σὺν αὐταῖς ἁρμαμάξαις καὶ γυναιξὶ καὶ παισὶν ἐρχόμε-
νοι. συρραγέντος δὲ τοῦ πολέμου, ἀπὸ πρωΐας μέχρι δείλης
ἑσπέρας ἀνδροκτασία γέγονε πολλή, ἐξ ἑκατέρων τῶν μερῶν
πιπτόντων συχνῶν. ὁπηνίκα καὶ Λέων ὁ τοῦ προβεβασιλευ-
κότος Διογένους υἱὸς σφοδρότερον κατὰ τῶν Σκυθῶν ἐξιππα-
σάμενος καὶ πλέον τοῦ δέοντος πρὸς τὰς ἁμάξας παρασυρείς,
καιρίαν πληγεὶς πέπτωκεν. Ἀδριανὸς δὲ ὁ τοῦ κρατοῦντος
ἀδελφός, ὁ καὶ τὴν τῶν Λατίνων ἡγεμονίαν ἐμπεπιστευμέ- C
νος, τότε τὴν τῶν Σκυθῶν ὁρμὴν ἀνύποιστον θεασάμενος,

2. καθιστάντες G. τὰς om. G. 6. ἐπετέλλετο G. 8. ἐπειδὴ CG. 10. ἐναντίων : ἐν αὐτῷ G. 12. σὺν ταῖς ἁμάξαις G, σὺν αὐταῖς ἅμα ἁμάξαις A. 13. δείλης om. A. 15. προβεβασιλευκότος add. A. 16. σφοδρότερον A, σφοδρώτερον PG. 19. τὴν om. A. 20. τότε — θεασάμενος om. G.

gnandi ordinesque instruendi artem habent, ubi aciem instituerunt et subsidia in occulto collocarunt, ordinesque copulis, quae ex arte adhiberi solent, devinxerunt, ac velut vallum plaustra obiecerunt, turmatim in imperatorem invecti, iacula eminus miserunt. at imperator, cum turmis exercitum coniunxisset, gravis armaturae milites prosilire scutorumque contextum rumpere vetuit, donec Scythis appropinquassent; quodsi medium inter exercitum utrumque spatium iam non latius quam in unam equorum admissionem patere cernerent, tunc cum hostibus congrederentur. sic igitur imperatore parato, procul apparuerunt Scythae cum ipsis plaustris et mulieribus liberisque invadentes; proelioque commisso a prima luce usque ad vesperam magna utrimque caedes facta est. quo tempore etiam Leo, Diogenis quondam imperatoris filius, vehementius in Scythas invectus seque ad plaustra eorum propius, quam par erat, ferri passus, gravi vulnere accepto cecidit. Adrianus autem, imperatoris frater, qui Latinis praeerat, cum Scytharum impetum iam non sustinendum cerneret,

ὅλους ῥυτῆρας ἐνδοὺς καὶ μέχρι τῶν ἁμαξῶν ἑαυτὸν ἐμβαλών, ἔπειτα γενναίως ἀγωνισάμενος μετὰ ἑπτὰ καὶ μόνων ἐπανέστρεψε, τῶν ἄλλων ἁπάντων παρὰ τῶν Σκυθῶν ἀποσφαγέντων, τῶν δὲ κατασχεθέντων. τῆς δὲ μάχης ἐπὶ τρυτάνης ἱσταμένης, ἔτι ἐκθύμως ἀμφοῖν τῶν στρατευμάτων μαχομένων, ἐπεὶ λοχαγοί τινες τῶν Σκυθῶν μετὰ τριάκοντα πρὸς ταῖς ἓξ χιλιάδων πόρρωθεν ἐρχόμενοι ἀνεφάνησαν, οὐκέτι στέγειν πρὸς τοσούτους οἱ Ῥωμαῖοι ἔχοντες, τὰ νῶτα D τηνικαῦτα διδόασιν. ὁ μέντοι βασιλεὺς προβέβλητο τῆς οἰκείας δυνάμεως καὶ ξιφηφόρος εἱστήκει· τῇ ἑτέρᾳ δὲ τῶν χειρῶν τῆς τοῦ λόγου μητρὸς τὸ ὠμόφορον σημαίαν κατέχων, ἵστατο μεθ' ἱππέων γενναίων ἀνδρῶν εἴκοσι καταλειφθείς, Νικηφόρου φημὶ τοῦ υἱοῦ τοῦ Διογένους καὶ Μιχαὴλ πρωτοστράτορος τοῦ Δούκα καὶ ἀδελφοῦ τῆς Αὐγούστης, συμπαρόντων καὶ πατρῴων θεραπόντων. εἰσπηδήσαντες P. 197 δέ τινες πεζοὶ Σκύθαι τρεῖς, οἱ μὲν αἱροῦσιν αὐτὸν ἑκατέρωθεν τοῦ χαλινοῦ, ὁ δὲ ἀπὸ τῆς κνήμης τῆς δεξιᾶς. ὁ δὲ τοῦ ἑνὸς τὴν χεῖρα εὐθὺς ἀποτέμνει, ἕτερον δέ, τὸν ἀκινάκην ἀνατείνας καὶ ἐμβριμησάμενος, ὀπισθόρμητον ἐποίησε· τὸν δὲ τῆς κνήμης τοῦτον κατέχοντα πλήττει κατὰ τῆς κόρυθος. τὴν δὲ φορὰν τοῦ ξίφους ἐλαφροτέραν ἐπήνεγκε, οὐδ' ὅλῃ χειρὶ τὴν πληγὴν ἐποίει, πτοούμενος μὴ δυεῖν θάτερον αὐτῷ συμβαίη, τῆς σφοδρωτέρας φορᾶς τῶν ξιφῶν ὡς

2. ἔπειτα : καὶ A. μόνων A, μόνον PG. 3. ἀνέστρεψε A. 4. τῶν δὲ : τε καὶ A. 10. δὲ om. A. 14. τῷ τοῦ Δούκα G. 16. αἴρουσιν A. 18. εὐθὺς τὴν χεῖρα G. 22. οὐδ' — ἐποίει om. G. δυεῖν A, δυοῖν PG. 23. σφοδροτέρας A, σφοδρωτέρας PG.

admisso equo usque ad plaustra processit, et postquam fortiter pugnavit, cum septem tantum comitibus reversus est, ceteris omnibus a Scythis aut interfectis aut captis. erat anceps adhuc belli fortuna et ab utroque exercitu pari alacritate pugnabatur, cum duces nonnulli Scytharum cum triginta sex millibus procul conspiciebantur. tum enimvero Romani, tantis hostium copiis non amplius pares, terga verterunt. at imperator ante aciem suorum stricto stabat gladio, altera manu Matris verbi divini humerale tanquam vexillum tenens, equitibus viginti fortissimis, Nicephoro Diogenis filio et Michaele protostratore Duca, Augustae fratre, paternisque servis adstantibus. cumque Scythae tres pedites inveherentur, quorum duo utrimque frenos corripiunt, tertius tibiam prehendit dexteram, imperator unius statim abscidit manum, alterum acinace obiecto, graviter interminans, in fugam vertit; eum denique,. qui tibiam prehenderat, pulsavit in galea. sed ictum leviorem intulit, nec tota manu in plagam

ἐπίπαν διολισθαινούσης, καὶ ἢ τὸν ἑαυτοῦ πόδα πλήξῃ ἢ τὸν ἵππον, ἐν ᾧ ἐπωχεῖτο, καὶ οὕτως ἁλώσιμος τοῖς ἐχθροῖς γένηται. διὰ τοῦτο καὶ δευτέραν αὐτῷ γοργῶς ἐπάγει πληγήν, μετὰ νουνεχείας τὰς τῆς χειρὸς κινήσεις ποιούμενος. ἐν πά- B σαις γὰρ ταῖς πράξεσι καὶ τοῖς λόγοις καὶ τοῖς κινήμασι τὸν λόγον εἶχεν ἐπιστατοῦντα, οὔθ' ὑπὸ θυμοῦ ἐκφερόμενος οὔτ' ἐπιθυμίαις ὑποσυρόμενος. τῆς κόρυθος δὲ προαναδραμούσης τῇ προτέρᾳ πληγῇ, τῇ τοῦ Σκύθου κεφαλῇ ψιλῇ τὸ ξίφος προσέπαισεν. ὁ δ' εὐθὺς ἄφωνος κατὰ γῆς ἔκειτο. τὴν οὖν ἄμετρον φυγὴν τῶν ταγμάτων θεασάμενος ὁ πρωτοστράτωρ, (αἱ φάλαγγες γὰρ ἤδη διεσπάσθησαν φευγόντων ἀκρατῶς,) "ἵνα τί" φησιν "ὦ βασιλεῦ, τοῦ λοιποῦ ἐνταῦθα πειρᾶσαι ἐγκαρτερεῖν; ἵνα τί τὴν ζωὴν προδίδως ἀφειδήσας παντάπασι τῆς ἑαυτοῦ σωτηρίας;" ὁ δὲ βέλτιον γενναίως μαχομένους C ἀποθανεῖν ἔφη, ἢ ἀγεννές τι πεποιηκότας σωθῆναι. ὁ δὲ V. 157 πρωτοστράτωρ "εἰ μὲν τῶν κοινῶν εἷς τις ὢν τοῦτ' ἔλεγες, ἐπαίνου ἦς ἄξιος· εἰ δὲ ὁ σὸς θάνατος κοσμικὸν ἐπάγει τὸν κίνδυνον, ἵνα τί μὴ τὸ βέλτιον αἱρῇ; εἰ γὰρ σωθείης, καὶ αὖθις πολεμήσας νικήσεις." τὸν οὖν κίνδυνον ὑπὲρ κεφαλῆς ἤδη ἱστάμενον ὁρῶν ὁ αὐτοκράτωρ, ἀναισχύντως τῶν Σκυθῶν αὐτῷ προσβαλλόντων, καὶ τὰς σωζούσας ἀπεγνωκὼς ἐλ-

1. πλήξῃ: παρέξῃ C. 4. τὰς om. G. 6. οὐδ' G. 9. προσέπεσεν C. ἔκειτο κατὰ γῆς G. 10. τῶν ταγμάτων om. PG, add. C, τὴν τῶν ταγμάτων οὖν A. 12. πειρᾶσαι ἐνταῦθα A, ἐγκαρτερεῖν πειρῶ G. 14. σεαυτοῦ A. μαχομένοις G. 18. σωθείης AG, σωθεὶς P. 19. πολεμήσων A. 20. ἰδὼν A.

incubuit, veritus ne ictu gladii vehementiori, quod fit plerumque, in irritum cadente, alterutrum accideret, percuteretque aut suum ipsius pedem, aut equum, quo vehebatur, ac tali modo ab hostibus caperetur. quare alteram celeriter plagam intulit, cautissime manum moderans. in omnibus enim actionibus verbisque et motibus rationem habuit quasi dominatricem, nec ira se efferri, nec cupiditatibus rapi passus. galea autem priore iam ictu deiecta, nudum Scythae caput gladio percussit, ut mutus hic in terram statim procideret, sed effusam ordinum fugam cum protostrator cerneret, (acies enim soluta iam erat, fugientibus sine respectu copiis,) "quid tu, inquit, imperator, diutius hic morari conaris? quid vitam profundis, nec ullam salutis tuae rationem habes?" cui ille "praestat, generose pugnantem mori, quam ignava fuga salutem petere." sed protostrátor "si unus aliquis de multis, inquit, ita diceres, laude sane dignus esses; nunc cum in tuo capite publicum agitur discrimen, cur meliora non praefers? nam servatus ubi fueris, renovato bello vinces." itaque cum mortem impendere

πίδας, "καιρὸς ἤδη τῆς ἑαυτῶν σὺν θεῷ πεφροντικέναι σω-
D τηρίας" εἶπε, "πλὴν ἀλλ' οὐ τὴν αὐτὴν τοῖς φεύγουσι πορεύεσθαι δεῖ, ὅπως μὴ οἱ τοὺς ἡμετέρους διώκοντες ἐν τῷ ἐπανέρχεσθαι συναντῶσιν ἡμῖν, ἀλλὰ χρὴ" ὑποδείξας τῇ χειρὶ τοὺς κατὰ τὸ ἄκρον τῆς παρατάξεως ἱσταμένους Σκύθας "κατ' αὐτῶν ἐξιππάσασθαι, ὡς σήμερον γεννηθέντας καὶ τεθνηξομένους, καὶ οὕτως ὄπισθεν θεοῦ ἐπαρήγοντος τῆς τῶν Σκυθῶν γεγονότες παρατάξεως, ἐφ' ἑτέραν ἄτραπον βαδιούμεθα." ταῦτα εἰπὼν καὶ τοὺς ἄλλους ἐποτρύνας, πρῶ-
P. 198 τος αὐτὸς ὡς πῦρ κατὰ τῶν Σκυθῶν ἴεται καὶ τὸν συναντήσαντα παίει· ὁ δ' εὐθὺς ἐξεκυλίσθη τῆς ἕδρας. καὶ οὕτω τοῦ Σκυθικοῦ συνασπισμοῦ διασχισθέντος, μετὰ τῶν ἀμφ' αὐτὸν τὴν ὄπισθεν τῶν Σκυθῶν κατέλαβε χώραν. ἀλλὰ ταῦτα μὲν ὁ βασιλεύς. τὸν δὲ πρωτοστράτορα, ὀλισθήσαντος αὐτῷ τοῦ ἵππου, κατενεχθῆναι συμβέβηκεν. εἷς δέ τις τῶν αὐτοῦ θεραπόντων παραχρῆμα τὸν ἴδιον αὐτῷ ἐπιδίδωσιν ἵππον. ἐφθακὼς δὲ τὸν αὐτοκράτορα, οὐκέτι αὐτοῦ χωρίζεται οὐδὲ βῆμα ποδός, ἐξόχως τοῦτον ποθῶν. συγχύσεως δὲ πολλῆς οὔσης, τῶν μὲν φευγόντων, τῶν δὲ διωκόντων, φθάνουσιν
B αὖθις καὶ ἕτεροι Σκύθαι τὸν βασιλέα. καὶ ὃς παραχρῆμα ἐπιστραφείς, πλήττει τὸν διώκοντα, οὐκ αὐτὸν δὲ μόνον,

4. ἡμῖν : αὐτῷ A. 10. ἴεται PG, recte A. 11. ἐνέδρας A. 12. διασχισθέντας P, διαπεφευγοντος A, recte CG. 13. αὔτὸν P, αὐτὸν AG. κατέλαβε CA, ἔλαβε PG. 15. συμβέβηκεν A, συνέβηκεν PG. 16. ἐπιδίδωσιν A, δίδωσιν PG. 20. καὶ prius add. A.

sibi imperator cerneret, Scythis insolenter irruentibus, omni spe abiecta, "tempus, inquit, iamiam est, saluti ope divina consulere; neque tamen eandem, quam fugientes copiae, viam ingredi debemus, ne qui nostros persequuntur, redeuntes occurrant nobis; sed in istos" manu ostendebat eos Scythas, qui in prima acie stabant, "invehi nos oportet, tanquam hodie natos et morituros, ut deo iuvante, perruptis Scytharum ordinibus, aliam capessamus viam." his dictis, ubi ceteros adhortatus est, primus ipse ignea celeritate in Scythas involat, primumque obvium percutit atque de equo statim proturbat. ita interrupta Scytharum acie, cum comitibus in aversa pervenit. haec quidem imperator; protostratori autem accidit, ut equo lapso, in terram decideret. sed cum eidem servorum unus suum illico equum ultro suppeditasset, cito imperatorem assecutus, ab eius latere ne unguem quidem latum discessit: tanto eius amore tenebatur. perturbatione autem orta maxima et fugientium et insequentium, alii rursus Scythae consequuntur imperatorem. qui repente conversus, instan-

ἀλλὰ καὶ ἄλλους οὐκ ὀλίγους, ὡς οἱ τότε συμπαρόντες διενίσταντο, ἀνεῖλεν. εἷς δέ τις Σκύθης Νικηφόρον τὸν Διογένην ἐξ ὀπισθίων φθάσας πλήττειν ἔμελλεν. ὃν ὁ αὐτοκράτωρ θεασάμενος, πρὸς τὸν Διογένην ἐφώνει "ὅρα καὶ ὄπισθεν, Νικηφόρε." ὁ δὲ γοργῶς ἐπιστραφείς, πλήττει αὐτὸν κατὰ τῆς ὄψεως. καὶ ὡς τοῦ βασιλέως ἐν τοῖς ὑστέροις χρόνοις διηγουμένου ἠκηκόειμεν, οὐδέποτε τάχος τοιοῦτον οὐδὲ περιδεξιότητα ἀνδρὸς ἐθεάσατο. καὶ ὡς "ἐγὼ" φησιν "εἰ μὴ τὴν σημαίαν κατεῖχον κατ' ἐκείνην τὴν ἡμέραν, ὑπὲρ τὰς C ἰδίας τρίχας πλήξας ἂν Σκύθας ἀνεῖλον," οὐ περιαυτολογῶν. τίς γὰρ τοσοῦτον εἰς ἔσχατον ταπεινότητος ἤλασεν; ἀλλὰ γὰρ ὁ λόγος καὶ τῶν πραγμάτων ἡ φύσις αὐτὸν ἠνάγκαζε, καὶ τὰ κατ' αὐτὸν πρὸς ἡμᾶς κύκλοθεν τοὺς ἰδίους αὐτοῦ ἐνίοτε ἐκλαλεῖν, καὶ ταῦτα παρ' ἡμῶν πολλὰ βιαζόμενον· πρὸς δὲ τοὺς ἔξωθεν οὐδεὶς τῶν ἁπάντων ἤκουεν ὑπέρκομπόν τι τὸν αὐτοκράτορα διηγούμενον. ἀνέμου δὲ σφοδροῦ πνεύσαντος καὶ τῶν Πατζινάκων προσβαλλόντων, οὐκέτι εὐτόνως εἶχε τὴν σημαίαν κατέχειν ὁ βασιλεύς. ἐπεί δέ τις Σκύθης D μεταχειρισάμενος δόρυ μακρὸν δι' ἀμφοτέρων τῶν χειρῶν, ἔπληξεν αὐτὸν κατὰ τοῦ γλουτοῦ, διέτρησε μὲν τὸν χρῶτα

1. οὐκ ὀλίγους add. A. παρόντες A. διενίσταντο C et in margine P, ἐδιηγήσαντο PG, ἔλεγον A. 3. ἐξόπισθεν A. 4. ἔφη A. 6. τοῖς add. A. 7. ἠκούομεν P in margine. 8. ἤπερ δεξιότητα P, ἢ περιδεξιότητα A, οὐδὲ περιδεξιότητα CG. καὶ ὡς, εἰ μὴ τὴν σημαίαν φησίν, ἐγὼ κατ' ἐκείνην τὴν ἡμέραν κατεῖχον A. 18. ὁ βασιλεύς om. C. 19. μεταχειρήσαμενος P, recte AG.

tem barbarum percutit, neque hunc solum, sed et alios non paucos interemit, ut qui praesentes tum fuere, enarrarunt. Scytharum unus Nicephorum Diogenem, a tergo assecutus, gladio petebat; quo conspecto imperator, alte voce Diogenem appellans, "vide, inquit, etiam retro, Nicephore!" celerrime hic conversus, barbarum in facie percutit; ac memini imperatorem postea narrare, nullius se unquam tantam velocitatem dexteritatemque vidisse. "atque ego, 'addebat, nisi vexillum tenuissem illo die, plus, quam pili in capite sunt, Scytharum occidissem." neque tamen gloriosius haec de se praedicavit; quis enim eo humilitatis atque modestiae processit? sed et narrationis serie et rerum gestarum natura cogebatur, ut etiam sua interdum facinora in privatis nostris familiarium circulis enarraret, idque vehementer instantibus nobis: adversus alieniores nemo unquam magnifice loquentem imperatorem audivit. vento autem vehementi perflante irruentibusque Patzinacis, imperator vexillum sustinere vix poterat: cumque Scytharum unus, hastam longam utraque impellens manu, clunes

οὐδαμῶς, ὀδύνην δὲ ἐνεποίησεν ἀνήκεστον, ἥτις ἐπὶ πολλοῖς
V. 158 διέμεινεν αὐτῷ ἔτεσιν. διὰ τοῦτο ἐπὶ τοσοῦτον βιασθείς, τὴν
σημαίαν περιστείλας ἔν τινι τῶν χαμαιδρύων κατατίθησιν,
ὡς μηκέτι ὁρᾶσθαι παρά του. οὗτος δὲ διὰ τῆς νυκτὸς διεσώθη εἰς Γολόην· ὅτε καὶ ἔλεγον οἱ πολῖται "ἀπὸ τὴν Δρίστραν εἰς Γολόην καλὸν ἄπληκτον, Κομνηνέ." καὶ μεθ' ἡμέ-
P. 199 ρας καταλαβὼν τὴν Βερόην, διεκαρτέρει πρίασθαι τοὺς δορυαλώτους ἐθέλων.

4. Ὁ δὲ Παλαιολόγος ἐν τῷ φεύγειν τῶν ταγμάτων ἡττηθέντων κατὰ τὴν ἡμέραν ἐκείνην κατενεχθεὶς τοῦ ἵππου, ἀπώλεσε τοῦτον· ἐν ἀμηχανίᾳ δὲ ὢν καὶ τὸν κίνδυνον ἱστάμενον ὑπὲρ κεφαλῆς ὁρῶν, περιαθρήσας, εἴ που γένοιτό οἱ τοῦτον θεάσασθαι, ὁρᾷ τὸν τῆς Χαλκηδόνος πρόεδρον Λέοντα, περὶ οὗ ἄνωθεν ἐμνήσθημεν, τὴν ἱερατικὴν στολὴν ἠμφιεσμένον, ἵππον ἐπιδιδόντα αὐτῷ, ἐν ᾧ ἐπιβὰς εἴχετο τῆς φυγῆς· τὸν δὲ ἱεροπρεπῆ ἐκεῖνον ἄνδρα οὐκέτι τεθέα-
B ται. ἦν δ' ἄρα οὗτος παρρησιαστικὸς τὴν ψυχὴν καὶ ἀληθῆ χαρακτῆρα ἐμφαίνων ἀρχιερέως, φρονήματος μέντοι ἁπαλωτέρου καὶ τὸν ζῆλον ἔστιν οὗ οὐ κατ' ἐπίγνωσιν ἐνδεικνύμενος, καὶ οὐδὲ τῶν ἱερῶν κανόνων ἀκριβῆ γνῶσιν εἶχε. διὸ καὶ ἅπερ ἄνωθεν εἴρηται συνεπεπτώκει αὐτῷ λυπηρά, καὶ

2. αὐτῷ om. A, ἔτεσιν αὐτῷ G. 4. παρ' αὐτοῦ A. 5. ὅτε — Κομνηνέ add. A. an ὅθεν? τῆς Δρίστρας male coni. Hoeschel. 6. καλλὸν A, correxit Hoeschel. 13. τοιοῦτον A. 14. περὶ om. G. ἄνωθεν: ὄπισθεν A. 15. ante ἵππον add. A καί. 18. lege ἁπλοωτέρου. 19. οὐ om. G.

eius percussisset: tametsi cutem non perforavit, gravissimum inussit dolorem, qui multos deinceps annos duravit. tandem hac re coactus, vexillum complicatum in trixagine posuit, ut a nemine iam conspiceretur. ipse nocturna fuga Goloen incolumis pervenit; unde etiam cives "Dristra fugienti bellum diversorium Goloe, Comnene." luce orta, Beroen pervectus, captivos redimendi gratia ibi permansit.

4. Palaeologus autem, inter fugiendum, ordinibus dissipatis, eo die equo deiectus, hunc amisit; cumque in summis angustiis esset periculumque capiti impendere cerneret, circumspiciens, si forte ille appareret, videt ecce Chalcedonensem praesulem Leonem, cuius supra meminimus, sacerdotali indutum stola, equum ipsi ultro offerentem; quo ille conscenso, fugere perrexit: sanctum istum hominem non amplius conspexit. erat is sane animo vel maxime ingenuo veramque sacerdotis speciem praestabat; quanquam simplicioris erat mentis, zelumque nonnunquam haud secundum scientiam ostendebat, ac ne canonum quidem sacrorum exactam habebat notitiam. hinc etiam, quae

τοῦ θρόνου ἐξέπεσεν. ἐξείχετο δὲ τοῦ ἀνδρὸς ὁ Παλαιολόγος ἀεὶ καὶ διαφερόντως ἐτίμα διὰ τὸ περιὸν αὐτῷ τῆς ἀρετῆς. εἴτε οὖν διὰ τὴν θερμοτάτην πίστιν τὴν εἰς τὸν ἄνδρα τοῦτον ὁ Παλαιολόγος θείας ἔτυχεν ἐπιφανείας, εἴτ' ἄλλο τι ἦν τῆς προνοίας ἀπόρρητον κατὰ τουτονὶ τὸν ἀρχιερέα τὸ φαινόμενον, οὐκ ἔχω λέγειν. διωκόμενος δὲ ὑπὸ τῶν Πατζινάκων C εἰς ἐλώδη τόπον καὶ συνηρεφῆ εἰσελθών, περιτυγχάνει στρατιώταις τὸν ἀριθμὸν ἑκατὸν πρὸς τοῖς πεντήκοντα. περικυκλούντων αὐτοὺς τῶν Σκυθῶν, ὡς ἐν ἀμηχανίᾳ τὰ κατ' αὐτοὺς ἑώρων, πρὸς τοσούτους ἀντέχειν μὴ ἐξισχύοντες, τῆς τοῦ Παλαιολόγου ἐξήρτηντο γνώμης, πάλαι τούτου τὸ γενναῖον καὶ ἀκατάσειστον τῆς γνώμης γινώσκοντες. αὐτὸς δὲ κατὰ τῶν Σκυθῶν ὁρμῆσαι συνεβούλευε, τῆς κατ' αὐτοὺς παντάπασιν ἀφειδήσαντας σωτηρίας, κἀντεῦθεν, οἶμαι, ταύτην ὠνήσασθαι. χρὴ δὲ δι' ὅρκων ταυτηνὶ τὴν βουλὴν ἐμπεδῶσαι, (ὃ δὴ καὶ γέγονεν,) ὡς τηνικαῦτα μιᾶς γνώμης ἁπάντων γεγονότων D, τῆς κατὰ τῶν Σκυθῶν ὁρμῆς μηδένα ἀπολειφθῆναι, τὴν σωτηρίαν καὶ τὸν κίνδυνον ἴδιον ἑκάστου λογισαμένου. ὁ μὲν οὖν Παλαιολόγος σφοδρὰν τὴν ἱππασίαν ποιησάμενος, παίει τὸν αὐτῷ πρώτως ὑπαντήσαντα· ὁ δ' εὐθὺς σκοτοδινιάσας κατὰ γῆς ἔκειτο. τῶν δὲ λοιπῶν μετὰ διψυχίας τὴν

5. τὸν om. A. 6. οὐκ ἔχω λέγειν om. C. ὑπὸ τῶν σκυθῶν A. 9. αὐτούς: δὲ αὐτὸν A. 14. ἀφειδήσαντες G. 16. ὃ δὴ καὶ γέγονεν om. C. 20. ὑπαντιάσαντα A. δ' AG, δὲ P.

supra narravimus, mala sibi contraxit thronoque excidit. Palaeologus autem perpetuo amplexus est hominem et praecipue propter summas, quibus excellebat, virtutes coluit. utrum igitur propter ferventissimam Palaeologi erga hunc virum fidem divinae apparitionis compos factus sit, an aliud fuerit providentiae consilium arcanum, quod in hoc sacerdote eluxit, non habeo dicere. Patzinacis igitur insequentibus, cum Palaeologus in palustrem ac fruticosum locum delatus esset, milites ibi offendit centum et quinquaginta. hi circumventi a Scythis, cum in angustias adductos se esse cernerent, quod tanto Scytharum numero impares erant, ex Palaeologi consilio pendebant, cuius dudum fortitudinem animique praesentiam cognoverant. is ut sua quisque salute neglecta in Scythas inveherentur, talique modo vitam redimerent, suasit. sed iureiurando, inquit, confirmari hoc consilium oportet, (quod etiam factum est) ut eodem ab omnibus consilio inito, nemo in impetu adversus Scythas faciendo desit, sed omnium et salutem et periculum ducat suum. vehementi igitur impressione facta, Palaeologus primum qui occurrit percutit, ut vertigine correptus, statim corrueret; ceteri, contracto animo aggressi, alii

P. 200 ἱππασίαν ποιησαμένων, οἱ μὲν πεπτώκασιν, οἱ δὲ αὖθις ὡς εἰς φωλεὸν τὸ συνηρεφὲς ἄλσος παλινοστήσαντες, ἑαυτοὺς ἔσωσαν κρυπτόμενοι. ἐν δὲ τῷ τὸν Παλαιολόγον ἀκρολοφίαν τινὰ καταλαμβάνειν ὑπὸ τῶν Πατζινάκων αὖθις διωκόμενον, συνέβη τὸν ἵππον πληγέντα καταπεσεῖν, αὐτὸν δὲ τηνικαῦτα εἰς τὸ παρακείμενον ὄρος εἰσδῦναι. ἀναζητῶν δὲ τὴν σώζουσαν ὁδόν, ἐπεὶ ῥᾳδίως μὴ ἐξῆν αὐτῷ ταυτὴν εὑρηκέναι, ἐπὶ ἕνδεκα ἡμέραις πλανώμενος περιτυγχάνει γυναικί τινος στρα-
V. 159 τιώτου χήρᾳ καὶ ἐπιξενίζεται παρ' αὐτῆς ἐφ' ἡμέραις τισί· σωθέντες δὲ τοῦ κινδύνου καὶ οἱ ταύτης υἱεῖς στρατιῶται ὄντες
B τὴν σώζουσαν τούτῳ ὁδὸν ὑποδεικνύουσιν. ἀλλὰ τοιαῦτα μὲν τῷ Παλαιολόγῳ συμπεσόντα. οἱ δέ γε τῶν Σκυθῶν λογάδες οὓς κατέσχον δορυαλώτους ἀποκτεῖναι ἐβουλεύοντο, τὸ δὲ πλῆθος τοῦ κοινοῦ τὸ παράπαν τοῦτο οὐ συνεχώρει, βουλόμενοι ἀπεμπολῆσαι τούτους τιμῆς. ταύτης γοῦν τῆς βουλῆς κυρωθείσης, δίδοται γνῶσις τῷ βασιλεῖ διὰ γραμμάτων τοῦ Μελισσηνοῦ, ὃς πολλὰ πρὸς τοῦτο, κἂν δορυάλωτος ἦν, τοὺς Σκύθας ἠρέθιζεν. ὁ δὲ βασιλεὺς εἰς Βερόην ἔτι ἐνδιατρίβων, τῆς βασιλίδος τῶν πόλεων χρήματα ἱκανὰ μετακομίσας, ἐπρίατο τοὺς δορυαλώτους.

5. *Καταλαμβάνει δὲ τηνικαῦτα καὶ ὁ Τατὸς τὸν Ἴστρον*
C μεθ' ὧν ὑπεποιήσατο Κομάνων, οἳ τὴν τοσαύτην λείαν καὶ

1. ὡς add. C. 4. σκυθῶν A. 5. τηνικαῦτα om. A. 7. αὐτῷ add. A. 8. γυναικί τινι χήρᾳ A. 9. ἐφ' add. A. 10. ἐκ τοῦ coni. Hoeschel. καὶ add. A. υἱοὶ A. στρατιῶται ὄντες add. A. 18. διατρίβων A. fortasse ἐκ τῆς. 21. τατοὺχ AG, Τατοὺ C. 22. κομμάνων A ubique. τοσαύτην CA, τοιαύτην PG.

occiderunt, alii in densae silvae latebras reversi sese occultarunt. cum Palaeologus collem ascenderet, iterum Patzinacis insequentibus, accidit, ut equus vulneratus caderet: ipse montem adiacentem subiit. inde viam, qua se reciperet, quaeritans, quum facile reperiri non posset, undecim dies in saltu oberravit: tandem a vidua militis hospitio per aliquot dies exceptus est, cuius filii, periculo et ipsi perfuncti milites, viam ipsi monstrarunt. haec quidem Palaeologo acciderunt. Scytharum autem duces cum captivos interficere in animo haberent, multitudo id nequaquam permisit, sed venumdari eos iussit. haec ubi vicit sententia, imperatori res nuntiata est Melisseni litteris. qui, licet ipse captivus, multum Scythas ad hoc consilium adhortatus est. imperator, Beroae adhuc commorans, pecunia sat multa ex urbe apportata, captivos redemit.

5. Eodem tempore Tatus ad Istrum pervenit cum iis, quos collegerat, Comanis. qui ubi tantam praedam captivorumque multitudinem

τὸ πλῆθος τῶν δορυαλώτων θεασάμενοι, τοῖς ἡγεμόσι τῶν Σκυθῶν ἔφασαν, ὡς "ἡμεῖς μὲν τὰ οἴκοι καταλιπόντες, εἰς ὑμετέραν ἤλθομεν βοήθειαν, τὴν τοσαύτην ὁδὸν διηνυκότες, ἐφ' ᾧ καὶ τοῦ κινδύνου καὶ τῆς νίκης συγκοινωνοὶ γενήσεσθαι. τὸ γοῦν ἡμέτερον ἅπαν συνεισενεγκόντας, οὐ χρὴ κενοὺς αὖθις ἀποπεμφθῆναι. οὐ γὰρ ἐκ προαιρέσεως τοῦ πολέμου κατόπιν καιροῦ ἔφθημεν ἐληλυθότες, οὐδὲ αὐτοὶ τούτου αἴτιοί ἐσμεν, ἀλλ' ὁ προαρπάσας τὸν πόλεμον βασιλεύς. ἢ γοῦν κοινῇ μεθ' ἡμῶν τὴν λείαν πᾶσαν διαμερίσασθε, ἢ ἀντὶ συμ- D μάχων πολεμίους ἡμᾶς ἕξετε." πρὸς τοῦτο ἀνένευσαν οἱ Σκύθαι. τῶν δὲ Κομάνων τοῦτο μὴ φερόντων, σφοδρὸς ἀναμέσον αὐτῶν ἀναρρήγνυται πόλεμος, καὶ κατὰ κράτος οἱ Σκύθαι ἡττηθέντες, εἰς τὴν καλουμένην Ὀζολίμνην μόλις ἐσώθησαν. στενούμενοι δὲ παρὰ τῶν Κομάνων, ἐφ' ἱκανὸν ἐκεῖσε διέτριβον, τὴν μετάβασιν μὴ ἀποθαρροῦντες. ἡ δὲ νῦν παρ' ἡμῖν Ὀζολίμνη κατονομαζομένη μεγίστη μέν ἐστι κατά τε διάμετρον καὶ περίμετρον, καὶ τῶν ὅπου δήποτε φημιζομένων παρὰ τοῖς γεωγράφοις λιμνῶν μηδεμιᾶς εἰς μεγέθους λόγον ἐλλείπουσα· κεῖται δὲ τῶν Ἑκατὸν βουνῶν ὕπερθεν, καὶ εἰς P. 201 αὐτὴν μέγιστοί τε καὶ κάλλιστοι συρρέουσι ποταμοί· καὶ κατὰ νότον πολλάς τε καὶ μεγάλας καὶ φορτηγοὺς ἐστιν ἀνέχουσα νῆας, ὡς εἶναι κἀντεῦθεν δῆλον τὸ βάθος αὐτῆς ὁπό-

2. μὲν om. A. 3. ὑμετέραν AG, ἡμετέραν P. τὴν τοσαύτην ὁδὸν A, τὴν τόσην τε PG. 4. κοινωνοὺς G. 5. αὖθις : ἡμᾶς A. 6. τὴν τοῦ πολέμου CG. 15. παρ' ἡμῖν om. A. 16. καὶ τὴν διάμετρόν τε καὶ τὴν περίμετρον C. 17. ὁποίων δή ποτε A. 18. γεογράφοις PG, correxi. 19. τὸν P. 21. νότον A, νώτου PG. πολλάς τε καὶ om. A. ἐστιν add. A. 22. εἶναι : ῃ A. ὁπόσον τί ἐστιν om. A.

conspexerunt, cum ducibus Scytharum ita egerunt. "sese domibus relictis, longam emensos viam, eo animo ipsis auxilio venisse, ut et periculi et victoriae participes forent. iam cum pro sua parte nihil reliqui fecissent, non decere vacuos se dimitti. neque enim data opera, bello iam finito, advenisse, nec sua id culpa factum esse, sed imperatoris proelium occupantis. itaque nisi praedam secum omnem partirentur, pro sociis se hostes futuros. id cum Scythae recusassent, a Comanis indignabundis atroci proelio funditus devicti, ad Ozolimnam quae dicitur aegre evaserunt. ubi circumsidentibus Comanis, satis diu commorati sunt, prodire metu hostium non ausi. est haec, quae nunc a nobis Ozolimna nominatur, palus amplissima, sive latitudinem sive circuitum spectas, nec ulli earum, quae uspiam a geographis celebrantur, magnitudine inferior. sita est supra Centum

σον τί ἐστιν. Ὀζολίμνη δὲ κατωνόμασται, οὐχ ὅτι κακοῦ τι-
νος καὶ βαρυόδμου ἀναδίδωσιν ἀποφοράν, ἀλλ' ὅτι Οὐννικῆς
ποτὲ στρατιᾶς ἐπιφοιτησάσης τῇ λίμνῃ (τούτους δὲ τοὺς Οὔν-
νους Οὔζους ἡ ἰδιῶτις ἀπεκάλεσε γλῶσσα) καὶ περὶ τοὺς
ὄχθους τῆς λίμνης αὐλισαμένης, Οὐζολίμνην τὴν τοιαύτην προσ-
ηγορεύκασι λίμνην, μετὰ προσθήκης, οἶμαι, καὶ τοῦ υ φωνήεν-
B τος. καὶ ἀπὸ μὲν τῶν παλαιῶν συγγραμμάτων οὐχ εὕρηταί
πω συνελαθὲν ἐνταῦθα Οὐννικὸν στράτευμα, ἐπὶ δὲ τοῦ αὐτο-
κράτορος Ἀλεξίου τότε πάντες ἁπανταχόθεν ἐκεῖσε συνερρωγότες
τῷ τόπῳ δεδώκασι τοὔνομα. τὰ μὲν οὖν περὶ τῆς λίμνης
ὧδέ πη ἐχέτω, ὥσπερ παρ' ἡμῶν νῦν πρώτως ἱστορούμενα,
ἵν' ἐνδειξαίμεθα, ὅτι τοῦ αὐτοκράτορος Ἀλεξίου ταῖς πολλαῖς
καὶ πολλαχοῦ στρατηγίαις νῦν ἀφ' ἑαυτοῦ, νῦν δὲ ἀπὸ τῶν
V. 160 ἐπισυρρυέντων ἐχθρῶν πολλὰς ἐλάμβανον οἱ τόποι προσηγο-
ρίας. τοιοῦτον δέ τι καὶ ἐπὶ Ἀλεξάνδρου τοῦ τῶν Μακεδό-
C νων βασιλέως καταμανθάνω. καὶ γὰρ ὅπου μὲν Ἀλεξάνδρεια
ἡ κατ' Αἴγυπτον, ὅπου δὲ ἡ Ἀλεξάνδρεια ἡ κατ' Ἰνδοὺς ἀπ'
ἐκείνου ὠνόμασται, ἴσμεν δὲ καὶ ἀπὸ Λυσιμάχου τινὸς τῶν
ἀμφ' αὐτὸν στρατιωτῶν Λυσιμάχειαν κατονομάζεσθαι. οὐκ
ἂν οὖν θαυμασαίμην, εἰ καὶ ὁ βασιλεὺς Ἀλέξιος ζῆλον Ἀλε-

2. Οὐγγρικῆς CPG in margine. 4. ἀπεκάλεσεν ἡ ἰδιῶτις γλῶσσα G, ἡ ἰδ. ἀπεκάλεσεν γλῶσσα P, recte A. 5. αὐλισαμένους C, αὐλισαμένης τῆς στρατιᾶς A. 6. καὶ om. A. 7. μὲν om. G. 9. πάντες om. CG. 11. ἔχετο P. 13. πανταχοῦ P in margine. 15. τοῦ βασιλέως Μακεδόνων A, τοῦ Μακεδόνος G. 17. δὲ καὶ ἡ A. 20. θαυμάσοιμεν G.

colles, maximique et pulcherrimi in eam confluunt flavii; meridiem versus multas magnasque et onerarias fert naves, ut vel ex hac re, quanta sit altitudo eius, appareat. ceterum Ozolimnae nomen non ex eo cepit, quod malum pestilentemque emittat halitum; verum cum Hunnorum aliquando exercitus ad lacum pervenisset, (hi autem Hunni vulgari lingua Ouzi appellantur,) positis ibidem castris, Ouzolimnam lacum nuncuparant, addita nimirum littera vocali. veterum quidem historiae nusquam tradunt, Hunnorum exercitum eo venisse. nempe id Alexio imperante accidit. tunc universa natio, undique ad lacum advecta, nomen ei dedit. quae res nunc primum a nobis refertur, quo demonstremus, imperatoris Alexii multis variisque expeditionibus saepe factum esse, ut loca modo ab ipso, modo ab hostibus, qui confluxerant, nomina nanciscerentur sua. tale quid etiam de Alexandro, Macedonum rege, accepimus: a quo et quae in Aegypto, et quae in India sita est, Alexandria appellationem traxit; quin etiam a Lysimacho, comitum eiusdem uno, Lysimachiam dictam esse scimus. quid igitur mirum, si etiam imperator Alexius, aemulatione Alexan-

ξάνδρειον ἀναλαβών, ὅπου μὲν ἐξ ἐθνῶν ἢ συρραγέντων ἢ προσκεκλημένων παρ' αὐτοῦ παρίηψε τοῖς τόποις ὀνομάτων καινότητας, ἢ ἀφ' ὧν αὐτὸς κατεπράξατο, τῆς ἑαυτοῦ προσηγορίας τοῖς τόποις μετέδωκε. τοσαῦτα μὲν περὶ τῆς ἄνωθεν εἰρημένης Ὀζολίμνης ἐπερρίφθω ἱστορικώτερον. οἱ δὲ D Κόμανοι, ἐπεὶ σπάνιν τῶν χρειωδῶν εἶχον, παλινδρομοῦσιν εἰς τὰ ἴδια, ἐφ' ᾧ τὰ χρειώδη συγκομισάμενοι, αὖθις κατὰ τῶν Σκυθῶν ὑπαναστρέψαι.

6. Συνάγεται ἐν τῷ μεταξὺ ὁ βασιλεὺς κείμενος εἰς Βεῤῥόην, ἐξοπλίζει τοὺς αἰχμαλώτους καὶ τὸ λοιπὸν ἅπαν ὁπλιτικόν. τότε καὶ ὁ Φλάντρας κόμης ἐξ Ἱεροσολύμων ἐπανερχόμενος, ἐκεῖσε καταλαμβάνει τὸν αὐτοκράτορα καὶ τὸν συν- P. 202 ήθη τοῖς Λατίνοις ἀποδίδωσιν ὅρκον, ὑποσχόμενος ἅμα τῷ τὰ οἴκοι καταλαβεῖν συμμάχους ἀποστεῖλαί οἱ ἱππεῖς πεντακοσίους. φιλοτιμησάμενος τοίνυν τὸν τοιοῦτον ὁ βασιλεύς, πρὸς τὰ σφέτερα χαίροντα προέπεμψεν. ἀπάρας οὖν ἐκεῖθεν ὁ αὐτοκράτωρ μεθ' ὧν αὖθις συνελέξατο δυνάμεων καταλαμβάνει τὴν Ἀδριανούπολιν. οἱ δὲ Σκύθαι διεληλυθότες τὰ μεταξὺ τέμπη, μέσον Γολόης καὶ Διαμπόλεως κατὰ τὴν λεγομένην Μαρκέλλαν τὸν χάρακα ἐπήξαντο. ὁ δέ γε αὐτοκρά- B τωρ τὰ κατὰ τοὺς Κομάνους μεμαθηκώς, ἐπεὶ προσδόκιμοι ἐπαναστρέψαι ἦσαν, ἐδεδίει, τὴν ἐκείνων ἔλευσιν ὑφορώμε-

1. συρρυέντων G. 5. Ὀζολίμνης C, λίμνης PG. 8. ἐπαναστρέψαι CG. 19. εἰς τὴν μαρκέλλαν A. 20. ὁ δέ γε: ὅπερ μαθὼν ὁ βασιλεύς, καὶ τὸν συνέσιον στείλας, ἔπεισεν ὑποσπόνδους γενέσθαι αὐτῷ. ἀλλὰ μετὰ καιρὸν αὖθις παρασπονδήσαντες, τῆς προτέρας ἀπανθρωπίας εἴχοντο A. 21. μεμαθηκὼς τὰ κατὰ τοὺς Κομάνους G.

dri ductus, modo ex populis aut coortis in se aut auxilio arcessitis nova locis nomina dederit, modo ex iis, quae ipse gesserat, suum locis nomen communicarit? de Ozolimna, quam supra memoravimus, ad cognitionem rei satis dictum. Comani, commeatus penuria coacti, domum redierunt, ut re frumentaria parata, rursus adversus Scythas expeditionem susciperent.

6. Interea imperator Beroae captivos, quos redemerat, et ceterum omnem exercitum armat. eodem tempore etiam Flandriae comes, Hierosolymis rediens, imperatorem convenit et quo solent Latini, sacramento se obstrinxit, pollicitus insuper, simulac domum rediisset, quingentos equites auxilio se missurum. honorifice igitur acceptum imperator eum in patriam dimisit; ipse cum iis, quas collegerat, copiis inde profectus, Adrianopolin pervenit. at Scythae, superatis vallibus mediis, Goloen inter et Diampolin ad Marcellam, quae dicitur, castra posuerunt. imperator de Comanorum expeditione certior

νος. μεταπεμψάμενος τοίνυν τὸν Συνέσιον καὶ τοῖς πρὸς τοὺς Σκύθας χρυσοβούλλοις λόγοις ἐφοδιάσας, ἐκπέμπει παραγγείλας, ὡς εἰ μὲν πεισθεῖεν σπείσασθαι καὶ δοῖεν ὁμήρους, ἀναχαιτίσαι αὐτοὺς τῆς ἐπὶ τὸ πρόσω φορᾶς καὶ παρασκευάσαι μένειν ἐν ᾧ προκατέλαβον τόπῳ, καὶ οὕτω χορηγεῖν αὐτοῖς δαψιλῆ τὰ χρειώδη· ἐσκόπει γὰρ τούτοις κατὰ τῶν Κομά- C νων χρήσασθαι, εἰ τὸν Ἴστρον αὖθις καταλαβόντες πρὸς τὰ πρόσω χωρεῖν ἐπιχειρήσαιεν· εἰ δέ γε οἱ Σκύθαι μὴ πείθονται, αὐτοῦ που καταλιπεῖν αὐτοὺς καὶ ὑποστρέψαι. κατέλαβε τούτους ὁ ῥηθεὶς Συνέσιος, καὶ τὰ εἰκότα προσομιλήσας, ἔπεισεν ὑποσπόνδους γενέσθαι τῷ βασιλεῖ. κἀκεῖσε προσκαρτερῶν πάντας αὐτοὺς θεραπείας ἠξίου, πᾶσαν περιαιρῶν σκανδάλου πρόφασιν. ἐπαναστρέψαντες δὲ αὖθις οἱ Κόμανοι παρεσκευασμένοι πρὸς τὸν κατὰ τῶν Σκυθῶν πόλεμον, καὶ μὴ ἐντυχόντες αὐτοῖς, ἀλλὰ μεμαθηκότες τὴν τούτων διὰ τῶν κλεισουρῶν ἔλευσιν, καὶ ὅτι τὴν Μαρκέλλαν D καταλαβόντες εἰς εἰρηνικὰς ἦλθον μετὰ τοῦ βασιλέως σπονδάς, ἐξαιτοῦνται διελθεῖν τὰς κλεισούρας καὶ προσβαλεῖν τοῖς Σκύθαις. ὁ δὲ πρὸς τοῦτο ἀνένευσε, προεφθακὼς σπείσα- V. 161 σθαι μετὰ τῶν Σκυθῶν, εἰπών, ὡς "οὐ χρεία τὸ παρὸν βοηθείας ἡμῖν· λαβόντες ἱκανὰ ἐπαναστρέψατε." καὶ φιλοφρονησάμενος τοὺς πρέσβεις, δῶρά τε ἱκανὰ ἐπιδούς, μετ' εἰρήνης ἀπέστειλε. τοῦτο θάρσος τοῖς Σκύθαις ἐνέβαλε, καὶ παρασπονδήσαντες τῆς προτέρας ἀπανθρωπίας εἴχοντο, ληϊζόμε-

4. τὸ add. G. 20. ὡς om. CG.

factus, cum reditum eorum exspectaret, in metu erat. misit igitur Synesium ad Scythas, aureis instructum bullis, cum his mandatis, ut, si foedus inire vellent obsidesque dare, curaret, ne ulterius tenderent, sed in eo, quem occupassent, loco manerent, atque ita rerum necessariarum largam copiam suppeditaret. habebat enim in animo, iis adversus Comanos uti, si ad Istrum isti reversi, ulterius procedere conarentur. sin autem Scythae abnuerent, statim illis ibi relictis, reverti eum iussit. Synesius ubi ad Scythas pervenit, disseruit, quae res postulabat, persuasitque, ut foedus cum imperatore inirent; ac diutius ibi commorans, officiis coluit omnes, causasque offensionum prorsus sustulit. reversi autem Comani, ad bellum cum Scythis gerendum parati, cum eos non invenissent, sed clusuras transisse et, postquam Marcellam pervenerint, pacem cum imperatore pepigisse didicissent, petunt, ut clusuras transire Scythasque aggredi sibi liceret. id ille, foedere paullo ante cum Scythis icto, abnuit dicens, in praesenti auxilio sibi opus non esse; quare muneribus cumulati, domum redirent. itaque legatos laute acceptos, donis sat multis additis, cum pace dimisit. hac re Scythae metu liberati, foedere laeso, eadem qua antea immani-

νοι τὰς παρακειμένας πόλεις καὶ χώρας. ἀστατεῖ γὰρ ὡς ἐπίπαν ἅπαν τὸ βάρβαρον καὶ σπονδὰς φυλάττειν οὐ πέφυκε. P. 203 τοῦτο θεασάμενος ὁ Συνέσιος, ἐπανέρχεται πρὸς τὸν βασιλέα, αὐτάγγελος μηνυτὴς γεγονὼς τῆς τῶν Σκυθῶν ἀγνωμοσύνης καὶ παραβάσεως. τὴν Φιλιππούπολιν δὲ τούτων καταλαβόντων, τοῦτο μεμαθηκὼς ὁ βασιλεύς, ἐν ἀμηχανίᾳ καθίστατο, ἀποχρώσας πρὸς τοσαῦτα πλήθη μὴ ἔχων δυνάμεις, ὥστε ὅλως τὴν μετ' αὐτῶν μάχην ἀναδέξασθαι. ὁποῖος δὲ ἐκεῖνος ἐν ἀμηχάνοις πόρους εὑρίσκων καὶ μηδ' ὁπωσοῦν καταπίπτειν ἐν περιστάσεσιν εἰωθώς, δεῖν ἔγνω δι' ἀκροβολισμῶν καὶ λόχων τὴν τούτων μελετῆσαι καθαίρεσιν. καὶ οὕτω στοχα- B σάμενος τῶν τόπων καὶ τῶν πόλεων, ἔνθα καταλαμβάνειν ἐκεῖνοι πρωΐας ἔμελλον, αὐτὸς ἑσπέρας τὴν τούτων προκατελάμβανεν ἔλευσιν· εἰ δὲ ἑσπέρας τούτους ἐμεμαθήκει τόπον τινὰ καταλαβεῖν, ἐκεῖνος τὸν τοιοῦτον πρωΐας κατελάμβανε. καὶ ὡς δύναμις, δι' ἀκροβολισμῶν καὶ λόχων πόρρωθεν πρὸς αὐτοὺς ἀπεμάχετο, ὡς μὴ ἐγκρατεῖς αὐτοὺς γίνεσθαι τῶν φρουρίων. κατέλαβον οὖν ἄμφω οἵ τε Σκύθαι καὶ ὁ αὐτοκράτωρ τὰ Κύψελλα. ἐπεὶ δὲ τὸ ἐλπιζόμενον μισθοφορικὸν οὔπω κατέλαβε, γινώσκων ὁ αὐτοκράτωρ τὸ ὀξυκίνητον τῶν Σκυθῶν καὶ ὁρῶν αὐτοὺς ἤδη καὶ αὐτὴν τὴν βασιλίδα κατα- C λαμβάνοντας τῶν πόλεων ξὺν τάχει πολλῷ, ἐν ἀμηχανίᾳ ἦν.

4. αὐτάγγελος P in margine, αὐτάγγελτος A, αὐτεπάγγελτος PG. 5. καταλαβόντων CA, καταλαμβανόντων PG. 6. τοῦτο μεμαθηκὼς om. A. 9. μηδοποσοῦν PG. correxi. 18. κατέλαβον οὖν A, καταλαμβάνουσιν δὲ P, δὲ om. G.

tate urbes terrasque vicinas depopulabantur. nam inquieti plerumque barbari sunt, nec foedera servare solent. quod ubi Synesius vidit, ad imperatorem reversus, ultro improbitatem Scytharum atque perfidiam nuntiavit. Philippopolin autem cum imperator pervenisse eos comperisset, gravi affectus est cura; nam adversus tantam multitudinem non ita instructus erat, ut acie decertare posset. tamen, ut erat animo praesenti, quem difficultates nec frangerent ullo modo, nec conturbarent, velitationibus atque insidiis attenuandas hostium copias censebat. itaque odoratus, quem locum quamve urbem mane isti adituri essent, ea ipse praeoccupabat vespera; sin vespere eos comperit locum occupaturos, eo ipse mane se conferebat. ad hoc, quantum poterat, velitationibus insidiisque eminus aggrediebatur, ne arcibus potirentur. ita pervenerunt utrique, Scythae atque imperator, usque ad Cypsella. ubi cum qui exspectabantur, mercenarii milites nondum adessent, imperator, qui celeritatem Scytharum probe nosset videretque eos iamiam ad ipsam urbem regiam properantes, quid ageret

καὶ μὴ ἀποχρώσας δυνάμεις πρὸς τοσαῦτα πλήθη ἔχων, τὸ μὴ χεῖρον, ὅ φασιν, βέλτιον λογισάμενος, πρὸς εἰρηνικὰς αὖθις ὑπεῖδε σπονδάς. ἐρωτᾷ γοῦν, πρέσβεις ἀποστείλας πρὸς αὐτούς, τὰ περὶ εἰρήνης· οἱ δ' αὖθις τῷ τοῦ βασιλέως ὑπεῖξαν θελήματι. προέφθασε δὲ πρὸ τῶν εἰρηνικῶν σπονδῶν αὐτόμολος παραγενέσθαι ὁ Νεάντζης. πέμπεται τοίνυν
D ὁ Μιγιδηνός, ὥστε πανηγύρεις ἐξάγειν ἐκ τῶν παρακειμένων χωρῶν· οὗ ὁ υἱὸς εἰς τὸν γεγονότα ὕστερον πόλεμον κατὰ τὸν * * * * * τόπον ὀξέως κατὰ τῶν Πατζινάκων ὁρμήσας, καὶ παρασυρεὶς παρὰ γυναικὸς Σκυθίδος ἑάλω, διὰ σιδηρᾶς ἅρπης εἴσω τῶν ἁμαξῶν ἑλκυσθείς. οὗ τὴν κεφαλὴν ἀποτμηθεῖσαν ἐπρίατο ὁ βασιλεὺς ἐξ αἰτήσεως τοῦ πατρὸς αὐτοῦ·
P. 204 ὑπὸ δὲ τῆς ἀφορήτου θλίψεως ἐπὶ τρισὶ νυχθημέροις διὰ χερμάδος λίθου τύπτων τὸ στέρνον ὁ πατὴρ τελευτᾷ. οὐκ ἐπὶ πολὺ δὲ τὰ τῆς εἰρήνης τῶν Σκυθῶν διήρκει, ἀλλ' αὖθις πρὸς τὸν ἴδιον ἔμετον, ὡς κύνες, ἐστράφησαν. ἀπάραντες οὖν ἀπὸ τῶν Κυψέλλων, καταλαμβάνουσι τὸν Ταυρόκωμον, κἀκεῖ παραχειμάσαντες, ἐληΐζοντο τὰς παρακειμένας κωμοπόλεις.

V. 162 7. Ἔαρος δὲ ἤδη ἀναφανέντος, ἐκεῖθεν εἰς Χαριούπολιν ἔρχονται. ὁ δὲ βασιλεὺς εἰς τὸ Βουλγαρόφυγον διατρίβων, οὐκέτι ἐν ἀναβολαῖς ἦν. ἀλλὰ μέρος τοῦ στρατοῦ ἀποτεμνόμενος

3. ἐπεῖδε C. 4. αὖθις: an εὐθύς? 5. προέφθασε C, προέφθακε PG. 14. τύπτον P. 15. τῶν Σκυθῶν om. A. 16. πρὸς: ἐπὶ A. 17. ἀπὸ om. A. ταυρόκομον A. vid. Nicet. p. 516, 4. 19. ἤδη om. AG.

nesciebat. ac quoniam adversus tantam multitudinem non sat magna copiarum vi instructus erat, quod deterius non est, ut aiunt, pro meliore habens, ad pacem rursus animum advertit, eaque de re legatos ad Scythas mittit, qui statim imperatoris voluntati satisfaciunt. prius autem quam pax facta erat, transfugerat ad Romanos Neantzes. mittitur ergo Migidenus, ut ex regionibus locisque adiacentibus conventus educeret. cuius filius, contracta deinde pugna ad locum * * * * * nominatum, cum in Patzinacas fervide inveheretur, a muliere Scythica captus est, falce ferrea intra plaustra tractus; cuius amputatum caput imperator, rogante patre, redemit; pater ipse, dolore amens, cum per tres dies noctesque continuas saxo pectus pulsasset, animam efflavit. ceterum haud diuturna pax fuit, Scythis rursus canum instar ad proprium vomitum redeuntibus. Cypsellis igitur profecti, Taurocomum se conferunt, ibique hiemantes vicos adiacentes populabantur.

7. Orto iam vere, inde Chariopolin veniunt. at imperator, Bulgarophygi commorans, non amplius cunctabatur; sed electos e militibus primores omnes atque ipsos etiam, qui archontopuli dicuntur

ἱκανὸν λογάδας ἅπαντας καὶ αὐτοὺς δὴ τοὺς ἀρχοντοπούλους B καλουμένους νέους, ἀρτιφυεῖς πάντας τὸ γένειον, τὴν ὁρμὴν ἀνυποστάτους, προσέταξεν ἐξ ὀπισθίων τοῖς κατὰ τὸ ἄκρον τῶν ἁμαξῶν ἱσταμένοις προσβαλεῖν. τὸ δὲ τῶν ἀρχοντοπούλων τάγμα παρὰ Ἀλεξίου πρώτως ἐφεύρητο. ἀστρατίαν γὰρ ἐχούσης τῆς τῶν Ῥωμαίων ἀρχῆς διὰ ῥαθυμίαν τῶν ἀνέκαθεν αὐτοκρατόρων, συλλεξάμενος ἁπανταχόθεν αὐτοὺς τῶν ἀποπεπτωκότων στρατιωτῶν υἱεῖς, ἐγύμνασέ τε πρὸς ὅπλα καὶ πόλεμον, καὶ ἀρχοντοπούλους ὠνόμασεν, ὡσανεὶ ἐξ ἀρχόντων υἱοὺς γεγονότας, ἵνα διὰ τοῦ ὀνόματος εἰς τὴν τῶν γονέων εὐγένειάν τε καὶ ἀνδρίαν ἀναφερόμενοι καὶ οὗτοι θού- C ριδος ἀλκῆς μνήσαιντό τε καὶ ἀνδρειότεροι γένοιντο, τοῦ καιροῦ τούτοις τόλμαν καὶ ῥώμην ὑπαγορεύοντος. τοιοῦτον δὴ τὸ τῶν ἀρχοντοπούλων τάγμα, ὡς ἐν ὀλίγῳ εἰπεῖν, εἰς δύο χιλιάδας συμποσούμενον, ὥσπερ ποτὲ καὶ τοῖς Λάκωσιν ἐφεύρητο ὁ ἱερὸς λεγόμενος λόχος. οὗτοι τοίνυν οἱ νεόλεκτοι ἀρχοντόπουλοι ἐσταλμένοι πολεμικῶς ᾔεσαν. οἱ δὲ κάτωθεν τοῦ αὐχένος προλοχίζοντες Σκύθαι τὰς τούτων ἐφόδους ἐπετήρουν· καὶ θεασάμενοι τούτους κατὰ τῶν ἁμαξῶν ἐφωρμηκότας, ἀσχέτῳ ῥύμῃ κατ' αὐτῶν ἵενται. καὶ ἀγχεμάχου τῆς συμπλοκῆς καταστάσης, πίπτουσι τῶν ἀρχοντοπούλων ὡσεὶ τριακόσιοι ἐκθύμως μαχόμενοι. περὶ ὧν ἐπὶ πολὺν χρόνον D

1. δὴ om. A. ἀρχοντοπώλους P ubique. 2. λεγομένους A. νέους om. A. 5. lege ἀστρατείαν. 6. τῶν alterum add. CG. 7. αὐτοὺς : lege τούς. 8. lege πεπτωκότων. 9. καὶ ἀρχοντοπούλους — εὐγένειάν τε om. G. 15. Λάκωσιν : immo Θηβαίοις. 18. Σκύθαι om. CG. 19. ἐφωρμηκότας AG, ἀφωρμηκότας P. 20. ἵενται PG, recte A. 22. ἐπὶ add. CA.

iuvenes, tenera quidem lanugine, sed virtute invicta, a tergo iussit Scythas in summis plaustris stantes adoriri. quae quidem archontopulorum cohors constituta primum ab Alexio est. nam cum militum penuria propter imperatorum, qui antecesserant, desidiam imperium Romanum laboraret, collectos undique defunctorum militum filios exercuit ad militiam et archontopulos nominavit, id est archontum filios, ut ipso nomine paternae fortitudinis virtutisque admoniti, strenuos se praeberent ac generosos, si quando res postularet. ea erat archontopulorum cohors, duobus fere millibus hominum constans: quale olim etiam Lacedaemoniorum sacrum, quod dicebatur, agmen erat. hi igitur recens lecti archontopuli in Scythas, ut iussi erant, armati pergunt. sed barbari depresso loco prope iugum subsidentes, impetum eorum observabant; cumque in plaustra eos invectos cernerent, vehementi impetu adorti, conserto proelio, archontopulorum

βύθιον ἔστενεν ὁ βασιλεύς, δάκρυα θερμὰ ἐκχέων καὶ ὀνομαστὶ ἕκαστον καθαπερεὶ ἀπόδημον ἀνακαλούμενος. ἡττήσαντες οὖν οἱ Πατζινάκοι τοὺς ἀντιτεταγμένους, διὰ τῆς Χαριουπόλεως διελθόντες, ἀπονενεύκασι πρὸς τὸν Ἄπρον, ἅπαντα ληϊζόμενοι. τῇ γοῦν προτέρᾳ μεθόδῳ χρησάμενος αὖθις ὁ βασιλεὺς προκαταλαμβάνει τούτους καὶ εἴσεισιν εἰς τὸν Ἄπρον· οὐ γὰρ προσῆσαν αὐτῷ ἀποχρῶσαι δυνάμεις, P. 205 καθάπερ πολλάκις εἴρηται, πρὸς μάχην τοῖς ἀντικαθισταμένοις. τοιγαροῦν γινώσκων αὐτοὺς κατὰ τὰς αὐγὰς ἡλίου εἰς προνομὴν ἐξερχομένους, μετακαλεσάμενος τὸν Τατίκιον, οὗ ὁ λόγος ἐν πολλοῖς ἐμέμνητο, ἐνετείλατο συμπαραλαβεῖν μεθ' ἑαυτοῦ τούς τε καλουμένους ἠνδρειωμένους τῶν ἀγούρων καὶ τῶν περὶ τὴν θεραπείαν αὐτοῦ οἰκειοτέρων τοὺς λογάδας καὶ τοὺς Λατίνους ἅπαντας, καὶ κατὰ τὸ περίορθρον τὰς Σκυθικὰς ἐκδρομὰς διυπνισθέντας τηρεῖν, ὥσθ' ὁπηνίκα τοὺς Σκύθας εἰς προνομὴν ἐξιόντας τῆς ἰδίας πόῤῥω γενέσθαι παρεμβολῆς στοχάζοιντο, κατ' αὐτῶν τηνικαῦτα ὅλους ῥυτῆρας ἐνδοῦναι. ὁ δὲ κατὰ τὸ ἐντεταλμένον πεποιηκώς, κτείνει μὲν B τριακοσίους, ἱκανοὺς δὲ καὶ ζωγρίαν ἄγει. τί τὸ ἐντεῦθεν; καταλαμβάνουσιν οἱ παρὰ τοῦ Φλάντρα ἀποσταλέντες ἱππεῖς ἔκκριτοι ὡσεὶ πεντακόσιοι, χάρισμα κομίζοντες τούτῳ ἵππους ἐκκρίτους τὸν ἀριθμὸν ἑκατὸν πρὸς τοῖς πεντήκοντα· ἀλλὰ

2. καθαπερεὶ C, καθάπερ PG. 3. Πατζινάκαι G, σκύθαι A. 10. Ταττίκιον APG, correxi. 12. ἠνδρωμένους coni. Sinner. Stephan. Thesaur. I. p. 449. τῶν ἀγούρων: ἀγούρους A. 17. στοχάσοιντο G. 19. τριακοσίους CAG, τετρακοσίους P. ζωγρήσας G. 20. παρὰ add. CG. φλάντρας G. 21. χαρίσματα A.

fere trecentos generose pugnantes caedunt; quos diu gemitu lacrimisque Alexius prosecutus est, nominatim unumquemque inclamans, tanquam abessent. victoria igitur potiti Patzinacae, transita Chariopoli, Aprum tendunt, cuncta devastantes. imperator iisdem, quibus antea, artibus eos praevenit Aprumque occupat. neque enim satis iusto ad proeliandum, ut saepius diximus, copiarum numero instructus erat. quare cognito, prima luce pabulandi causa castris eos egredi, arcessito, cuius identidem mentio facta est, Taticio mandavit, strenuioribus ex epheborum cohorte et famulorum, quos haberet, fidissimis Latinisque omnibus assumtis, diluculo Scytharum excursiones observaret, ut cum eos, qui pabulandi causa exissent, procul iam abesse a castris coniiceret, vehementissimo invaderet impetu. quae mandata ille exsecutus, trecentos cecidit, nec paucos cepit. quid postea? adveniunt missi a Flandriae comite egregii equites fere quingenti, munus imperatori offerentes equorum centum quinquaginta

καὶ ὅσους τῆς προκειμένης αὐτοῖς χρείας εἶχον ἐπέκεινα, ἀποδεδώκασι τούτῳ τιμῆς. ὁ δὲ βασιλεὺς Ἀλέξιος δεξιωσάμενος τούτους, ἱκανὰς ἀπεδίδου τὰς χάριτας. ἀγγελίας δὲ ἐκ τῆς ἑῴας καταλαβούσης, ὅσον ἤδη ὁπλίζεσθαι τὸν τὴν Νίκαιαν V. 163 φρουροῦντα, ὃν ἡ συνήθεια μὲν τῶν Περσῶν σατράπην ἀποκαλεῖ, οἱ δὲ νῦν τὰ Περσῶν φρονοῦντες Τοῦρκοι ἀμηρὰν ὀνομάζουσι, τὸν Ἀπελχασὴμ κατὰ τῆς Νικομήδους, ἀποστέλλει τούτους πρὸς φυλακὴν τῆς χώρας.

8. Τότε δὴ καὶ ὁ Τζαχᾶς τὴν τοῦ βασιλέως περὶ τὴν C δύσιν πολυσχιδῆ ὄχλησιν καὶ τοὺς τῶν Πατζινάκων μετ' αὐτοῦ συχνοὺς πολέμους βεβαιωθείς, εὐκαιρίαν εὑρών, δέον ἐλογίσατο στόλον κτήσασθαι. Σμυρναίῳ δέ τινι ἐντυχών, τὴν κτίσιν αὐτῷ τῶν ληστρικῶν ἀνέθετο πλοίων, ὡς περὶ τὰ τοιαῦτα ἐμπειρίαν πολλὴν ἔχοντι. αὐτοῦ που δὲ πολλὰς κατασκευάσας ναῦς, πρὸς δὲ καὶ τεσσαράκοντα ἀγράρια σκεπαστά, καὶ ἐν αὐτοῖς ἄνδρας εἰσαγαγὼν ἐμπείρους, λύσας τὰ πρυμνήσια προσώρμισε ταῖς Κλυζομεναῖς καὶ ἐξ ἐφόδου ταύτας κατέσχεν. ἐκεῖθεν δὲ εἰς Φώκαιαν ἀπελθών, εἷλε καὶ ταύτην ἐξ ἐπιδρομῆς. κἀκεῖθεν ἀποστείλας πρὸς τὸν τὴν D διοίκησιν Μιτυλήνης ἐμπεπιστευμένον κουράτορα τὸν Ἀλω-

1. ὅσα A. εἶχον ἐπέκεινα om. A. 2. τιμῆς om. A. Ἀλέξιος: ἀξίως A. 7. Ἀπελχασὴμ ἀδελφὸν coni. Ducangius, recte improbante Wilkenio Hist. Comn. p. 265. 9. Τζακατζᾶς Glycas p. 620, 6, sed Τζαχᾶς recte, quem exscripsit, Zonaras III. p. 236. 11. εὑρών, καὶ ναῦς κατασκευάσας πολλὰς πρὸς ἓξ καὶ τεσσαράκοντα ἀγράρια σκεπαστὰ προσώρμισε A. 12. κτίσαι CG. 17. προσώρμησε G. lege Κλαζομεναῖς. 20. Μελιτίνης coni. Ducangius Gloss. I. p. 737. lege κουράτωρα.

praestantium. quin et ipsi, quotquot habebant equos supra usum, eidem vendidere. imperator benevole eos excepit gratiasque magnas retulit. cum autem ex Oriente nuntiatum esset, Apelchasemum Nicaeae praefectum, quem Persae satrapam vocare solent, Turcae autem, Persis nunc obnoxii, amiram appellant, expeditionem in Nicomediam parare, equites illos ad tuendam regionem misit.

8. Eodem tempore Tzachas, de variis imperatoris in Occidente difficultatibus atque de crebris Patzinacarum cum eo proeliis certior factus, hac occasione oblata, classem ornare decrevit. cumque Smyrnaeum quendam invenisset, piraticas naves aedificandas ei tradidit, utpote harum rerum imprimis perito. multis igitur navibus, praeterea scaphis tectis quadraginta paratis classiariisque impositis, Clazomenas solvit ac statim urbem occupat. inde Phocaeam appulsus, et ipsam capit primo adventu. ex hoc loco litteras dat ad Mitylenensis ditionis curatorem, Alopum, quibus atrocissima quaeque minitatus

πόν, πάνδεινα ἠπειλήσατο, εἰ μὴ θᾶττον ἐκεῖθεν ἀπέλθοι, κήδεσθαί τε αὐτοῦ λέγων καὶ διὰ τοῦτο προμηνύειν, τὰ μέλλοντα τούτῳ ἔσεσθαι δεινά, εἰ μὴ ἐκεῖθεν ἐκσταίη. ὁ δὲ ἀπὸ τῶν τοῦ Τζαχᾶ ἀπειλῶν ἐκδειματωθείς, νυκτὸς εἰς ναῦν εἰσελθών, τὴν βασιλεύουσαν ἀνεζήτησε. τοῦτο δὲ μεμαθηκὼς ὁ Τζαχᾶς, οὐκέτι ἐν ἀναβολαῖς ἦν, ἀλλὰ παραχρῆμα P. 206 ἀπελθών, ἐξ ἐφόδου τὴν Μιτυλήνην κατέσχεν. ἐπεὶ δ' ἡ Μήθυμνα περὶ τὸ ἄκρον ταυτησὶ τῆς νήσου διακειμένη οὐ προσεληλύθει τῷ Τζαχᾷ, ὁ βασιλεὺς περὶ τούτου πυθόμενος, παραχρῆμα διὰ πλοίων ἀποστείλας ἀποχρῶσαν δύναμιν, κατωχυρώσατο ταύτην. ὁ μέντοι Τζαχᾶς οὐδένα λόγον τῆς Μηθύμνης ἐποιήσατο, ἀλλ' εὐθὺ τῆς Χίου τὸν ἀπόπλουν ποιησάμενος, ἐξ ἐφόδου κατέσχε καὶ ταύτην. ὅπερ ὁ αὐτοκράτωρ μεμαθηκώς, πέμπει κατ' αὐτοῦ στόλον ἀποχρῶντα μετὰ στρατιωτῶν ἱκανῶν, ἡγεμόνα τούτων καταστησάμενος Νικήταν B τὸν Κασταμονίτην. ὁ δὲ ἀπελθὼν καὶ τὸν μετὰ τοῦ Τζαχᾶ συνάρας πόλεμον, ἡττᾶται παραχρῆμα, καὶ πολλὰς τῶν συνεπαγομένων αὐτῷ νηῶν ὁ Τζαχᾶς ἀφείλετο. τοῦ συμβάντος δὲ τῷ Κασταμονίτῃ ὁ βασιλεὺς ἐν εἰδήσει γενόμενος, ἕτερον ἐξοπλίζει στόλον, ἐπιστήσας δοῦκα τούτῳ Κωνσταντῖνον τὸν Δαλασσηνόν, ἄνδρα μαχιμώτατον καὶ μητρόθεν τούτῳ προσήκοντα. ὃς κατὰ τὴν ἠϊόνα τῆς Χίου γενόμενος, παραχρῆμα τῆς τοῦ κάστρου πολιορκίας εἴχετο, ἐκθύμως μαχόμενος

3. δεινὰ ἔσεσθαι G. 12. τὸν om. G. 16. τὸν alterum om. G. 20. τούτῳ δοῦκα G, τούτου P. 21. Δαλασηνὸν C semper postea.

est, nisi celerrime decederet, bene se ei velle addens ideoque praemonuisse, quas capturus esset calamitates, nisi inde abiret. his territus curator, noctu navi conscensa, Cpolin petiit; quo Tzachas audito, sine mora Mitylenen profectus, extemplo eam cepit. Methymna autem, in promontorio huius insulae sita, cum ad Tzacham non deficeret, imperator ea de re certior factus, illico navibus idonea praesidia misit, quibus hostis repelli posset. at Tzachas, nulla Methymnae ratione habita, Chium recta profectus, statim ea quoque potitur. quod ubi imperatori nuntiatum est, classem sat magnam cum idonea militum manu contra eum misit, duce Niceta Castamonita. verum hic, proelio cum Tzacha commisso, statim victus, multas naves, quibus praeerat, amisit. ad eius cladis nuntium imperator alteram rursus classem armat, eique ducem praefecit Constantinum Dalassenum, fortissimum virum et materna ipsi cognatione iunctum. is simulatque ad Chii oram pervenit, nulla arcis oppugnandae mora facta, strenue aduitebatur, ut priusquam Tzachas Smyrna adveniret,

καὶ σπεύδων τὴν πόλιν ἑλεῖν πρὸ τοῦ τὸν Τζαχᾶν ἀπὸ τῆς Σμύρνης καταλαβεῖν. διὰ πολλῶν οὖν ἑλεπόλεων καὶ πετροβόλων ὀργάνων πλήξας τὰ τείχη, καθαιρεῖ τὸ μεταξὺ τεῖχος C τῶν δυεῖν πύργων. οἱ δὲ ἐντὸς Τοῦρκοι θεασάμενοι τὸ γεγονὸς καὶ ἐγνωκότες, ὡς ἀνυπόστατοι ταῖς ὁρμαῖς οἱ Ῥωμαῖοί εἰσιν, εἰς ἔλεον τὸν τῶν ἁπάντων ἐπεκαλοῦντο κύριον Ῥωμαΐζοντες. οἱ δὲ ἀμφὶ τὸν Δαλασσηνὸν καὶ τὸν Ὦπον ἀκάθεκτοι ἦσαν, σπεύδοντες εἴσω τοῦ κάστρου εἰσελθεῖν, κἂν παρ' αὐτῶν διεκωλύοντο, δεδιότων, μή πως τὴν προαποτεθεῖσαν παρὰ τοῦ Τζαχᾶ λείαν ἅπασαν καὶ τὰ χρήματα εἰσελθόντες ἀναλάβωνται, καὶ λεγόντων, ὡς "τῆς εὐφημίας τοῦ αὐτοκράτορος λαμπρᾶς ἤδη παρὰ τῶν Τούρκων γινομένης ἀκούετε καὶ ὡς ὑπόσπονδοι ὑμῶν γεγόνασιν. οὐ χρὴ τοίνυν D εἰσελθόντας ἀπηνῶς τούτους κατασφάττειν." ἐπεὶ δὲ τὸ πᾶν V. 164 τῆς ἡμέρας ἤδη παρῳχήκει καὶ νὺξ παρῆν, οἱ Τοῦρκοι ἕτερον τεῖχος ἀντὶ τοῦ ἐρειπωθέντος ἀνοικοδομήσαντες, ἀπῃώρησαν τούτου ἔξωθεν στιβάδας καὶ βύρσας καὶ πᾶν τὸ παρατυχὸν πέπλον, ὡς ἂν ἡ σφοδρότης τῶν πεμπομένων λίθων ἐντεῦθεν ὑποχαλῶσα μερικῶς ποσῶς ἐνδίδωσι. καὶ ὁ μὲν Τζαχᾶς τὸν προσόντα στόλον αὐτοῦ ἐξοπλίσας καὶ διὰ τῆς ἠπείρου ὡσεὶ ὀκτὼ χιλιάδας στρατεύσας Τούρκους, τὴν πρὸς Χίον φέρουσαν ἐβάδιζεν· ὁ δέ γε στόλος αὐτῷ ἐπηκολούP. 207 θει παραθέων τὴν ἠϊόνα. ὁ δὲ Δαλασσηνὸς τοῦτο μεμαθηκώς, λῦσαι τὰ πρυμνήσια τοὺς ναυάρχας τοῦ στόλου παρε-

4. δυεῖν C, δύο PG. 13. τοίνυν P in margine, οὖν PG. 19. ὁποσῶς C. lege πως. 21. Τούρκους C et in margine P, τοὺς ὅρκους PG.

urbem caperet. itaque multis arietibus et ballistis moenia quatit: tandem muri inter duas turres spatium diruit. eo Turcae, qui intus erant, animadverso, quoniam Romanis nulla vi resisti posse intelligerent, communis omnium domini misericordiam, Romana usi lingua, implorabant. at Dalasseni Opique milites desiderio flagrabant arcis ingrediendae. obstabant duces, qui timebant, ne comportatam eo a Tzacha praedam omnem opesque ingressi diriperent. "auditis, inquiebant, ut manifeste iam imperatori Turcae acclament, seque in ditionem tradant; quid igitur crudeliter eos trucidatum itis?" sic consumto die, cum nox adesset, Turcae deiecti muri loco alterum exstruunt, cuius exteriore in parte culcitas, pelles omnisque generis centones suspendent, ut missorum lapidum vis infracta paullulum imminueretur. interim Tzachas classe, quae ad manum erat, armata, atque in continente octo fere millibus Turcarum collectis, Chium iter ingressus est, classemque secundo mari se sequi iussit. id ubi Dalassenus didicit, solvere navium praefectos iussit, idoneo militum

κελεύσατο, ἀποχρῶντας εἰσαγαγὼν ἐν αὐτῷ στρατιώτας καὶ ἡγεμόνα τὸν Ὦπον, βουλόμενος, εἴ που τούτῳ συναντήσει διαπλωϊζομένῳ κατ' αὐτοῦ, συμμῖξαι πρὸς πόλεμον. ὁ δὲ Τζαχᾶς τὴν ἤπειρον καταλιπὼν, κατευθὺ Χίου τὸν ἀπόπλουν ἐποιεῖτο. καὶ συναντήσας αὐτῷ περὶ μέσας νύκτας ὁ Ὦπος, ὡς εἶδε καινήν τινα τὴν ναυλοχίαν ποιούμενον, (καὶ γὰρ ἅλυσιν κατασκευάσας παμμεγέθη, ἅπαντα τὰ αὐτοῦ ἐδέ-
B σμησε πλοῖα, ὡς μήτε τοὺς τρεπομένους ἀποδιδράσκειν δύνασθαι, μήτ' αὖ πάλιν τοὺς προεκτρέχειν ἐθέλοντας τῆς ναυτικῆς συντάξεως διακόπτεσθαι,) ἐκδειματωθεὶς καὶ μηδὲ προσπελάσαι τούτοις θαρρήσας ὅλως, στρέψας τοὺς οἴακας, τὴν Χίον αὖθις ἀνεζήτει. ὁ δέ γε Τζαχᾶς σὺν ἐπιστήμῃ ἀκολουθῶν αὐτῷ, οὐκ ἐνεδίδου τῆς εἰρεσίας. ἐπὰν δὲ τῇ Χίῳ προσπελάζειν ἔμελλον, ὁ μὲν Ὦπος τῷ λιμένι πρῶτος τὰς ναῦς προσώρμισε τῆς Χίου, (προεφθάκει γὰρ τοῦτον κατασχεῖν ὁ Δαλασσηνός,) ὁ δὲ Τζαχᾶς περιπλεύσας τουτονὶ τὸν ἤδη ῥηθέντα τῆς Χίου ὅρμον, τῷ τείχει τοῦ κάστρου τὰς ἰδίας προσεπέλασε ναῦς. τετρὰς δὲ τῆς ἑβδομάδος ἦν. τῇ δὲ μετ'
C αὐτὴν ἐξελάσας τῶν νηῶν ἅπαντας, ἠρίθμει τε καὶ ἀπεγράφετο. ὁ δέ γε Δαλασσηνὸς πολίχνιόν τι ἀγχοῦ τοῦ λιμένος εὑρηκὼς, ἠφάνισε μὲν τὸν χάρακα, ὃν προφθάσας διώρυξε, κεῖθι δὲ κατελθὼν καὶ ἄλλην διώρυχα ποιήσας εἰς ἀποχρῶντα τάφρον, αὐτοῦ που τὸ ὁπλιτικὸν κατέθετο. τῇ δὲ μετ' αὐτὴν ἄμφω τὰ στρατεύματα ἐξοπλισάμενα κατ' ἀλλήλων παρεσκευά-

3. διαπλοιζομένῳ PG, alterum C. 7. παμμεγέθη σκευάσας G. ἅπαντα om. CG. ἐδέσμευσε G. 11. τούτοις G, τούτους P. 13. ἐρεσίας G. 15. προεφθακὼς G.

numero imposito, duce Opo. mandaverat, si forte obviam fieret traiicienti, pugnam committeret. Tzachas, relicta terra, recta in Chium cursum dirigit. cui Opus media nocte obviam factus, cum nova quadam ratione classem hostium dispositam cerneret, (nam catena parata longissima, omnes naves colligaverat, ut nec retrocedentes fugere, nec si qui procurrere vellent, ordinem perrumpere possent,) is igitur perculsus et ne accedere quidem ausus propius, versis gubernaculis, Chium repetiit. Tzachas prudenter secutus, non destitit remigare; cumque Chio appropinquarent, Opus portum urbis, quem Dalassenus antea occupaverat, prior ingressus est; Tzachas autem praetervectus hunc, cuius memini, Chii portum, moenibus arcis naves admovit. quarta dies hebdomadis erat. postridie eductos e navibus omnes numeravit atque in tabulas retulit. Dalassenus, oppidulum quoddam portui propinquum conspicatus, avulso priori vallo, nova ad illud metatus est castra fossaque iusta altitudine munivit. eo copias universas transtulit. sequente die uterque exercitus armatus in

ζοντο. ἀλλὰ τὸ μὲν Ῥωμαϊκὸν ἀτρεμοῦν ἵστατο, τοῦ Δαλασσηνοῦ κελεύσαντος, μηδένα τὸν συνασπισμὸν λύειν. ὁ δέ γε Τζαχᾶς τὸ πλεῖστον τῆς βαρβαρικῆς παρατάξεως κατὰ τῶν Ῥωμαίων ἰέναι παρέθηξεν, ὀλιγοστοὺς δὲ καὶ ἱππαζομένους συνέπεσθαι τούτοις. τοῦτον οἱ Λατῖνοι θεασάμενοι, δόρατα D μακρὰ ἐναγκαλισάμενοι, κατὰ τῶν βαρβάρων ἐξιππάσαντο. οἱ δὲ οὐ κατὰ τῶν Κελτῶν, ἀλλὰ κατὰ τῶν ἵππων τὰς βολὰς πέμποντες καὶ διὰ τῶν δοράτων δέ τινας πλήξαντες, πλείστους ἀνεῖλον, καὶ εἴσω τοῦ χάρακος τετραμμένους οὕτω συνήλασαν. οἱ δ' ἐκεῖθεν ἐνέπιπτον εἰς τὰς ναῦς ἀλογίστῳ φορᾷ. τοὺς δὲ Κελτοὺς προτροπάδην φεύγοντας οἱ Ῥωμαῖοι θεασάμενοι καὶ ἐκδειματωθέντες, μικρόν τι ἀναποδίσαντες παρὰ τὸ τεῖχος τοῦ ῥηθέντος ἔστησαν πολιχνίου. καθ' οὕτως P. 208 οἱ βάρβαροι εἰς τὴν ἠϊόνα κατεληλυθότες τινὰς τῶν νηῶν ἀφείλοντο. τοῦτο οἱ ναυτικοὶ θεασάμενοι, λύσαντες τὰ πρυμνήσια ἀπέρραξαν τῆς χέρσου, καὶ τὰς ἀγκύρας χαλάσαντες V. 165 ἵσταντο καραδοκοῦντες τὸ μέλλον. ὁ μέντοι Δαλασσηνὸς παραπεπλευκέναι τὰς περὶ τὸ δυτικώτερον μέρος ἀκτὰς τῆς νήσου καὶ τὴν Βολισσὸν καταλαβεῖν παρεκελεύσατο καὶ τὴν αὐτοῦ ἀπεκδέχεσθαι ἔλευσιν· ἡ δὲ Βολισσὸς πολίχνιον κατὰ τὸ ἀκρωτήριον ταυτησὶ τῆς νήσου διακείμενον. Σκύθαι δέ τινες προσεληλυθότες τῷ Τζαχᾷ, τὴν τοῦ Δαλασσηνοῦ βου- B λὴν προκατήγγειλαν. ὁ δὲ ἔνθεν μὲν τηνικαῦτα πεντήκοντα

5. lege τοῦτο. 9. τετρεμμένους P. 10. ἀλογίστῳ φορᾷ εἰς τὰς ναῦς G. 16. lege ἀπήραξαν. 17. παραπλεῦσαι G. 18. παρὰ G. lege πρός. 21. ἀκρώτερον G.

aciem prodit. ac Romani quidem loco se non movebant, a Dalasseno acie excedere vetiti; Tzachas autem maximam barbarorum partem in Romanos promovit, equitibus sequi iussis paucissimis. quo Latini conspecto, cum hastis longis in barbaros invadunt. hi vero non in Gallos, sed in equos eorum iacula mittunt et hastis quoque nonnullos feriunt. ita plerisque caesis, caeteri in fugam versi intra vallum compelluntur, unde praecipiti cursu in naves sese iniiciunt. Romani, effusa Gallorum fuga perterriti, paullulum recedunt atque ad muros eius, quod diximus, oppiduli consistunt. tum Turcae ad littus usque provecti, naves nonnullas ceperunt. quod conspicati classiarii, solutis funibus, naves pellunt a littore, atque in ancoris consistentes exspectant, quid futurum esset. iubet eos Dalassenus insulae oram, qua occidentem spectaret, praetervectos Bolissum tendere, ibique adventum suum praestolari; Bolissus oppidulum est in promontorio insulae istius situm. at Scythae nonnulli Tzacham adeunt, eique consilium Dalasseni produnt; quo audito, tum quinquaginta is misit spe-

σκοποὺς ἐπαφῆκε θᾶττον αὐτῷ διαμηνύσασθαι, ὁπηνίκα τὸ ναυτικὸν τοῦ Δαλασσηνοῦ τὰ πρυμνήσια λύειν ἐπείγεται, ἐκεῖθεν δὲ τὸν Δαλασσηνὸν μετεπέμπετο, ὡς τάχα τὰ περὶ εἰρήνης βουλόμενος ἐπερωτῆσαι, ἀπεγνωκὼς οἶμαι παντάπασι, πρὸς τὸ τοῦ Δαλασσηνοῦ γενναῖον καὶ φιλοκίνδυνον ἀφορῶν. ὁ δὲ εἰς νέωτα κατὰ τὸ ἄκρον τῆς παρεμβολῆς ἐξεληλυθέναι τῷ Τζαχᾷ ἐπηγγείλατο καὶ ἀκοῦσαί τε καὶ εἰπεῖν, ὁπόσα ἀμφοῖν τούτοιν συνδόξειεν. οὐδ' ὁ βάρβαρος πρὸς τοῦτο C ἀνένευσεν. ἀλλὰ πρωΐας ἄμφω τὼ στρατηγὼ κατὰ ταὐτὸν ἐληλυθέτην, καὶ τῆς ὁμιλίας ὁ Τζαχᾶς κατῆρχεν, ὀνομαστὶ τοῦτον καλέσας. "ἴσθι ἐμὲ εἶναι τὸ μειράκιον ἐκεῖνο, ὅπερ πάλαι τὴν Ἀσίαν κατατρέχον καὶ ἐκθύμως μαχόμενον, ἐξ ἀπειρίας ἀπατηθὲν ἑάλων παρὰ τοῦ Καβαλίκα ἐκείνου Ἀλεξάνδρου. κἀντεῦθεν ζωγρία παρ' αὐτοῦ τῷ αὐτοκράτορι Νικηφόρῳ τῷ Βοτανειάτῃ προσενεχθέν, παραχρῆμα τῇ τῶν πρωτονωβελλισίμων ἀξίᾳ τετίμημαι καὶ δωρεῶν μεγάλων ἀξιωθείς, ὑπεσχόμην δουλείαν αὐτῷ. ἐξότου δὲ τὰς τῆς βασι- D λείας ἡνίας ὁ Κομνηνὸς Ἀλέξιος περιεζώσατο, ἐκκέκοπται ἅπαντα. κἀγὼ μὲν οὖν ἤδη τὸ τῆς ἔχθρας αἴτιον ἀπαγγελῶν ἥκω. μαθέτω δὲ ταῦτα καὶ ὁ αὐτοκράτωρ καὶ εἴπερ βουληθῇ τὴν ἀναφυεῖσαν ἔχθραν διαλυθῆναι, ὁπόσα λαβεῖν ὀφείλων ἐστέρημαι, ἀνελλιπῶς ἀποδοθήτω μοι ἅπαντα. εἰ δέ σοι δοκεῖ καὶ τὰ τέκνα ἡμῶν συναφεῖναι, προβεβλήσθω

3. τὰ add. C. 14. lege ζωγρίαν. 15. βοτανιάτῃ G. 16. πρώτων ἡγεμόνων P in margine. 19. ἀπαγγέλλων P, ἀπαγγελῶν G. 23. δοκεῖ C, δοκῇ PG. lege συναφῆναι.

culatores, qui cito sibi nuntiarent, quando classis Dalasseni solvere pararet; tum ad Dalassenum de colloquio misit, pacis conditiones propositurus, diffisus puto rebus suis, cum fortitudinem Dalasseni audaciamque considerasset. promisit dux Romanus, postridie extremis castris se proditurum, ut audiret proponeretque, quae utrique placerent. accepit conditionem barbarus. itaque conveniunt mane duces ambo, atque Tzachas colloquium exorsus est, nomine Dalassenum appellans. "scito, iuvenem me esse illum, qui olim Asiam incursavi et, postquam fortissime pugnavi, imprudentia circumventus, captus sum a Cabalica illo Alexandro. a quo cum imperatori Nicephoro Botaniatae oblatus essem, protonobilissimi statim dignitate honestatus donisque magnis affectus, obsequium ipsi promisi. verum ex quo Comnenus Alexius imperii habenas accepit, rescissa sunt omnia. atque ego iam adveni, ut inimicitiarum causam exponerem. nuntietur istud etiam imperatori, qui si sublatas inimicitias velit, quibuscunque privatus sum honoribus debitis, cumulate restituat. quodsi tibi etiam

μέσον ἡμῶν ἔγγραφος ἡ περὶ τούτου συμφωνία, ὡς ἔθος τοῖς Ῥωμαίοις καὶ ἡμῖν τοῖς βαρβάροις ἐστί. καθ' οὕτω τῶν ἁπάντων ἤδη ῥηθέντων πέρας ἐσχηκότων, ἁπάσας τὰς νήσους, ἃς αὐτὸς καταδραμὼν τῆς Ῥωμαϊκῆς ἐξουσίας ἀφειλόμην, διὰ σοῦ ἀντιτρέψω πρὸς τὸν αὐτοκράτορα, καὶ τὰς μετ' αὐτοῦ σπονδὰς ἀποπληρώσας πρὸς τὴν ἐμὴν ἐπαναστρέψω πατρίδα." ταῦτα δὲ ὁ Δαλασσηνὸς σκῆψιν λογισάμενος, ὡς P. 209 ἅτε τὸ τῶν Τούρκων ἦθος δολερὸν πάλαι γινώσκων, ἀνεβάλλετο τέως τὴν τῶν αἰτουμένων ἐκπλήρωσιν, παραγυμνώσας ἅμα καὶ ἣν ἔσχε περὶ αὐτοῦ ὑπόληψιν καὶ φάμενος, ὡς "οὔτε σύ, ὡς ἔφησθα, τὰς νήσους πρὸς ἐμὲ παραδώσεις, οὔτε ἐγὼ βουλῆς ἄτερ τοῦ αὐτοκράτορος πρὸς ἅπερ αὐτὸς ἐκεῖθεν ἐξ ἐκείνου καὶ ἐμοῦ ἐπιζητεῖς, καταθέσθαι δύναμαι. ἀλλ' ἐπεὶ δοὺξ μέγας ὁ Ἰωάννης καὶ γυναικάδελφος τοῦ αὐτοκράτορος ὅσον ἤδη μετὰ παντὸς καταλαμβάνει τοῦ στόλου, ἐξ ἠπείρου τε καὶ θαλάττης δυνάμεις πολλὰς συνεπαγόμενος, ἐκεῖνος ἀκουσάτω τῶν παρὰ σοῦ λεγομένων. καὶ οὕτως, εὖ B ἴσθι, αἱ μετὰ τοῦ αὐτοκράτορος σπονδαί, αὐτοῦ τὴν εἰρήνην μεσάζοντος, πέρας λάβοιεν." καὶ γὰρ τουτονὶ τὸν Δούκαν Ἰωάννην εἰς Ἐπίδαμνον ὁ αὐτοκράτωρ μετὰ στρατιᾶς ἀξιομάχου κατέπεμψεν, ἅμα μὲν καὶ περὶ τὴν τοῦ Δυρραχίου V. 166 φρουρὰν ἐπιμελῶς διαπονεῖσθαι, ἅμα δὲ καὶ τὴν μετὰ τῶν Δαλματῶν ἀναδήσασθαι μάχην. ὁ γὰρ οὕτω καλούμενος

1. ἡ περὶ P in margine, ὑπὲρ PG. 3. ἤδη ῥηθέντων ἁπάντων G. 5. αὐτὰς στρέψω CG. lege ἀντεπιστρέψω. 6. ἀποπληρῶσαι G. 19. μεσάσαντος CG. 23. Δαλματῶν : κελτῶν CG. ἀναδήσασθαι C, ἀναδύσασθαι PG.

nuptiis iungi liberos nostros placet, scribantur modo sponsales tabulae, qui Romanis nobisque barbaris mos est. ubi cuncta praestita illa fuerint, tum vero insulas, quas Romanae ditioni subiectas bello cepi, per te vicissim imperatori reddam, sicque foederis conditionibus impletis, in meam me patriam conferam." haec cum Dalasseno, qui dudum fraudem ac fallaciam barbarorum nosset, simulata viderentur, assentiri cunctatus est declaravitque simul suspicionem de eo suam. "neque tu, inquiebat, insulas mihi trades, ut affirmasti, neque ego imperatore inconsulto, quae ab illo atque a me postulas, annuere possum. verum quoniam magnus dux Iohannes, imperatricis frater, iam in eo est, ut cum ingentibus terra marique copiis huc adveniat, cognoscat is conditiones, quas proposuisti. illo intercedente, mihi crede, pax cum imperatore componetur." etenim hunc Ducam Iohannem Epidamnum imperator cum exercitu magno miserat, ut et Dyrrhachium diligenter tueretur et cum Dalmatis bellum gereret. nam

Βοδῖνος μαχιμώτατος ὢν καὶ ῥᾳδιουργίας πλήρης, οὐ μέχρι τῶν ἰδίων ὁρίων ἑστάναι ἠβούλετο, ἀλλ' ὁσημέραι τὰς ἔγγιστα Δαλματίας κωμοπόλεις κατατρέχων, τοῖς ἰδίοις προσετί- C *θει ὁρίοις. ὁ δὲ Δούκας Ἰωάννης ἐνιαυτοὺς δέκα πρὸς τῷ ἑνὶ εἰς τὸ Δυρράχιον ἐνδιατρίψας, πολλὰ μὲν τῶν ὑπὸ τὴν ἐξουσίαν Βολκάνου ἀφῃρεῖτο φρούρια, πολλοὺς δὲ καὶ ζωγρίαν Δαλμάτας πρὸς τὸν αὐτοκράτορα ἐξαπέστειλεν. καὶ τέλος καρτερὰν μετὰ τοῦ Βοδίνου μάχην συναρράξας, καὶ αὐτὸν κατέσχεν. ἄνδρα δὲ τὸν Δούκαν τοῦτον Ἰωάννην μαχιμώτατον ὁ αὐτοκράτωρ ἐκ πολλῶν ἐγνωκὼς καὶ περὶ τὰ πολεμικὰ ἐπιτήδειον καὶ μηδ' ὁπωσοῦν τὰ παρ' αὐτοῦ ἐντεταλμένα ἀθετεῖν ἐθέλοντα, ἐπεὶ τοιούτου ἀνδρὸς κατὰ τοῦ Τζαχᾶ ἐδέετο, μεταπεμψάμενος αὐτὸν ἐκεῖθεν ὁ αὐτοκρά-* D *τωρ, μετὰ πολλῶν δυνάμεων ἐξ ἠπείρου καὶ θαλάττης κατὰ τοῦ Τζαχᾶ ἐξέπεμψεν, δοῦκα τοῦ στόλου μέγιστον κατονομάσας. ὁπόσας δὲ μετ' αὐτοῦ μάχας συνῆψε καὶ ἐν ὅσοις κινδύνοις ἑαυτὸν ἐπιρρίψας νικητὴς ἀνεφάνη, ὁ λόγος ἐν ὑστέροις δηλώσειε. τοῦτον προσδόκιμον ὁ Δαλασσηνὸς ἔχων, ἐν τῇ πρὸς τὸν Τζαχᾶν ὁμιλίᾳ τὸ πᾶν εἰς τὸν ἐρχόμενον δοῦκα ἐφαίνετο ἀνατιθέμενος. ὁ δὲ Τζαχᾶς τὸ Ὁμηρικὸν ἐκεῖνο ἔπος ἐδόκει λέγειν· "νὺξ ἤδη τελέθει, ἀγαθὸν καὶ νυκτὶ πιθέσθαι." αὐγαζούσης δὲ τῆς ἡμέρας πολλὰ τῶν χρειω-*

2. *ὅρων* P, *ὁρίων* C, om. G. 4. *ἐνιαυτοὺς τῷ δέκα πρὸς ἑνὶ* P, recte CG. 5. *τῶν* add. C. 6. *βολκανίου* G. *ζωγρίας* CG. 7. *Δαλμάτας* CG, *Δαλματίας* P. 8. *συῤῥήξας* CG. lege *συναράξας*. 11. *ὀπωσοῦν* C, *ὁποσοῦν* PG. 19. *τὸν* prius add. C.

Bodinus qui dicebatur, cum bellicosissimus esset et perfidiae plenus, non continuerat suis se finibus, sed quotidie propinqua Dalmatiae oppida incursans, accessionem adiecerat ditioni. Ducas autem Iohannes, undecim annos Dyrrhachii commoratus multas Bolcano arces eripuerat, multosque etiam captos Dalmatas imperatori miserat; tandem gravi cum Bodino proelio commisso, ipsum ceperat. huius igitur Ducae Iohannis cum imperator multis ex rebus egregiam cognosset virtutem reique bellicae peritiam atque in exsequendis mandatis fidem summam, quoniam tali homine adversus Tzacham opus erat, arcessivit eum istinc ac multis terrestribus atque maritimis copiis praefectum adversus Tzacham misit. qui quot cum barbaro pugnas commiserit quotque in periculis victor discesserit, infra narrabimus. huic igitur adventanti Dalassenus in colloquio cum Tzacha habito omnia reservare se velle significavit; Tzachas autem Homericum illud dicere videbatur "nox iam adest; bonum etiam nocti parere." pro-

δῶν κομίσαι ὑπέσχετο. ἅπαντα δὲ δόλος ἦν καὶ ἀπάτη. καὶ P. 210 ὁ Δαλασσηνὸς οὐ πόρρω σκοποῦ ἔβαλλε. κατὰ γὰρ τὸ περίορθρον λαθὼν ὁ Τζαχᾶς καὶ περὶ τὴν ἠϊόνα τῆς Χίου κατεληλυθώς, οὐρίου τυχὼν πνεύματος, τὴν Σμύρνην κατέλαβεν, ἐφ' ᾧ πλείονας συναγηοχέναι δυνάμεις καὶ αὖθις ἐπαναστρέψας ἐν Χίῳ καταλαβεῖν. ἀλλ' οὐδ' ὁ Δαλασσηνὸς δεύτερος πρὸς τὰς τοῦ Τζαχᾶ μηχανὰς ἐφαίνετο. εἰσελθὼν γὰρ ἐν τοῖς παρατυχοῦσι πλοίοις μετὰ τῶν ὑπ' αὐτόν, τὴν Βολισσὸν κατέλαβε. καὶ τάς τε ναῦς περιποιησάμενος καὶ ἑλεπόλεις ἑτέρας παρασκευασάμενος, τούς τε στρατιώτας διαναB παύσας καὶ πλείονας τούτων συμπαραλαβών, αὖθις ὅθεν ἐξῄει ἐπανέστρεψε. καὶ καρτερὸν μετὰ τῶν βαρβάρων συνήρασσε πόλεμον, καὶ καθελὼν τὰ τείχη ἐχειρώσατο τὴν πόλιν, τοῦ Τζαχᾶ τὴν Σμύρνην ἔτι περινοστοῦντος. κἀκεῖθεν λειοκύμονα τὴν θάλασσαν εὑρηκώς, εὐθυπλοήσας μετὰ τοῦ στόλου παντὸς κατέλαβε τὴν Μιτυλήνην.

9. Οὕτω δὲ ὁ αὐτοκράτωρ τὰ κατὰ τὸν Τζαχᾶν διαθέμενος, ἐπεὶ τοὺς Σκύθας αὖθις τὸ Ῥούσιον καταλαμβάνειν ἐμεμαθήκει καὶ κατὰ τὸ Πολυβοτὸν τὸν χάρακα πήξασθαι, ἐξεληλυθὼς ὡς εἶχε τῆς Κωνσταντίνου, τὸ Ῥούσιον κατέλαβε. συν- C είπετο δὲ τούτῳ καὶ ὁ αὐτόμολος Νεάντζης, δεινήν τινα καὶ βύθιον μελέτην κατ' αὐτοῦ τεκταινόμενος· συμπαρῆν δὲ καὶ

3. λαβὼν G. 12. τοῦ βαρβάρου G. συνήρασσε C, συνήῤῥασσε G, συνήῤῥασε P. 15. εὐθυπλοήσας C, εὐθυπλοιησας PG. 18. μεμάθηκε A. 19. τὸν Πολυβοτὸν P, τὸν πολυβωτὸν G, τὸν μολυβωτὸν A, τὸ πολυβοτὸν C. vid. Cantacuz. II. p. 475, 4. ἐξελθὼν A. 21. καὶ prius add. G.

misit postridie se copiam commeatus magnam missurum; sed haec verba erant; nec Dalassenum opinio fefellit. nam diluculo Tzachas ad littus clam progressus et ventum nactus secundum, Smyrnam navigavit, ut pluribus coactis copiis, Chium reverteretur. sed nec Dalassenus anteveniri se Tzachae consiliis passus est. navigia enim, quae forte aderant, cum copiis ingressus, Bolissum proficiscitur; ubi postquam naves collegit machinasque comparavit alias, praeterea milites refecit et plures etiam collegit, rursus, unde discesserat, rediit. instaurata acriter oppugnatione moenibusque dirutis, urbem cepit, Tzacha Smyrnae adhuc commorante. cumque mare esset tranquillum, recto cursu universa classe Mitylenen profectus est.

9. Sic rebus adversus Tzacham constitutis imperator, cum Scythas Rusium tendere rursus didicisset atque ad Polybotum castra posuisse, Constantinopoli, ut erat, profectus, Rusium occupavit. sequebatur Neantzes transfuga, perniciosa secreto in eum consilia coquens; ad-

ὁ Καντζοὺς καὶ ὁ Κατράνης ἄνδρες πολέμων μεμνημένοι καὶ
V. 167 ζέοντα πρὸς τὸν αὐτοκράτορα πόθον ἔχοντες. ἀπόμοιραν δὲ ἱκανὴν τῶν Σκυθῶν πόῤῥω θεασάμενος, τὴν μετ' αὐτῶν ἐναποδύεται μάχην. πολλοὶ μὲν οὖν τῶν Ῥωμαίων ἐν τῷ μάχεσθαι πίπτουσι, τινὲς δὲ καὶ ζωγρηθέντες παρὰ τῶν Σκυθῶν κτείνονται, ἱκανοὶ δὲ καὶ μέχρις αὐτοῦ Ῥουσίου κομίζονται. ἀλλὰ ταῦτα μὲν τὰ κατὰ τοὺς προνομεῖς τῶν Σκυθῶν. ὁ δὲ
D βασιλεύς, τῶν καλουμένων Μανιακατῶν Λατίνων καταλαβόντων, θαρσήσας ἐβουλεύετο τῇ μετ' αὐτὴν τὸν μετὰ τῶν Σκυθῶν κατὰ συστάδην ἀναδέξασθαι πόλεμον. ἐπεὶ δ' οὐ πολὺ τὸ μεταίχμιον ἀμφοῖν τοῖν στρατευμάτοιν ἔτυχεν ὄν, τὴν ἐνυάλιον οὐκ ἀπεθάῤῥησεν ἠχῆσαι σάλπιγγα, θέλων προαρπάσαι τὴν μάχην. μεταπεμψάμενος οὖν τὸν περὶ τὴν τῶν βασιλικῶν ἱεράκων διαπονούμενον θεραπείαν Κωνσταντῖνον, προστάττει τύμπανον ἑσπέρας ἀναλαβόμενον τύπτειν δι' ὅλης νυκτὸς περινοστοῦντα τὸ στράτευμα καὶ διακηρυκεύειν ἑτοιμάζεσθαι, ὅτι
P. 211 περιαυγαζούσης τῆς αὔριον ἀπερισαλπίγκτως τὸν μετὰ τῶν Σκυθῶν ὁ αὐτοκράτωρ βούλεται συνάψαι πόλεμον. οἱ δὲ Σκύθαι τοῦ Πολυβοτοῦ ἀπάραντες, προκαταλαμβάνουσι τόπον τὸν καλούμενον Ἅδην, κἀκεῖθι τὸν χάρακα πήγνυνται. οὕτω μὲν οὖν ὁ αὐτοκράτωρ ἐξ ἑσπέρας αὐτῆς παρεσκευάζετο. αὐγαζούσης δὲ ἡμέρας διελὼν τὸ στράτευμα καὶ εἰς φάλαγγας

1. πολέμους CG. 9. ἐβουλεύσατο G. 10. lege κατασυστάδην. 13. τὴν alterum add. C. 17. ἀπερισαλπίστως PG, ἀπερισαλπίγκτως in margine. 19. πολυβωτοῦ G.

erantque etiam Cantzus et Catranes, viri fortes et flagranti in imperatorem studio. manum Scytharum non ita parvam ubi procul conspexit, pugnam conseruit, in qua multi Romanorum cadunt, alii capti a Scythis trucidantur, reliqui satis magno numero Rusium incolumes evadunt. verum hoc cum pabulatoribus Scytharum proelium erat; postero die, cum Maniacatae qui dicuntur Latini advenissent, aucto imperator animo, ipsa acie depugnare cum Scythis constituit. quoniam exercitus non magno intervallo distabant, classicum canere ausus non est; quippe inopinatos opprimere voluit. arcessivit igitur Constantinum, qui curam regiorum accipitrum habebat, eique mandavit, ut tympanum a vespere per totam noctem castra circumiens pulsaret militesque ad pugnam se accingere iuberet; nam sole orto imperatorem signo non dato Scythas aggressurum. at Scythae Polyboto profecti, locum Haden dictum praeoccupant, ibique castra ponunt. tali igitur modo postquam imperator ab ipso vespere pugnam paravit, oriente sole distribuit ordines, acieque instructa in hostem pro-

καταστήσας, ἴεται κατ' αὐτῶν. οὔπω δὲ τῆς συμβολῆς τοῦ πολέμου γενομένης, ἀλλ' ἑκάστου τῶν ταγμάτων ἤδη καθισταμένου, ὁ Νεάντζης κατά τινα παρακειμένην ἀκρολοφίαν ἀνελθὼν ἐφ' ᾧ κατασκοπῆσαι μὲν τὰς Σκυθικὰς παρατάξεις, ὡς B ἔλεγεν, ἀγγελίαν δὲ τῷ αὐτοκράτορι τῆς αὐτῶν καταστάσεως συγκομίσαι, ἅπαν τοὐναντίον ἐποίει. καὶ τῇ ἰδίᾳ διαλέκτῳ τοῖς Σκύθαις τηνικαῦτα συνεβούλευε, τὰς ἁμάξας μὲν στοιχηδὸν καταστῆσαι, αὐτοὺς δὲ μὴ δεδιέναι τὸν αὐτοκράτορα, τετραμμένον τε ὄντα ἤδη ἐκ τῆς πρώτης ἥττης καὶ πρὸς φυγὴν ἕτοιμον, σπάνιν τῶν στρατευμάτων καὶ τῶν συμμάχων ἔχοντα. ταῦτα εἰπὼν κάτεισι πρὸς τὸν αὐτοκράτορα. μιξοβάρβαρος δέ τις εἰδήμων τῆς Σκυθικῆς διαλέκτου, συνεὶς τὰ πρὸς τοὺς Σκύθας παρὰ τοῦ Νεάντζη λεχθέντα, ἀπαγγέλλει πάντα C τῷ βασιλεῖ. ἐν αἰσθήσει δὲ τούτου γενόμενος ὁ Νεάντζης, ἀνεζήτει τὸν ἔλεγχον· ἀναισχύντως δ' ὁ μιξοβάρβαρος εἰς μέσον ἐλθὼν ἤλεγχεν. ἐκεῖνος δὲ τὸ ξίφος ἀθρόον σπασάμενος, ἀπέκοψε τἀνθρώπου τὴν κεφαλήν, αὐτοῦ τε τοῦ βασιλέως ὁρῶντος καὶ ἑκατέρωθεν τῶν φαλάγγων ἱσταμένων. καί, οἶμαι, τὴν ὑποψίαν τῆς συκοφαντίας ὁ Νεάντζης ἐκκλίνων ἐκ τῆς σφαγῆς τοῦ συκοφαντοῦντος, ὕποπτον μᾶλλον ἑαυτὸν καθιστᾷ. τί γὰρ μὴ τὸν ἔλεγχον περιέμενεν; ἀλλ', ὡς ἔοικε, γλῶτταν ἐθέλων προαναιρεῖν ἐξορχουμένην τὰς κατ' αὐτὸν D

1. ἵεται PG, correxi. αὐτῶν C, αὐτοῦ PG. 7. συνεβούλευεν G. 9. τετραμμένον G, τετρεμμένον P. ἤδη ὄντα G. 12. συνιεὶς G. 13. πάντα om. CG.

cedit. priusquam exercitus congrederentur, ordinibus iam constitutis, Neantzes collem vicinum ascendit, quo Scytharum, ut aiebat, exercitum specularetur referretque imperatori, quomodo acies eorum instructa esset. sed contraria omnia fecit. Scythis enim lingua ipsorum suasit, ut plaustra ordine collocarent, neve imperatorem metuerent, ex nupera clade iam trepidum fugamque meditantem, quippe qui nec suos nec auxiliares idoneo numero haberet. haec locutus, ad imperatorem descendit. semibarbarus autem quidam, linguae Scythicae peritus, cum intellexisset, quae Neantzes cum Scythis locutus erat, omnia imperatori nuntiavit. quod ubi Neantzes sensit, disquisitionem rei postulat; ibi tum audacter semibarbarus prodit, criminisque eum arguit. at ille, stricto confestim gladio, caput hominis abscidit, imperatore cernente ipso ordinibusque utrimque adstantibus. ita quam amovere a se proditionis suspicionem Neantzes volebat nece accusatoris, auxit potius atque confirmavit. cur enim non exspectabat disquisitionem criminis? verum enimvero cum linguam effutientis fallaciam suam, ut apparet, extinctam cuperet, etiam au-

δολιότητας, τολμᾷ τι καὶ παραβολώτερον, πρᾶγμα ποιήσας βαρβαρικῆς μὲν ψυχῆς ἄξιον, ὕποπτον δὲ τοσοῦτον, ὅσον καὶ τόλμης ἐφίκετο. οὐ μὴν ὁ βασιλεὺς εὐθὺς ἐτιμωρήσατο τὸν V. 168 βάρβαρον οὐδὲ ἐπεξῆλθε, δέον ὄν. ἀλλὰ τὴν μὲν καρδίαν παλλομένην εἰς θυμὸν καὶ ὀργὴν ἐπέσχεν αὐτίκα, ἵνα μὴ προσοβήσῃ τὴν θήραν καὶ ταράξῃ τὰς φάλαγγας. ἐταμιεύετο P. 212 δὲ καὶ ὑπώρυττε τὴν ὀργὴν τῷ Νεάντζῃ, τούτου προδοσίαν τοῦ ἀνδρὸς καὶ τὴν ἀποστασίαν καὶ ἀπὸ τῶν προειργασμένων καὶ ἐξ ἄλλων προμαντευόμενος· ἐπὶ ξυροῦ γὰρ ἀκμῆς εἱστήκει τὰ τοῦ πολέμου· καὶ διὰ τοῦτο περιυλακτοῦντα τὸν θυμὸν ὁ βασιλεὺς τέως ἐπεῖχεν, ἀπορῶν τὸ τηνικαῦτα, ὅ τι καὶ δράσειεν. ὁ μέντοι Νεάντζης μετὰ μικρὸν προσελθὼν καὶ τοῦ σφετέρου ἀποβὰς ἵππου, ἄλλον ᾐτεῖτο τὸν βασιλέα. καὶ δίδωσιν αὐτῷ παραχρῆμα ἵππον τῶν ἐκκρίτων μετὰ βασιλικῆς ἐφεστρίδος. εἰς ὃν ἀναβάς, ἐπεὶ τὰ τάγματα κατ' ἀλλή- B λων διὰ τοῦ μεσαιχμίου ἤδη ᾖεσαν, σχῆμα κατὰ τῶν Σκυθῶν ἱππασίας ποιησάμενος, τὴν ἀκωκὴν τοῦ δόρατος ὄπισθεν στρέψας, πρὸς τοὺς ὁμογενεῖς φοιτᾷ, πολλὰ κατὰ τῆς βασιλικῆς παρατάξεως αὐτοῖς παραινῶν. οἱ δὲ ταῖς ὑποθημοσύναις αὐτοῦ χρώμενοι, καρτερὸν τὸν μετὰ τοῦ αὐτοκράτορος συνάψαντες πόλεμον, τρέπουσι κατακράτος. ὁ δὲ βασιλεὺς διασπασθείσας τὰς φάλαγγας ὁρῶν καὶ φεύγοντας ἅπαντας,

3. ἐτιμωρήσατο: ἐπεπορεύσατο C et in margine P. 4. ἐπεξῆλθε C, ὑπεξῆλθε PG. 6. ἐταμιεύσατο CG. 8. τὴν om. G. 11. τὸ om. G. 15. ἐπιβὰς G. ἐπὶ PG, ἐπεὶ Iac. Gronovius. 20. τὸν add. C.

dacius designavit facinus, barbaro vere dignum et tam suspiciosum, quam temerario ausu. neque tamen imperator statim in barbarum, quemadmodum oportebat, animadvertit, nec in ius eum vocavit; sed exardescentem ira atque indignatione animum repressit, ne proterreret praedam ordinesque turbaret. ac licet proditionem Neantzis atque defectionem mox futuram tum ex iis, quae admiserat, tum ex aliis colligeret, tamen iram in hominem tenuit dissimulavitque. cum enim res in ipso discrimine versaretur, nec imperator, quid ageret, haberet, effervescentem iracundia animum cohibuit. Neantzes autem brevi post adiit ad eum, et suo desiliens equo, alium ab imperatore poposcit. dari confestim imperator eximium ipsi atque regio ornatum strato iussit. quo conscenso, cum exercitus in se iam vaderent, et ipse velut infestus in Scythas equitavit, sed hastae mucrone in nostros verso, suis se immiscuit popularibus, quibus multa de acie imperatoris praecepit. his consiliis barbari usi, gravi pugna commissa, imperatoris copias plane fundunt. qui cum disiectos ordines cerneret

ἐν ἀμηχανίᾳ γενόμενος, παρακινδυνεύειν ἀλόγως οὐκ ἤθελεν. ἔνθεν τοι καὶ τὰς ἡνίας στρέψας, μέχρι τοῦ ῥέοντος ποταμοῦ ἐγγὺς τοῦ Ῥουσίου καταλαμβάνει. κἀκεῖθεν τὸν χαλινὸν ἀνασειράσας, μετά τινων λογάδων ὡς ἑνὸν πρὸς τοὺς διώκοντας C ἀπεμάχοντο, ἱππασίας κατ' αὐτῶν ποιούμενος, πολλοὺς μὲν κτείνων, ἔστι δ' οὗ καὶ αὐτὸς πληττόμενος. ἐπειδὴ δὲ ἐξ ἑτέρου μέρους καὶ Γεώργιος ὁ Πύρρος καλούμενος φεύγων τὸν ποταμὸν κατελάμβανεν, ἐμβριμησάμενος τοῦτον ὁ αὐτοκράτωρ μετεκαλέσατο πρὸς ἑαυτόν. ὡς δὲ τὸ ἰταμὸν τῶν Σκυθῶν ἑώρα καὶ ὅτι ὅσαι ὧραι πληθύνουσι, καὶ ἄλλων ἐρχομένων εἰς τὴν αὐτῶν ἀρωγήν, τὸν μὲν Γεώργιον αὐτοῦ που καταλέλοιπεν μετὰ τῶν λοιπῶν, παραγγείλας μετὰ φειδοῦς ἀντικαθίστασθαι τοῖς Σκύθαις, μέχρις ἂν αὐτὸς ἐπανέλθοι. γοργῶς δὲ τοῦ ἵππου τὸ ψάλλιον περιστρέψας, τὴν περαίαν τοῦ ποταμοῦ καταλαβών, εἴσεισιν εἰς τὸ Ῥούσιον, καὶ ὅσους D τῶν φευγόντων στρατιωτῶν κεῖθι κατέλαβε, καὶ τοὺς αὐτόχθονας ἅπαντας Ῥουσιώτας, ὁπόσοι στρατεύσιμον τὴν ἡλικίαν εἶχον, ἀλλὰ καὶ αὐτοὺς δὴ τοὺς ἀγρότας μετὰ τῶν ἰδίων ἁμαξῶν παρεκελεύσατο θᾶττον ἐξεληλυθότας παρὰ τῷ χείλει τοῦ ποταμοῦ καταστῆναι. τούτου δὲ θᾶττον ἢ λόγου γεγονότος, κατὰ στοίχους τινὰς καταστήσας αὐτούς, αὖθις πρὸς τὸν Γεώργιον ἀναδεδραμήκει, καίτοι ὑπὸ τεταρταϊκοῦ κακοῦ

5. an ἀπεμάχετο? 6. μὲν CG, δὲ καὶ P. δ' add. G.
8. τούτῳ G. 18. ἀλλὰ δὴ καὶ αὐτοὺς τοὺς ἀγρότας G.
19. τὸ χεῖλος CG. 21. κατὰ στοίχους C, καταστοίχους PG.
22. τεταρταϊκοῦ C, τεταρταίου PG. κακοῦ ῥίγους om. G.

omnesque in fugam datos, inops consilii, temere periclitari diutius noluit; versisque habenis usque ad fluvium prope Rusium fluentem recedit. tum vero equum sistens, cum primoribus nonnullis persequentes, quantum poterat, propulsavit, invectusque in eos, multos caedit, interdum et ipse vulneratur. ubi autem ex altera parte Georgius, cognomento Pyrrhus, fugiens ad fluvium pervenit, graviter hunc increpatum imperator ad se arcessivit. sed cum temeritatem Scytharum animadverteret, augerique in horas numerum eorum, aliis super alios auxilio venientibus, Georgio cum ceteris ibi relicto mandavit, ut modice Scythis obsisteret, dum ipse reverteretur. dein celeriter equo converso, amnem traiicit, Rusiumque ingressus, quotquot fugientes illic milites invenit, indigenasque omnes Rusiotas, quicunque militari erant aetate, ipsos insuper rusticos cum plaustris suis prodire confestim atque ad ripam fluminis consistere iubet. quibus dicto citius factis, postquam ordine quodam istos disposuit, ad Georgium recur-

ῥίγους πιεζόμενος, ὡς καὶ τοὺς ὀδόντας ἀπὸ τῆς φρίκης προσαράσσειν. ἐπισυναχθὲν δὲ καὶ τὸ ἅπαν Σκυθικὸν στράτευμα ὡς τὴν διττὴν ἐθεάσαντο παράταξιν καὶ τὸν αὐτοκράτορα
P. 213 οὕτως ἀγωνιζόμενον, τὸ φιλοκίνδυνον αὐτοῦ ἐπεγνωκότες καὶ ὅτι ὁ αὐτὸς κἂν ταῖς νίκαις κἂν ταῖς ἥτταις ἐστί, τὴν ἀνύποιστον τούτου ἐπεγνωκότες ὁρμήν, ἑστήκεσαν μὴ ἀποθαρροῦντες τὴν μετ' αὐτοῦ συμπλοκήν. ὁ δὲ αὐτοκράτωρ τὸ μέντοι ὑπὸ ῥίγους συνεχόμενος, τὸ δὲ πλεῖστον ὅτι οὔπω οἱ σκεδασθέντες ἅπαντες ἔφθασαν συνεληλυθέναι, ἵστατο καὶ αὐτὸς παραθέων καὶ μετρίως ἱππαζόμενος καὶ κατ' αὐτῶν θάρσος ἐνδεικνύμενος. συνέβαινεν οὖν ἄμφω τὰ στρατεύματα ἀτρεμοῦντα μέχρις ἑσπέρας ἑστάναι. ἐπεὶ δὲ ἡ νὺξ ἤδη
V. 169 προῄει, ἀμαχητὶ πρὸς τὰς ἰδίας ἐπανέστρεψαν παρεμβολάς.
B ἐδεδίεσαν γὰρ καὶ ἀποθαρρεῖν οὐκ εἶχον τὸν πόλεμον. οἱ δέ γε κατὰ τὴν πρώτην μάχην ἄλλοι ἀλλαχοῦ σκεδασθέντες, κατὰ μικρὸν αὖθις πρὸς τὸ Ῥούσιον ἐπανήρχοντο· οἱ πλείους δὲ τούτων καὶ μάχης παντελῶς ἄγευστοι. ὁ δέ γε Μοναστρᾶς καὶ Οὐζᾶς καὶ ὁ Συνέσιος, ἄνδρες Ἀρηΐφιλοι καὶ μαχιμώτατοι, διὰ τοῦ Ἄσπρου καλουμένου τῷ τότε διελθόντες χωρίου, ἀπόμαχοι καὶ αὐτοὶ τὸ Ῥούσιον καταλαμβάνουσιν.

10. Ὁ δὲ αὐτοκράτωρ ὑπὸ τοῦ συνέχοντος αὐτόν, ὡς ἔφην, ῥίγους βιαζόμενος, κατεκλίθη μικρὸν ἑαυτὸν ἀνακτη-

4. οὕτως: τοσοῦτον P in margine. 5. κἂν ἐν ταῖς νίκαις G. 12. ἤδη om. G. 13. ὑπέστρεψαν G. 15. ἄλλοι ἀλλαχοῦσε PG, ἄλλοσε ἀλλαχῇ P in margine, ἀλλαχοῦ C. an ἀλλαχόσε? 16. πρός: εἰς CG. 22. ἀνακτησάμενος G.

rit, licet frigore quartanae ita affectus, ut dentes collliderentur. Scytharum copiae ibidem congregatae, cum duplicem conspicerent Romanorum aciem atque contentionem imperatoris, cuius promtum ad pericula et in victoriis iuxta cladibusque immutatum animum nossent, impetum eius sustinere se posse desperantes, invadere non audebant. imperator autem, cum frigore correptus, tum maxime, quod dispersi fuga nondum omnes convenerant, stabat et ipse, circuiens ordines crebroque obequitans et hostibus ostentans animum. quo factum est, ut usque ad vesperam uterque exercitus loco non moveret; nox autem ubi adfuit, in sua uterque castra reversus est: metu enim acie decernere non audebant. interim dispersi prima pugna alius alio, paulatim Rusium revertebant; plerique eorum certamini omnino non interfuerant. Monastras autem Uzasque et Synesius, homines bellicosissimi, Aspro, qui dicitur locus, transito, proelii et ipsi expertes, Rusium perveniunt.

10. At imperator febri, qua aegrum eum fuisse docuimus, coa-

σάμενος. ἀλλ' ὅμως οὐδ' οὕτως ἠρέμει, σκεπτόμενος, τί ἂν
χρὴ τὴν αὔριον ποιῆσαι. προσελθὼν δ' ὁ Τατράνης, (Σκύ- C
θης δὲ οὗτος ὁ ἀνὴρ πολλάκις αὐτομολήσας πρὸς τὸν αὐτο-
κράτορα καὶ παλινδρομήσας αὖθις οἴκαδε καὶ τοσαυτάκις παρ'
αὐτοῦ συμπαθείας ἀξιωθεὶς καὶ πολὺν τὸν πόθον εἰς αὐτὸν
διὰ τὴν τοσαύτην ἀνεξικακίαν ἐσχηκώς,) τὰ ὑπὲρ αὐτοῦ ὅλῃ
ψυχῇ καὶ φρονῶν καὶ πραγματευόμενος ἔφη· "ἐλπίς ἐστί
μοι, βασιλεῦ, κατὰ τὴν αὔριον τοὺς Σκύθας κυκλῶσαι ἡμᾶς
καὶ οὕτω τὸν μεθ' ἡμῶν ἀναζητῆσαι πόλεμον. χρὴ τοίνυν
προλαβόντας ἔξω τῶν τειχῶν αὐγαζούσης ἡμέρας παρατάξα-
σθαι." ἐπαινέσας δὲ τοῦτον ὁ βασιλεὺς καὶ ἀποδεξάμενος
τῆς βουλῆς, συνέθετο ἡλίου ἀνίσχοντος πέρας ταύτην λαβεῖν. D
ὁ δὲ ταῦτ' εἰπών, ἀπελθὼν τοιαῦτα πρὸς τοὺς ἡγεμόνας ἀπε-
στομάτισε τῶν Σκυθῶν· "μὴ ἐπαίρεσθε διὰ τὰς προγεγενη-
μένας ἥττας τοῦ αὐτοκράτορος, μηδὲ ὀλιγοστοὺς ὁρῶντες
ἡμᾶς, τὴν μεθ' ἡμῶν ἀγαθαῖς ἐλπίσι θαρρεῖτε μάχην. ἄμα-
χος τὴν ἰσχύν ἐστιν ὁ κρατῶν καὶ πολὺ μισθοφορικὸν ὅσον
ἤδη ἐλπίζεται καταλαβεῖν. καὶ εἰ μὴ τὴν μετ' αὐτοῦ εἰρή-
νην σπάσησθε, τὰ σώματα ὑμῶν οἰωνοὶ ἔδονται." τοιαῦτα
μὲν τὰ τοῦ Τατράνη πρὸς τοὺς Σκύθας. ὁ δέ γε αὐτοκρά-
τωρ μελετήσας τοὺς κατὰ πεδιάδα νεμομένους ἵππους αὐτῶν P. 214

2. τὴν C, τὸ G, τὸν P. τραγάνης G et in margine P. 4. τοσαύτης CG. 11. τοῦτο CG. 19. ἀποπτύσεσθε G et in margine ἀποσπάσησθε. lege ἀσπάσησθε, ut supra 308, 17.

ctus, decubuit paullulum, quo se reficeret. verum ne tum quidem otiosus plane erat, sed circumspiciebat, quid postero mane faciendum esset. talia meditantem adit Tatranes, (Scytha hic erat, qui cum saepius ad imperatorem transiisset, atque ad suos rursus reversus esset, toties venia delicti et impunitate ab imperatore impetrata, ob hanc clementiam magno eum amore prosequebatur,) hic igitur imperatori toto pectore studens, "suspicio, inquit, mihi est, imperator, crastino mane Scythas nobiscum circumventis proelium inituros esse. itaque oportet nos antevertere, et prima luce aciem ante moenia instruere." laudavit virum imperator, probatoque consilio eius, oriente sole, quae suadebat, facere constituit. Tatranes autem, postquam ita ad imperatorem locutus est, Scytharum duces adiit, et "ne efferamini, inquit, propter victorias, quas de imperatore reportastis; neve quod exiguo nos numero videtis, vincendi fiducia proelium incipiatis. nam invicti roboris imperator est et multi auxiliarii milites iamiam exspectantur. nisi pacem cum eo complectamini, cadavera vestra vulturibus epulas dabunt." haec Tatranes ad Scythas. imperator autem innumeros, qui in campo pascebantur, Scytharum equos quotidie agrum

ἀναλαβέσθαι (ἦσαν δὲ παμπληθεῖς) ληϊζομένων ὁσημέραι τὰς νύκτας τὴν ἡμεδαπὴν χώραν, μεταπεμψάμενος τόν τε Οὐζᾶν καὶ τὸν Μοναστρᾶν, ἐπέσκηψε μεθ' ἱππέων ἐκκρίτων ἐξ ὀπισθίων τῶν Σκυθῶν διελθόντας κατὰ τὸ περίορθρον τὰς πεδιάδας καταλαβεῖν, καὶ τοὺς ἵππους ἅπαντας καὶ τὰ ἄλλα κτήνη σὺν αὐτοῖς νομεῦσιν ἀναλαβέσθαι, καὶ μὴ δεδιέναι παρεκελεύετο. "ἡμῶν γάρ, φησι, κατὰ πρόσωπον αὐτοῖς μαχομένων, ὑμεῖς ῥᾳδίως τὸ κελευσθὲν ἐκπληρώσετε." οὐδαμῶς δὲ τοῦ σκοποῦ διημάρτηκεν. ὁ γὰρ λόγος ἔργον εὐθὺς ἐγε-
B γόνει. αὐτὸς δὲ τὴν κατ' αὐτοῦ τῶν Σκυθῶν ἐπέλευσιν προσδόκιμον ἔχων, οὐκ ἐδίδου ὕπνον τοῖς ὀφθαλμοῖς, οὐδ' ἐπινυστάζων ὅλως ἦν. ἀλλὰ μεταπεμπόμενος δι' ὅλης νυκτὸς τοὺς στρατιώτας, καὶ μᾶλλον τοὺς τῆς τοξείας εἰδήμονας, πολλὰ περὶ τῶν Σκυθῶν ὡμίλει, ἐπαλείφων οἷον αὐτοὺς καὶ τὰ συνοίσαντα πρὸς τὴν ἐλπιζομένην ἐς νέωτα μάχην ξυμβουλεύων, ὅπως δεῖ τόξον τείνειν καὶ βέλη πέμπειν, ἔστιν οὗ καὶ τοὺς ἵππους ἀνασειράζειν καὶ αὖθις ἐνδιδόναι τὸν χαλινόν, καὶ ἀποβαίνειν τῶν ἵππων, εἰ καὶ τοῦτο χρή. ἀλλὰ ταῦτα
V. 170 μὲν τὰ τῆς νυκτὸς ἔργα. μικρὸν δὲ ὑπνώσας, ἐπεὶ τῆς ἡμέρας
C ἤδη ἐπιφωσκούσης οἱ λογάδες ἅπαντες τῶν Σκυθῶν διαπεραιωθέντες τὸν ποταμὸν . . . τὸν πόλεμον ἀναζητεῖν ἐῴκεσαν, καὶ ἤδη πέρας ὁ τοῦ αὐτοκράτορος ἐλάμβανε στοχασμός, (δεινὸς γὰρ

1. καὶ νυκτὸς G. 4. περίορθρον τοὺς ἵππους τούτων καὶ τἄλλα κτήνη A. 7. παρεκελεύσατο CG. φησι add. A. αὐτῶν A. 8. ἐκπληρώσατε A. 10. προσδοκῶν A. 11. οὐδὲ A. 12. ἦν ὅλως G. 15. lege συνοίσοντα. vid. annotat. 20. ἐπιφωσκούσης CA, ἐπιφωσκώσης PG. 21. ποταμὸν τὸν πόλεμον CA.

nostrum noctu devastantium capere in animo habens, Uzam Monastramque arcessivit, eosque cum lectis equitibus hostium terga circumvectos, primo diluculo planitiem occupare, atque omnes equos ceteraque iumenta cum ipsis pastoribus capere iussit. addit "nolite metuere; nobis enim a fronte pugnantibus, vos facile mandata exsequi poteritis." nec spes eum fefellit; nam quod dixerat, statim eventum habuit. ipse Scytharum impetum exspectans, somnum illa nocte non vidit oculosque ne connivere quidem passus est. sed tota nocte milites, iaculatores maxime, arcessitos confirmavit ac multa ad usum pugnae postero die committendae edocuit, praecepitque, quomodo arcum tenderent et tela mitterent, subinde etiam equum vel refrenarent vel admitterent, vel, si opus esset, desilirent. haec nocte agebat; quiete autem modica sumta, cum prima luce duces omnes Scytharum traiecto fluvio proelium capessuri viderentur, iamque coniectura impera-

ἦν προϊδέσθαι τὸ μέλλον, ἐμπειρίαν πολλὴν τῇ πυκνότητι τῶν ὁσημέραι κατ' αὐτοῦ ἐπανισταμένων πολέμων λαβὼν,) ἐπιβὰς παραχρῆμα τοῦ ἵππου, τὴν ἐνυάλιον ἠχῆσαι προσέταττε σάλπιγγα, καὶ τὰς φάλαγγας καταστησάμενος, αὐτὸς ἐπὶ τοῦ μετώπου εἱστήκει. ὁρῶν δὲ τοὺς Σκύθας ἰταμώτερον ἢ πρότερον ἐπικαταλαμβάνοντας, παραχρῆμα τοὺς τῆς τοξείας εἰδήμονας ἀποβῆναι τῶν ἵππων καὶ βάδην κατ' αὐτῶν ἰέναι ἐπέ- D σκηψεν καὶ συνεχῆ τὰ τόξα τείνειν· τὸ δέ γε λοιπὸν τῆς παρατάξεως κατόπιν τούτων ἵετο καὶ αὐτὸς ὁ αὐτοκράτωρ, τὸ μέσον διέπων τοῦ στρατεύματος. οἱ δὲ τοῖς Σκύθαις μετα τόλμης προσέβαλον. καρτερᾶς δὲ τῆς μάχης γεγονυΐας, τὸ μὲν τῇ πυκνότητι τῶν βελῶν, τὸ δὲ καὶ τὸν τοῦ Ῥωμαϊκοῦ συντάγματος συνασπισμὸν ὁρῶντες καὶ αὐτὸν δὴ τὸν αὐτοκράτορα ἐκθύμως μαχόμενον, ἐκδειματωθέντες παλιμπόρευτοι γεγό- P. 215 νασι, τὸν ποταμὸν εἰς τοὐπίσω σπεύδοντες διαπερᾶν, πρὸς τὰς σφῶν ἁρμαμάξας τὴν φυγὴν ποιούμενοι. ἐδίωκον γὰρ ὅλους ῥυτῆρας ἀφέντες οἱ τῆς Ῥωμαϊκῆς φάλαγγος, οἱ μὲν τοῖς δόρασι κατὰ τῶν μεταφρένων παίοντες, οἱ δὲ τοῖς βέλεσι τούτους βάλλοντες. πολλοὶ μὲν οὖν πρὸ τοῦ παρὰ τὸ χεῖλος ἐφθακέναι τοῦ ποταμοῦ ἀναιρεθέντες πίπτουσι, πολλοὶ δὲ καὶ ἀνὰ κράτος φεύγοντες ταῖς δίναις ἐμπίπτοντες τοῦ ποταμοῦ παρασυρόμενοι ἐναπεπνίγοντο. ἐκθυμότερον δὲ ἁπάντων κατὰ B

7. τῶν ἵππων ἀποβῆναι ἐπέσκηψε καὶ βάδην χωρεῖν κατὰ τῶν σκυθῶν. καρτερᾶς δὲ A. 8. τῆς add. G. 12. τῇ πυκνότητι A, τὴν πυκνότητα PG. 16. ἀμάξας A. 17. Ῥωμαίων CG. 21. ἀνὰ κράτος A, ἀνακράτος PG. 22. ἀποσυρόμενοι G. ἐναπεπνίγοντο CAG, ἀπεπνίγοντο P.

toris evaderet, (nam acutus erat in praecipiendis futuris magnamque sibi experientiam ex proeliis quotidie commissis paraverat,) equo statim conscenso, signum dari iussit, instructaque acie, in fronte stetit ipse. cumque Scythas vehementius quam antea irruere animadverteret, confestim iaculatores descendere equis iubet et pedibus procedere, nulla iaculandi intermissione facta. quos sequebantur reliquae copiae ipseque imperator in media curans acie. audacter illi Scythas aggrediuntur; ac postquam acriter pugnatum est, barbari, et propter telorum multitudinem, et quoniam confertam Romanorum aciem imperatoremque ipsum fortissime pugnantem videbant, metu terga vertunt fluviumque iterum traiicere festinant, carraginem repetentes. insequebantur toto impetu Romanorum ordines, partim hastis terga pulsantes, partim iaculis ferientes. itaque multi, priusquam ad fluvii ripam pervenirent, percussi cecidere; multi sine respectu fugientes, amnis gurgitibus hausti, misere perierunt. fortissime omnium illo die

τὴν ἡμέραν ἐκείνην οἱ περὶ τὸν αὐτοκράτορα διαπονούμενοι θεράποντες ἠγωνίσαντο. ἦσαν γὰρ ἀκμῆτες ἅπαντες. ὁ δέ γε αὐτοκράτωρ ἔκδηλος ἀριστεὺς κατὰ ταυτηνὶ τὴν ἡμέραν ἀναδειχθείς, νικητὴς πρὸς τὴν ἰδίαν παρεμβολὴν ὑπέστρεψεν.

11. Ἐπὶ τρισὶν οὖν ἡμέραις αὐτοῦ που διαναπαυσάμενος, ἐκεῖθεν ἀπάρας καταλαμβάνει τὴν Τζουρουλόν. σκοπήσας δέ, ὡς χρὴ μὴ ταχέως ἐκεῖθεν μεταστῆναι, τάφρον ἀπο- C χρῶσαν πρὸς τὸ ἀνατολικώτερον μέρος τοῦ πολιχνίου ταῖς προσούσαις αὐτῷ δυνάμεσι διορύξας, τήν τε βασιλικὴν σκηνὴν καὶ τὰς σκευὰς ἁπάσας εἴσω τούτου κατέθετο. οἱ δέ γε Σκύθαι ἐπιόντες καὶ οὗτοι κατὰ τῆς Τζουρουλοῦ, ἐπειδὴ προκαταλαβεῖν τὸν αὐτοκράτορα ταύτην ἠκηκόεισαν, διαβεβηκότες τὸν ἀνὰ τὴν πεδιάδα ῥέοντα ποταμὸν ἀγχοῦ που τοῦ πολιχνίου τούτου, (Ξηρόγυψον τοῦτον ἐγχωρίως κατονομάζουσι,) τὸν χάρακα ἐπήξαντο, μεταξὺ ὄντες τοῦ τε ποταμοῦ καὶ τοῦ πολιχνίου. καὶ οἱ μὲν ἦσαν ἔξωθεν τὴν πόλιν ταύτην κυκλώσαντες· ὁ δὲ βασιλεὺς ἔνδον ἐναπειλημμένος καθάπερ πολιορ- D κούμενος. ἀλλ' ἐπεὶ νὺξ κατέλαβεν, ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες ἱπποκορυσταί, τοῦτο δὴ τὸ τῆς Καλλιόπης Ὁμήρου, εὗδον· τὸν δὲ αὐτοκράτορα Ἀλέξιον οὐκ ἔχε νήδυμος ὕπνος. ἀλλὰ διηγρύπνει τε καὶ ἀνέλιττε λογισμούς, ὅπως τὸ θράσος

4. ἐπανέστρεψεν A. 5. τρισὶν οὖν A, τρισὶ γοῦν PG. αὐτόθι A. ἀναπαυσάμενος A. 9. τε om. A. 10. γε add. A. 11. σκύθαι τὸν οὕτω πως ἐγχωρίως ποταμὸν τὸν καλούμενον ξυλόγυψον διαβεβηκότες τὸν χάρακα ἐπήξαντο A. 15. ὄντες om. A. τε om. A. 19. τὸ ὁμήρειον A. 20. εἶχεν C. ἥδυμος C. 21. ὅ γε . . . πνει A. ἀνεΐλιπτε A. lege ἀνείλιττε.

imperatoris domestici pugnaverunt; erant enim omnes ipso aetatis flore. imperator autem, qui heroem sane virtute excellentem hoc die se probavit, victor in castra reversus est.

11. Trium ibi dierum quiete capta, Tzurulum proficiscitur; unde cum non ita cito movendum censeret, castra idonea magnitudine copiis, quae tum aderant, ad orientalem oppidi metatus partem, tabernaculum regium vasaque omnia ibi deposuit. Scythae et ipsi Tzurulum adibant; sed ut praeoccupatum oppidulum ab imperatore audiverunt, traiecto amne, qui per planitiem haud procul fluit (Xerogypsum indigenae eum appellant,) castra amnem inter et oppidulum posuerunt. atque hi quidem urbem illam circumsidebant; imperator intus quasi obsessus tenebatur. nox ubi adfuit, ceteri quidem dii ac proeliatores, ut Calliope Homeri ait, dormiebant, at imperator Alexius dulci haud declinavit lumina somno, sed vigil dispiciebat ani-

τῶν βαρβάρων τέχνῃ καταγωνίσηται. ἰδὼν τοίνυν ὡς τὸ πολίχνιον τοῦτο ἡ Τζουρουλὸς ἐπὶ λόφου ἀνεζηκότος τετείχι- V. 171 στο, τὸ δὲ βάρβαρον ἅπαν κάτω που περὶ τὴν πεδιάδα ἅπαν ηὐλίσατο, ἐπεὶ μὴ ἀποχρῶσαν πρὸς τοσαῦτα πλήθη δύναμιν εἶχεν, ὥστε τὴν μετ' αὐτῶν ἀποθαρρῆσαι μάχην κατασυστάδην, ἐπινοεῖταί τι καὶ μάλα εὐμήχανον. ἀναλαβόμενος τὰς τῶν οἰκητόρων ἁμάξας καὶ ταύτας ἀφελὼν ἀπὸ τῶν ἐπικραββάτων, τούς τε τροχοὺς τούτων καὶ τοὺς ἄξονας ἄνω κατέσχε, κἀθ' οὕτως ἔξω τοῦ τείχους ἐπὶ τῶν κρηδέμνων ἐφεξῆς ἀπαιωρεῖ διά τινων καλωδίων ἐναποδεσμουμένων ταῖς P. 216 ἐπάλξεσι τῶν τειχῶν. καὶ ἅμα τε τοῦτο ἐνενόησε καὶ εἰργάσατο. καὶ μιᾶς ὥρας ἐναπεκρέμαντο κύκλῳ οἱ τροχοὶ μετὰ τῶν ἀξόνων, ὥσπερ τινὲς ἐφεξῆς κυκλοὶ κείμενοι, καὶ ἀλλήλοις ἐγγίζοντες καὶ τοῖς ἄξοσιν αὐτῶν ξυνδεσμούμενοι. πρωΐθεν δὲ ἀναστὰς καὶ αὐτός τε ὁπλισάμενος καὶ τοὺς ἄλλους ὁπλίσας, ἐξάγει τοῦ τείχους, ἀντιμετώπους στήσας τοὺς στρατιώτας τοῖς βαρβάροις. συνέβαινε δέ, ἐφ' ἃ μέρη τὰ κύκλα τῶν τροχῶν ἀπῃώρηται, ἐπ' ἐκεῖνα καὶ τοὺς ἡμετέρους στρατιώτας ἵστασθαι καὶ ἀντικρὺ κεῖσθαι κατὰ μίαν γραμμὴν τὸ ἀντίθετον. καὶ τὸ ἐντεῦθεν αὐτὸς μέσον τῆς ἀμφ' αὐτὸν πα- B

1. καταγωνίσηται A, καταγωνήσηται P, κατασοφίσηται CG. ἰδὼν — τετείχιστο om. CG. 2. an ἀνεστηκότος? 3. ἅπαν alterutrum delendum. 5. ἀποθαῤῥῆσαι C, ἀναθαῤῥῆσαι PG. 8. τούτων add. A. κατέχειν G. 10. ἐφεξῆς om. A. διὰ καλωδίου A. ἀποδεσμουμένων A. 11. ἐνενόησε καὶ C, ἐπενόησέ τε καὶ PG. 13. ἀλλήλοις C, ἀλλήλους PG. 14. δεσμούμενοι CG. 15. ἀναστὰς, ὁπλισθέντας τοὺς στρατιώτας ἐξάγει τοῦ τείχους, ἀντιμετώπους στήσας τοῖς βαρβάροις A. 17. τοῖς βαρβάροις τοὺς στρατιώτας G, τοῖς τοὺς στρ. βαρβάροις P, recte C. 20. μέσον A, μέσης P, μὲν CG. vid. annotat.

mo, quomodo audaciam barbarorum arte superaret. itaque Tzurulum oppidulum cum in eminenti colle situm esset, barbarorum autem exercitus totus planitiem obtineret, quoniam non satis copiarum habebat, ut adversus tantam multitudinem cominus pugnaret, astum excogitavit callidissimum. plaustra incolarum cogit; tum rotas et axes, a reliquis plaustrorum partibus seiunctas, extrinsecus e summo muro ordine continuo suspendit, funibus ad murorum pinnas alligatis. quod consilium simul ut cepit, statim exsecutus est, uniusque horae spatio suspensae erant circa axibus connexae rotae, veluti orbes inter se contingentes. diluculo imperator surgens sese ipse armat, ceterosque armari iussos moenibus mox educit in hostes. accidit autem, ut qua parte rotarum orbes pendebant, ibi Romana explicaretur acies, atque

ρατάξεως ἑστηκώς, συνεβούλευεν, ἐπὰν ἡ σάλπιγξ τὸ ἐνυάλιον ἠχήσῃ, ἀποβάντας τῶν ἵππων τοὺς στρατιώτας σχολῇ καὶ βάδην κατὰ τῶν ἐναντίων χωρεῖν, τόξοις τὰ πολλὰ χρωμένους καὶ ἀκροβολισμοῖς, καὶ τὴν φάλαγγα τῶν Σκυθῶν εἰς ἑαυτοὺς προκαλεῖσθαι· ἐπὰν δὲ τούτους παρασυρέντας καὶ ἐπ' αὐτοὺς ἐγκεκραγότας τοὺς ἵππους θεάσαιντο, προτροπάδην ὀπισθορμήτους γενομένους ὀλίγον διαιρεθῆναι τηνικαῦτα διχῇ εἰς δεξιόν τε καὶ εὐώνυμον μέρος, καὶ χώραν δοῦναι τοῖς ἐναντίοις ἐς τοσοῦτον, ἕως ἂν τοῦ τείχους πλησίον γένοιντο. τούτου δὲ γεγονότος, παρήγγελτο τοῖς ἄνωθεν ἑστηκόσιν ἀπὸ C τοῦ τείχους, ὁπηνίκα τὴν σχίζαν τῶν φαλάγγων θεάσαιντο, ξίφεσι τὰ καλώδια κόπτειν καὶ ἀφεῖναι τοὺς τροχοὺς μετὰ τῶν ἀξόνων ἄνωθεν κάτω κατακρημνίζεσθαι. ἐγένετο ταῦτα κατὰ τὸ τοῦ βασιλέως παράγγελμα. καὶ ἀθρόοι μὲν ἐπαρράξαντες ἦσαν οἱ Σκύθαι σὺν ἀλαλαγμῷ βαρβαρικῷ ἱππόται κατὰ τῆς ἡμεδαπῆς παρατάξεως, πεζῇ καὶ βάδην κατ' αὐτῶν ἱεμένων πάντων, μόνου δὲ τοῦ αὐτοκράτορος ἐπόχου συγκατιόντος αὐτοῖς. οἱ δὲ κατὰ τὴν τοῦ αὐτοκράτορος τέχνην ὀλίγον γόνυ γουνὸς ἀμείψαντες καὶ οἷον ἀναποδίσαντες, διεσχίσθησαν ἀπ' ἀλλήλων, ὡς οὐκ ἄν τις ἤλπισεν, ὥσπερ θύραν τοῖς βαρβάροις πλατυτάτην εἰς τὴν εἴσοδον ὑπανοίξαν-

2. ἠχήσῃ C, ἐπιβοήσειε P, ἐμβοήσειε A, ἐνηχήσῃ τὸ ἐνυάλιον G. 5. αὐτὸ A. 8. τε om. G. 9. ἐς τοσοῦτον om. A. 11. τὴν om. G. 13. ἐγένοντο οὖν A. 14. παράγγελμα, πεζῇ A. lege ἐπαράξαντες. 15. ἦεσαν G. 17. ἱεμένων πάντων κατ' αὐτῶν AG. ἱεμένων correxi hic et infra. 18. οἱ δὲ: αὐτίκα γοῦν οἱ μὲν τοῦ βασιλέως, κατὰ τὴν ἐκείνου τέχνην, γόνυ A. 21. πλατύτατον A. ὑπανοίξαντες A, ἀνοίξαντες CG, ἀνεῴξαντες P.

exadverso hostilis exercitus staret. ipse mediam tenens aciem, suis edixit, ut, quum primum classicum cecinerit, omissis equis, lento gradu in Scythas vaderent eosque eminus lacessendo in se elicerent. iam si hos cernerent, equis incitatis, irruere, in fugam se coniicerent; sed paullulum dextrorsum sinistrorsumque discedentes, hostibus locum darent tantisper, dum ad muros accessissent. quod ubi conspexissent, qui in moenibus stabant, gladiis funes dissecare rotasque cum axibus deorsum praecipitare iubentur. fiunt imperata. Scythae conferto agmine, truci sublato clamore, equis aggrediuntur, dum nostri pedibus lente procedunt, solo imperatore equo vehente. dein hi ex imperatoris consilio genua presso gradu alternantes et quasi recedentes, in duas partes discedunt praeter exspectationem, ita ut aditum ad oppidum barbari haberent amplissimum. qui ubi per hoc aciei quasi ostium penetrarunt, rotae impetu ultra cubitum a muro ablatae, (nam

τες. καὶ ἅμα οἱ μὲν Σκύθαι εἴσω τοῦ στομίου τῆς ἑκατέρωθεν D φάλαγγος ἐγεγόνεισαν, οἱ δὲ τροχοὶ μετά τινος ῥοίζου καὶ καταφορᾶς ἐνεχθέντες, ὑπὲρ πῆχυν ἀπὸ τοῦ τείχους ἕκαστος ἐφαλλόμενοι, ἅτε τῶν κυρτοτήτων ἑκάστου τροχοῦ ἀποκρουσθεισῶν ἐκ τοῦ τείχους καὶ οἷον ἀποσφενδονηθεισῶν, εἰς μέσους τοὺς ἱππότας τῶν βαρβάρων ἐξεκυλίσθησαν, ῥύμην λαβόντες σφοδροτέραν. τὸ μὲν καὶ ἀπὸ τῆς ἀθρόας καταφορᾶς τῷ φυσικῷ πειθόμενοι βάρει, τὸ δὲ καὶ ῥοπὴν λαβόντες ἀκάθεκτον ἀπὸ τοῦ κατάντους τόπου, σφοδρῶς τε τοῖς P. 217 βαρβάροις ἐνέπιπτον καὶ πανταχόθεν αὐτοὺς περιέθλιβον, τὰ σκέλη τῶν ἵππων ὥσπερ θερίζοντες, καὶ ἀμφότερα ἑκατέρωθεν ἀπό τε τῶν ἐμπροσθίων καὶ ὀπισθίων μερῶν διατεμνόμενοι, ὀκλάσαι τοὺς ἵππους, ἐφ' ἃ μέρη τὴν πληγὴν ἀνεδέξαντο, κατηνάγκασαν καὶ τοὺς ἱππότας συγκαταβαλεῖν. ὧν ἐπαλλήλων V. 172 καὶ συχνῶν πιπτόντων, ἐξ ἑκατέρου δὲ καὶ τῶν στρατιωτῶν κατ' αὐτῶν ἱεμένων, καὶ δεινῆς τῆς μάχης τοῖς Σκύθαις πανταχόθεν ἐφισταμένης, οἱ μὲν τοῖς πεμπομένοις ἀνῃροῦντο βέλεσιν, οἱ δὲ διὰ τῶν δοράτων ἐπλήττοντο, τῶν δὲ λοιπῶν οἱ B πλείους ὑπὸ τῶν τροχῶν σφοδρῶς καταφερομένων συνωθούμε-

1. καὶ ἅμα: οἱ δέ γε σκύθαι σὺν ἀλαλαγμῷ βαρβαρικῷ κατὰ τῆς ῥωμαϊκῆς παρατάξεως ἱππόται συῤῥήξαντες, εἴσω τοῦ στομίου A. τῶν ἑκατέρωθεν φαλάγγων CG, τῶν ἑκατέρων φαλάγγων A. 3. ἐνεχθέντες τοῦ τοίχου, καὶ οἷον ἀποσφενδονηθέντες A. ἐνεχθέντες ὑπὲρ πῆχυν, ἀπὸ PG. interpunctionem mutavi. 4. ἀφελόμενοι CG. τροχῶν CG. 6. τῶν βαρβάρων ἱππότας G. 7. σφοδροτάτην CG. καὶ om. G. 8. βάζει P. 9. τοῦ τόπου P, τόπου CG, τόπους A. τε om. A. κατὰ τὰ βάρβαρα G, τὰ βάρβαρα C. 10. ἀνέπιπτον C. 13. ἐδέξαντο CG. 14. ἐπαλλήλων A, ἐπ' ἀλλήλων PG. 15. πιπτόντων ἐξ ἑκατέρων, καὶ τῶν A. 17. ἀπανταχόθεν G. τοὺς πεμπομένους G. 19. κατ' αὐτῶν φερομένων A.

orbes earum, repercussi muro, tanquam machina emittebantur,) in medios equites barbarorum devolvebantur; ac partim sua praecipitantes mole, partim declivitate loci vim nactae, vehementer in barbaros incurrebant ab omnique parte eos affligebant, crura equorum quasi demetentes; cumque anteriora aliis, aliis posteriora frangerent, procumbere equos, qua parte ictus acceperant, et deiicere equites cogebant. quorum cum alii post alios magno numero caderent, utraque insuper ex parte milites nostri advolarent, acri undique certamine orto, alii sagittis obtruncantur, alii hastis; reliqui plerique irruentium rotarum impetu ad amnem compulsi, fluctibus obruuntur. postridie cum superstites Scythas proelium repetere, suos autem bono omnes animo esse animadverteret, armari hos iussit; sumtisque et ipse ar-

νοι πρὸς τὸ ῥεῦμα τοῦ ποταμοῦ ἀπεπνίγησαν. τῇ δὲ μετ' αὐτήν, ἐπεὶ πάλιν τοὺς καταλειφθέντας Σκύθας πρὸς πόλεμον ὁρμῶντας ἑώρα, τοὺς ὑπ' αὐτὸν ἅπαντας τεθαρρηκότας κατανοήσας, ὁπλίσασθαι παρεκελεύσατο. σιδηροφορήσας δὲ καὶ αὐτὸς καὶ πολέμου σχῆμα διατυπώσας, πρὸς τὸ πρανὲς κάτεισιν. εἶτα δὴ τὰς φάλαγγας ἐπιστρέψας κατὰ πρόσωπον τοῖς Σκύθαις ἵστατο, ἐφ' ᾧ τὸν μετ' αὐτῶν, ὡς ἐνόν, συνάψαι πόλεμον. αὐτὸς μὲν οὖν τὴν μέσην τῶν ταγμάτων εἶχε χώραν· μάχης δὲ καρτερᾶς γενομένης, τὴν νικῶσαν τηνικαῦτα
C παρ' ἐλπίδας αἱ Ῥωμαϊκαὶ εἶχον φάλαγγες, καὶ ἐδίωκον τούτους ἀκρατῶς· ἐπεὶ δ' ἱκανὸν διάστημα τούτους ἑώρα διώκοντας ὁ αὐτοκράτωρ, δεδιὼς μὴ λοχῶντές τινες αἰφνιδίως ἐπεισπεσόντες τοῖς Ῥωμαίοις παλίντροπον τὴν τῶν Σκυθῶν φυγὴν ἀπεργάσωνται, καὶ προστεθέντες τούτοις καὶ οἱ φεύγοντες μέγα τὸ δεινὸν τῇ Ῥωμαϊκῇ στρατιᾷ ἐπάξωσιν, ἱππασίας πυκνὰς ποιούμενος, ἀνασειράζειν τοὺς χαλινοὺς καὶ τοὺς ἵππους ἀναψύχειν τοῖς στρατιώταις ἐκέλευεν. οὕτω γοῦν κατὰ τὴν ἡμέραν ἐκείνην ἄμφω διαστήτην τὰ στρατεύματα. οἱ μὲν γὰρ φυγάδες, ὁ δὲ βασιλεὺς χαίρων νικητὴς λαμπρὸς πρὸς τὴν ἰδίαν παρεμβολὴν ἐπάνεισιν. οἱ δὲ Σκύθαι κατα-
D κράτος ἡττηθέντες μεταξὺ τοῦ Βουλγαροφύγου καὶ τῆς μικρᾶς Νικαίας τὰς σκηνὰς ἐπήγνυντο. χειμῶνος δὲ ἤδη ἐπι-

2. πάλιν om. A. πόλεμον ἑώρα τεθαῤῥηκότας ὁ βασιλεύς· καὶ αὐτὸς τὰς οἰκείας φάλαγγας καταστησάμενος, καὶ τὴν μέσην τῶν ταγμάτων ἐπέχων χώραν, κατ' αὐτῶν ἵεται. καὶ μάχης αὖθις καρτερᾶς A. 11. δὲ G. διαστήματος G. τούτους διώκοντας ὁ αὐτοκράτωρ εἶδε G. 17. ἐκέλευσεν G. 18. lege διεστήτην. an respexit Hom. Il. I, 6.? 19. γὰρ om. A. 20. οἱ δὲ: οὕτω μὲν οὖν οἱ σκύθαι A. 21. βουλγαροφύτου A.

mis, ubi aciem instruxit, in declivitatem collis descendit. dein ordinibus fronti Scytharum oppositis, constitit, ut pugnam, quantum posset, committeret. ipse mediam tenuit aciem. pugna atroci commissa, Romani praeter spem victoria potiti, barbaros acriter persequebantur. verum ubi satis longe hos insecutos imperator vidit, veritus, ne forte insidiae repente in Romanos coortae non solum fugam Scytharum sisterent, sed adiunctis etiam, qui fugiebant, magnam exercitui Romano cladem inferrent, crebro obequitans suos, ut subsisterent equisque requiem darent, admonuit. sic illo die uterque disiunctus est exercitus, Scythis fugientibus, imperatore victoriae compote manifestae in castra redeunte. Scythae funditus victi, Bulgarophygum inter et Nicaeam parvam castra posuerunt. hieme autem iam ineunte, imperator in urbem revertendum statuit, quo et se et maiorem exerci-

καταλαβόντος, δεῖν ἔγνω ὁ αὐτοκράτωρ εἰς τὴν βασιλεύουσαν ἐπανελθεῖν, ἐφ' ᾧ ἑαυτόν τε καὶ τὸ πλέον τοῦ στρατοπέδου τῶν πολλῶν ἀγώνων ἐπανακτήσασθαι. διελόμενος οὖν τὰς δυνάμεις, καὶ εἰς ἀντίπαλον μοῖραν ἀποκρίνας, ὁπόσοι εὐψυχότεροι τοῦ παντὸς ἦσαν στρατεύματος, ἡγεμόνας τούτων τόν P. 218 τε Ἰωαννάκην καὶ τὸν Μαυροκατακαλὼν Νικόλαον προεβάλλετο, περὶ ὧν πολλάκις φθάσας ὁ λόγος ἐδήλωσεν, ἐντειλάμενος αὐτοῖς ἐν ἑκάστῳ μὲν τῶν πολιχνίων ἀποχρῶντας εἰσαγαγεῖν στρατιώτας εἰς τὴν αὐτῶν φρουράν, πεζοὺς δὲ ἐξ ἁπάσης τῆς χώρας μετὰ ἁμαξῶν καὶ τῶν ταύτας ἑλκόντων βοῶν ἐξελάσαι. βουλόμενος γὰρ ἔαρος ἐφισταμένου τῆς κατὰ τῶν Σκυθῶν καρτερώτερον ἀνθέξεσθαι μάχης, προεμελέτα τε καὶ ηὐτρέπιζε τὰ συνοίσοντα. οὕτω γοῦν ἅπαντα δεόντως διαθέμενος, ἐπανέρχεται πρὸς τὸ Βυζάντιον.

2. καὶ τὸ στρατόπεδον A. 3. ἀγώνων : καμάτων A. ἐπανακτήσασθαι, τὸν ἰωαννάκην καὶ τὸν μαυροκατακαλών, ἡγεμόνας ἐν τοῖς κατὰ δύσιν ἐάσας μέρεσιν, ἐντειλάμενος αὐτοῖς ἀποχρ. εἰσαγαγεῖν στρ. εἰς τὴν τῶν ἐκεῖσε πολιχνίων φρουράν A. 6. ἰωαννάκην A, Ἰωάννην PG. 7. ὁ λόγος φθάσας G. 8. ἐν om. G. εἰσάγειν G. 12. καρτερώτατα G. 13. δεόντως add. A.

tus partem ex multis laboribus reficeret. copiis igitur bifariam divisis, qui alacriores erant totius exercitus milites, eos, ut hostem propulsarent, selegit. his praefecit Iohannacem et Maurocatacalonem Nicolaum, quorum saepius supra mentionem fecimus, mandans, ut idoneis oppida praesidiis firmarent, pedites autem ex universa regione cum plaustris eaque trahentibus bubus abducerent. nam vere insequente bellum adversus Scythas maiori vi instauraturus, providit iam et paravit, quae sibi profutura opinabatur. tali modo rebus probe dispositis, Byzantium revertitur.

ΑΛΕΞΙΑΣ Η.

ALEXIADIS LIBER VIII.

ARGUMENTUM.

Imperator ad Choerobacchos cum Patzinacis proeliatur (1). *victoria potitus, Cpolin redit* (2). *hostibus nihilominus insolenter ad urbem usque excurrentibus, imperator Aenum movet* (3). *castra ad Lebunium metatur* (4). *Comanorum adventantium ope Patzinacae delentur* (5). *Comani clam discedunt; ipse Byzantium repetit* (6). *Arieba et Ubertopulus coniurationis poenas dant. Iohannes Comnenus, Dyrrhachii praefectus, insimulatur proditionis* (7). *quo crimine, intercedente Isaacio patre, ab imperatore liberatur* (8). *Gregorii Gaurae coniuratio* (9).

P. 221 1. *Μεμαθηκὼς ὁ αὐτοκράτωρ, ὡς ἀπόμοιράν τινα οἱ*
V. 175 *τῶν Σκυθῶν ἡγεμόνες ἀπολεξάμενοι κατὰ τῶν Χοιροβάκχων ἐξέπεμψαν, καὶ προσδόκιμος ἡ τούτων ἄφιξις ἦν, ὁποῖος ἐκεῖνος θερμουργὸς περὶ τὰς ἐγχειρήσεις κἂν τοῖς αἰφνιδίοις ἀεὶ*

ΑΛΕΞΙΑΔΟΣ βιβλίον η' AG. 1. *Μεμαθηκὼς*: *Ἔνθα* (leg. *μαθὼν*) *πάλιν τοὺς σκύθας εἰς χοιροβάκχους σκηνώσαντας, καὶ ἀπειροπληθεῖς ὄντας, ὡς καὶ μέχρι τοῦ δεκάτου φθάσαντας, καὶ πάντα ληϊσαμένους· ἐξελθὼν τῆς πόλεως κατὰ τὴν παρασκευὴν τῆς ἀπόκρεω καὶ ὡσεὶ πεντακοσίους μόνους τῶν οἰκείων μεθ' ἑαυτοῦ ἐκλεξάμενος,* (excidit *ὁπλίσας*) *ἑαυτὸν ὁ βασιλεὺς σὺν τοῖς ἀμφ' αὐτόν, ἐντὸς τοῦ κάστρου τῶν χοιροβάκχων εἰσεληλύθειν* (leg. *εἰσεληλύθει*) *νυκτός. καὶ κλείσας τὰς πύλας* A.

1. Imperator ubi didicit, Scytharum duces selectam copiarum partem adversus Choerobacchos misisse, earumque iamiam instare adventum, ut erat alacer atque in subitis etiam periculis nunquam non paratum se praebens, licet septimum nondum diem in regia transe-

ὡς προπαρεσκευασμένος δεικνύμενος, μήπω ἑβδόμην ἡμέραν ἐν τοῖς βασιλείοις διαναπαυσάμενος, μηδὲ βαλανείου τυχών, μηδὲ τὸν ἐκ τοῦ πολέμου κονιορτὸν ἀποτιναξάμενος, παραχρῆμα τοὺς ἐπὶ τῆς φρουρᾶς τῆς πόλεως 'τεταγμένους καὶ B ὁπόσοι νεόλεκτοι, ἀναλαμβάνεται ὡσεὶ πεντακοσίους τὸν ἀριθμόν, καὶ ὁπλίσας δι' ὅλης νυκτός, κατὰ τὸ περίορθρον ἔξεισι. τηνικαῦτα δὲ δήλην καθίστησι τὴν αὐτοῦ πρὸς τοὺς Σκύθας ἐξέλευσιν. τοῖς δὲ ἐξ αἵματος καὶ ἀγχιστείας προσήκουσιν αὐτῷ συγγενέσι καὶ τοῖς ἄλλοις, ὁπόσοι τῆς μείζονος τύχης ἦσαν καὶ τῷ στρατιωτικῷ συντάγματι συγκατειλεγμένοι, (παρασκευὴ δὲ ἦν ἡ τῆς ἀπόκρεω) ταυτὶ διὰ τῶν ἀποστολέων παρακελευσάμενος· ὡς ἄρα γοῦν "ἐγὼ μὲν ἄπειμι τὴν τῶν C Σκυθῶν κατὰ τῶν Χοιροβάκχων ὀξεῖαν μεμαθηκὼς κίνησιν, ὑμεῖς δὲ ἀλλὰ κατὰ τὴν ἑβδομάδα τῆς τυροφάγου στρατεύσατε πρὸς ἡμᾶς. τὰς γὰρ μεταξὺ τῆς τε παρασκευῆς τῆς ἀπόκρεω καὶ τῆς τυροφάγου δευτέρας ἡμέρας ὑμῖν ἐφίημι εἰς μικράν τινα ῥᾳστώνην, ὡς μὴ βαρύς τις καὶ ἀδιάκριτος δόξαιμι." ἐκεῖνος μὲν οὖν παραχρῆμα κατευθὺ Χοιροβάκχων ἤλαυνε, καὶ εἰσελθὼν κλείει τὰς πύλας· τὰς δὲ κλεῖς αὐτὸς ἀναλαμβάνεται. εἶτα τοὺς εὔνους ἅπαντας τῶν θεραπόντων περὶ τὰ κρήδεμνα καθίστησι τοῦ τείχους, ἐγκελευόμενος μὴ D

1. post ἡμέραν add. P ἑαυτὸν, om CG. 8. lege ἐξέλευσιν τοῖς τε ἐξ. 9. συγγενέσιν P, 'συγγενέσι G. 10. στρατιωτικῷ συντάγματι F, Ῥωμαϊκῷ στρατεύματι PG. 11. ἡ om. G. 15. τὰς : τα CG. τε om. G. 16. εἰς add. F. 17. τις om. G. 21. περὶ τὰ κρήδεμνα τοῦ τείχους ἐπαγρυπνεῖν ἐγκελεύεται, μή που A. ἐγκελευόμενος: παραγγείλας C.

gisset otiose, nec lavatione usus esset, nec pulverem bello collectum excussisset, tamen e vestigio et praesidiarios urbis milites et quicunque recens conscripti erant, convocat numero fere quingentos; quos cum nocte armasset tota, circa diluculum exit. tum demum adversus Scythas se proficisci palam ostendit, missis, qui cognatis affinibusque suis et ceteris, qui nobili loco nati militiae erant adscripti, (erat autem feria sexta ante dominicam carnisprivii,) haec nuntiarent: "equidem ego de repentina Scytharum' in Choerobacchos incursione certior factus, eo iam proficiscor; vos tyrophagi hebdomade cum copiis auxilio mihi veniatis; quod enim temporis inter carnisprivii feriam sextam et secundam tyrophagi interest, id ad quietem vobis indulgeo paullulam, ne severior atque importunus videar." itaque ille recta Choerobacchos tendit, ingressusque oppidum obserat, clavesque ipse sumit. dein quos habuit fidos famulos, omnes in muri pinnis disposuit, cohortatus, ut segniter ne agerent, sed intente circumspiciendo caverent, ne quis civium muro ascenso colloquia cum

ἀναπεπτωκέναι, ἀλλ' ἐπαγρυπνοῦντας περιαθρεῖν τὰ τείχη, μή πού τις ἀνελθὼν καὶ προκύψας ὁμιλήσειε τοῖς Σκύθαις. ἀνίσχοντος δὲ τοῦ ἡλίου, καὶ οἱ ἐλπιζόμενοι τῶν Σκυθῶν καταλαβόντες κατὰ τὸν συγκεκολλημένον τῷ τείχει τῶν Χοιροβάκχων αὐχένα ἔστησαν. ἐξ ὧν τηνικαῦτα ἀποκριθέντες ὡσεὶ ἓξ χιλιάδες εἰς προνομὴν διεσκεδάσθησαν, ἐφθακότες μέχρις P. 222 αὐτοῦ τοῦ Δεκάτου, ὡσεὶ δέκα σταδίους τῶν τειχῶν ἀπέχοντος τῆς βασιλίδος τῶν πόλεων· ἐξ οὗ, οἶμαι, καὶ τὴν ἐπωνυμίαν ἐκτήσατο. οἱ δὲ λοιποὶ αὐτοῦ που διαμεμενήκεσαν. ὁ δὲ βασιλεὺς ἀνελθὼν διὰ τοῦ τείχους εἰς τὰς ἐπάλξεις, περιεσκόπει τὰς πεδιάδας καὶ τοὺς βουνούς, εἴ που καὶ ἑτέρα δύναμις τούτοις ἔπεισιν, ἢ εἴ που λόχους καθίσαντες μελετῶσιν τὸν τούτοις ἴσως προσβαλεῖν ἐπιχειρήσοντα κατασχεῖν. ὡς δ' οὐδέν τι τοιοῦτον ἐθεάσατο, (περὶ δευτέραν τῆς ἡμέρας B ὥραν ὁρᾷ τούτους οὐ πρὸς μάχην ηὐτρεπισμένους, ἀλλὰ πρὸς τροφὴν καὶ ἀνάπαυσιν ἀποκλίναντας,) πλῆθος δὲ πολὺ τούτοις ὁρῶν καὶ τοῦ μετ' αὐτῶν κατὰ συστάδην μὴ κατατολμῶν πολέμου, ἐν δεινῷ ἐποιεῖτο, εἰ τὴν ἅπασαν ληϊσάμενοι χώραν, καὶ αὐτοῖς τοῖς τείχεσι τῆς βασιλευούσης τῶν πόλεων προσπελάσαιεν, καὶ ταῦτα αὐτοῦ ἐκεῖθεν ἐξεληλυθότος, ἐφ' ᾧ τούτους ἀποσοβῆσαι τῆς χώρας. μετακαλεσάμενος οὖν τοὺς ὑπ'

1. ἐπαγρυπνοῦντας C, ἀπαγρυπνοῦντας P, ἀπαγρυπνεῖν καὶ ἀθρεῖν G. 5. ὡσεὶ χιλιάδες ἓξ A. 11. ἕτεραι δυνάμεις CG. 12. ἢ add. A. καθίσαντες : ποιήσαντες A. 13. ἴσως τὸν τούτοις PG, recte A. ἐπιχειρήσαντα A. 14. τι om. G. περὶ — ηὐτρεπισμένους om. A. 16. τροφὴν A, τρυφὴν PG. ἀποκλίναντας τούτους ἑώρα, παραχρῆμα διὰ τῆς ἀπονενευκυίας A. τούτους CG. 17. lege κατασυστάδην. 20. ἐξεληλυθότος C, ἐληλυθότος PG.

Scythis sereret. oriente sole exspectatae Scytharum turmae collem muro Choerobacchorum adiacentem occupant. ex quibus ad sex millia selecti, pabulatum in omnem circa regionem excurrerunt, usque ad Decaton locum, decem fere stadia ab urbe distantem, unde etiam nomen traxit. ceteri in eo, quod dixi, iugo remanserunt. imperator, conscensis murorum pinnis, campos collesque lustrabat oculis, si forte et aliae Scytharum copiae adessent dispositisve insidiis eum, qui aggressurus esset, capere in animo haberent. tale quid ubi non animadvertit, (secunda diei hora Scythas vidit, nihil minus quam pugnam cogitantes, cibo se atque quieti dedere,) cum ingenti multitudine acie decernere non ausus, turpe existimabat, si omni late regione direpta, ipsis regiae urbis moenibus appropinquarent, praesertim cum ipse ad arcendas eorum incursiones inde egressus esset. con-

αὐτὸν στρατιώτας καὶ τὴν γνώμην αὐτῶν δοκιμάσαι βουλό- V. 176
μενος, ἔφη· "οὐ χρὴ ἀποδειλιᾶν πρὸς τὸ πλῆθος τῶν Σκυ- C
θῶν ἀφορῶντας, ἀλλ' εἰς θεὸν ἠλπικότας τὸν μετ' αὐτῶν συν-
άψαι πόλεμον, καὶ εἰ μόνον ὁμογνωμονήσαιεν, πέποιθα ὡς
ἡττήσομεν αὐτοὺς κατὰ κράτος." τῶν δὲ ἀπαναινομένων
πάντῃ καὶ πρὸς τὸν λόγον ἀναβαλλομένων, ἐκεῖνος εἰς φόβον
ἐμβάλλων πλείονα τοὺς αὐτοῦ καὶ ἀνεγείρων εἰς κίνδυνον,
φησίν· "ἐὰν οἱ εἰς προνομὴν ἐξελθόντες ἐπανέλθοιεν αὖθις
καὶ μετὰ τῶν παρόντων ἑνωθεῖεν, προὖπτος ὁ κίνδυνος. ἢ
γὰρ καὶ τὸ κάστρον παρ' αὐτῶν κατασχεθήσεται καὶ ἡμεῖς
παρανάλωμα φόνου γενησόμεθα, ἢ παρ' οὐδὲν ἡμᾶς λογισά- D
μενοι, ἴσως τοῖς τείχεσι τῆς πόλεως προσπελάσαντες, οὐκ ἐγ-
χωρήσουσιν ἡμῖν εἰς τὴν βασιλίδα πόλιν εἰσελθεῖν, αὐτοῦ που
περὶ τὰς πύλας αὐτῆς αὐλισάμενοι. λοιπὸν κινδυνεῦσαι ἡμᾶς
χρὴ καὶ μὴ ἀνάνδρως ἀποθανεῖν. ἐγὼ μὲν οὖν ἤδη ἔξειμι
καὶ ὁπόσοι βούλεσθε, προεκδραμόντος ἐμοῦ καὶ ἐς μέσον τῶν
Σκυθῶν εἰσπηδήσαντος, συνέψεσθε, ὁπόσοι δὲ τοῦτο οὐ δύ-
νασθε ἢ μὴ βούλεσθε, μηδὲ τῶν πυλῶν ἐκτὸς γένησθε." πα- P. 223
ραχρῆμα γοῦν διὰ τῆς ἀπονενευκυίας ὡς πρὸς τὴν λίμνην
πύλης, ὁπλισάμενος ἔξεισι. καὶ παραδραμὼν τὰ τείχη καὶ
μικρὸν παρεγκλίνας, ἐξ ὀπισθίων τοῦ αὐχένος ἄνεισιν. οὐδὲ
γὰρ συνέψεσθαι τούτῳ διέγνω τοὺς μετ' αὐτοῦ πρὸς τὸν κα-

4. εἰ δὴ μόνον G. an ὁμογνωμονήσαιμεν? 7. an τοὺς μετ' αὐτοῦ? 8. εἰσελθόντες C. 10. καὶ prius C, κατὰ PG. 11. φόνου παρανάλωμα G. γενηθησόμεθα G. 20. καὶ alterum om. A. 22. συνέψεσθαι τούτῳ P in margine, συνάψαι τοῦτο PG.

vocatis igitur militibus, animum eorum exploraturus, "non decet, inquit, despondere animum, conspecta multitudine Scytharum, sed deo confidentes, pugnam committere; modo in eadem omnes sententia simus, certo spero, fore ut funditus eos vincamus." ad ea illi cunctari renuereque. tum imperator etiam maiorem suis iniecit metum, ac periculo eos excitans, "ad pabulandum, inquit, qui egressi sunt, si redierint, seque cum his, qui adsunt, coniunxerint, certum sane praesensque periculum erit. nam aut expugnabunt castellum, nobisque mors erit parata, aut pro nihilo nos putantes, ad ipsa urbis moenia accedent atque ab aditu nos intercludent, portis circumsessis. quare nil restat, nisi ut experiamur ultima et fortiter moriamur. ego certe iam egredior, et qui volet, praecurrentem me et in medios Scythas irruentem sequatur; quicunque id non potestis aut non vultis, nec porta egrediamini." itaque extemplo porta, quae ad lacum vergit, armatus exit, murosque celeriter praetergressus, postquam paullulum declinavit, a tergo iugum conscendit. nam ad apertum cum

τασυστάδην μετὰ τῶν Σκυθῶν πόλεμον. καὶ πρῶτος αὐτὸς δόρυ σπασάμενος, ἐς μέσους Σκύθας ἑαυτὸν ὤθησε, παίσας τὸν πρώτως αὐτῷ ὑπαντιάσαντα. ἀλλ' οὐδ' οἱ σὺν αὐτῷ στρατιῶται τῆς μάχης ἀπελείφθησαν, κἀντεῦθεν τοὺς μὲν πλείους ἔκτειναν, τοὺς δὲ καὶ ζωγρίαν ἦγον. εἶτα ὁποῖα ἐκεῖ-
B νος μηχανᾶσθαι εἰώθει, τὰς τῶν Σκυθῶν ἐσθῆτας τοὺς στρατιώτας ἀμφιέννυσι καὶ τῶν Σκυθικῶν ἵππων ἐπιβῆναι κελεύει, τοὺς δὲ ἵππους τῶν στρατιωτῶν καὶ τὰς τούτων σημαίας καὶ τὰς ἀποτμηθείσας τῶν Σκυθῶν κεφαλὰς παραδοὺς τισι τῶν εὐνουστέρων, παραλαβόντας προσέταξεν εἴσω τοῦ κάστρου γενέσθαι ἀπεκδεχομένους αὐτόν. ταῦτα τοίνυν οὕτως οἰκονομήσας ἐκεῖνος, μετὰ τῶν Σκυθικῶν σημαιῶν καὶ τῶν τὰ Σκυθικὰ ἀμφία περιβεβλημένων στρατιωτῶν κάτεισιν ὡς πρὸς τὸν ἀγχοῦ Χοιροβάκχων ῥέοντα ποταμόν, ὅπου καὶ τοὺς ἀπὸ τῆς προνομῆς ὑποστρέφοντας Σκύθας ἐνόμιζε διελθεῖν. οἱ δέ γε προνομεῖς ἐκεῖνοι θεασάμενοι τούτους ἱσταμένους ἐκεῖσε
C καὶ νομίσαντες Σκύθας καὶ αὐτοὺς εἶναι, ἀφυλάκτως τούτοις προσπίπτοντες, οἱ μὲν ἀνῃροῦντο, ἄλλοι δὲ καὶ κατείχοντο.

2. Ἑσπέρας δὲ καταλαβούσης, (σάββατον δὲ ἦν,) ἐπανέρχεται μετὰ τῶν δορυαλώτων εἰς Χοιροβάκχους. καρτερή-

1. κατὰ σκυθῶν G. 5. πλείονας CG. ζωγρίας AG. ὁποῖος G. 10. παραλαβόντας om. A. non male. κάστρου χοιροβάκχου A. 14. ὅπου : ἔνθα A. 15. διελθεῖν ἤλπιζεν A. 16. γε add. A. 17. σκύθας καὶ αὐτοὺς A, καὶ αὐτοὺς σκύθας G, καὶ Σκύθας αὐτοὺς P. 18. προσπίπτουσι CG. ante οἱ μὲν add. PG καί, om. AC. ἄλλοι : οἱ G. καὶ om. A. 21. εἰς Χοιροβάκχους add. A.

Scythis proelium suos secuturos se non esse intellexerat. primus ipse stricto gladio in medios Scythas invehitur, et qui primus sibi obviam fit, prosternit; nec qui eum sequebantur milites, non omittunt pugnare. quo factum est, ut plerosque caederent, nonnullos etiam caperent. dein ut solebat dolos intendere, Scytharum vestibus suos induit, equosque Scythicos conscendere iussit; suorum equos et signa militaria una cum praecisis capitibus Scytharum hominibus certis asportanda in oppidum tradidit, dato negotio, ut se ibi praestolarentur. haec postquam ita constituit, ipse cum signis Scytharum militibusque, Scythicas indutis vestes, ad amnem prope a Choerobacchis descendit, qua traiecturos putabat Scythas istos a pabulando revertentes. qui cum hos ibi stantes conspicerent, Scythas et ipsos esse rati, incaute incurrunt: pars trucidantur, alii capiuntur.

2. Sub vesperam (erat autem sabbatum) cum captivis revertitur Choerobacchos, ubi posterum diem commoratur. illucescente altero die

σας δὲ καὶ τὴν ἐπιοῦσαν, αὐγαζούσης ἤδη τῆς δευτέρας, ἐξῆλθε τοῦ κάστρου. καὶ διελὼν τοὺς ὑπ' αὐτόν, ἔμπροσθεν μὲν εἰσήγαγε τοὺς τὰς τῶν Σκυθῶν σημαίας κατέχοντας, ὄπισθεν δὲ τοὺς δορυαλώτους τῶν Σκυθῶν, παρὰ χωριτῶν ἕκαστον τούτων κατεχομένους· τὰς δὲ ἀποτμηθείσας κεφαλὰς δόρασι περιπείρας, παρ' ἑτέρων αὖθις ἐν τούτοις ἀπαιωρου- V. 177 μένας παρεκελεύσατο οὕτω τὴν ὁδοιπορίαν ποιεῖσθαι. τούτων δὲ ὄπισθεν, ἐκ διαστήματος μετρίου ἀπέχων, μετὰ τῶν D ὑπ' αὐτὸν καὶ τῶν συνήθων τοῖς Ῥωμαίοις σημαιῶν ἑπόμενος ἦν. αὐγαζούσης δὲ τῆς ἀπόκρεω κυριακῆς, ὁ Παλαιολόγος θερμουργὸς ὢν περὶ τὰς πολεμικὰς πράξεις, πρὸ τῶν ἄλλων ἐξεληλύθει τοῦ Βυζαντίου. τὸ δὲ ὀξύρροπον τῶν Σκυθῶν ἐπιστάμενος, οὐκ ἀπεριμερίμνως τὴν ὁδοιπορίαν ἐποιεῖτο. ἀλλ' ἀποδιελὼν τῶν συνεφεπομένων αὐτῷ θεραπόντων ὀλίγους, παρεκελεύσατο αὐτοῦ προεκτρέχειν διάστημα, καὶ τὰς πεδιάδας καὶ τὰ ἄλση καὶ τὰς ὁδοὺς περιαθρεῖν, ἵν' εἴ πού τινες τῶν Σκυθῶν ἀναφανεῖεν, ταχὺ ὑποστρέψαντες ἀπαγγείλωσιν αὐ- P. 224 τῷ. οὕτω γοῦν πορευόμενοι, ἐπεὶ κατὰ τὴν πεδιάδα τὴν οὕτω καλουμένην Διμυλίαν τοὺς τὰ Σκυθικὰ περιβεβλημένους ἀμφία καὶ Σκυθικὰς σημαίας ἐθεάσαντο, εἰς τοὐπίσω ἀναστρέψαντες, τοὺς Σκύθας ἤδη καταλαμβάνειν ἔφασαν. ὁ δὲ παραχρῆμα ἐν τοῖς ὅπλοις ἦν. κατὰ πόδας δὲ καὶ ἕτερος ἐλθών, διενίστατο λέγων, ὡς ὄπισθεν τῶν τάχα Σκυθῶν ἐξ ἱκανοῦ

3. εἰσήγαγε τὰς τῶν σκυθῶν σημαίας καὶ τοὺς ταύτας κατέχοντας A. 4. ἕκαστον τούτων om. A. 5. παρεχομένους A. 6. αὖθις: τούτων δὲ ὄπισθεν A. 8. μετρίου αὐτὸς ἑπόμενος ἦν μετὰ τῶν ὑπ' αὐτόν A. 23. ὡς om. CG.

oppido egressus, bifariam divisis copiis, in primo agmine locat eos, qui Scytharum signa tenebant; quos sequebantur captivi Scytharum, ab indigenis quisque ducti; capita autem praecisa Scytharum alios rursus hastis fixa gestare sicque viam ingredi iussit. modico post hos intervallo ipse cum suis signisque Romanorum usitatis agmen claudebat. carnisprivii autem dominica Palaeologus, ut erat ad bellum impiger, ante ceteros Byzantio exierat; cumque celeritatem Scytharum probe nosset, non sine cura iter faciebat. itaque aliquot ex famulis, quos comites habebat, intervallo praecedere, et campos saltusque et vias circumspicere iussit, ut, si forte Scytharum aliqui apparerent, statim reversi nuntiarent. tali modo iter facientes, ubi in planitie, quae Dimylia vocatur, illos Scytharum vestibus indutos milites Scytharumque signa conspexerunt, reversi Scythas iam advenire edixerunt. Palaeologo e vestigio arma expediente, statim alter adest nuntius, qui affirmat, hos, qui Scythae viderentur, intervallo modico, Ro-

διαστήματος Ῥωμαϊκαὶ ἀνεφάνησαν σημαῖαι καὶ στρατιῶται κατόπιν θέοντες. οἱ μὲν οὖν ταῦτα ἀπαγγέλλοντες τὸ μέντοι B ἐστοχάζοντο τῆς ἀληθείας, τὸ δὲ καὶ παρεστοχάζοντο. τὸ μὲν γὰρ κατόπιν ἐλαῦνον στράτευμα ὡς ἀληθῶς Ῥωμαϊκὸν ἦν καὶ τοῖς σχήμασι καὶ τοῖς πράγμασι, καὶ ὁ βασιλεὺς αὐτῶν ἡγεμόνευε, τὸ δὲ προπορευόμενον καὶ Σκυθικῶς ἐσταλμένον τῆς Ῥωμαϊκῆς μὲν ἦσαν ἅπαντες στρατιᾶς, Σκυθικὰς δὲ στόλας ἠμφιέννυντο, τοῦτο μὲν καὶ οὕτως ἐσχηκότες, ὥσπερ ἦσαν ἀμφιασάμενοι ταύτας κατὰ τὸ τοῦ αὐτοκράτορος παράγγελμα, ὁπόταν ὡς φαινόμενοι Σκύθαι τοὺς ὄντως Σκύθας ἐξηπατήκασιν, ὡς φθάσας ὁ λόγος ἐδήλωσε· τοῦτο δὲ καὶ C ἀπεχρήσατο τηνικαῦτα ὁ βασιλεὺς τῇ σκευῇ τῶν Σκυθῶν πρὸς τὴν τῶν ἡμεδαπῶν ἐξαπάτην τε καὶ φενάκην, ἵνα οἱ προεντυγχάνοντες αὐτοῖς ὀρρωδοῖεν, ὥσπερ Σκύθαις τοῖς στρατιώταις ἡμῶν ἐμπίπτοντες, καὶ ἅμα παρέχοι στρατηγικόν τε καὶ ὕπτιον γέλωτα φόβῳ ξυμμεμιγμένον· πρινὴ γὰρ φοβηθῆναι σαφῶς, ἐθάρρουν τὸν βασιλέα κατόπιν θεώμενοι. οὕτως ἀφόβως ὁ αὐτοκράτωρ τοὺς ὑπαντῶντας ἐμορμολύττετο. ἀλλὰ πρὸς μὲν τοὺς ἄλλους ὁ φόβος ἦν ἐκ τῶν φαινομένων, ὁ δέ γε Παλαιολόγος πολυπειρίᾳ τοὺς ἅπαντας ὑπερβάλλων, καὶ εἰδὼς D ὁποίως ἐστὶν Ἀλέξιος περὶ τὰς μηχανὰς ποριμώτατος, ἐγνώρισεν αὐτίκα, ὅτι Ἀλεξίου τοῦτο τὸ μηχάνημα, καὶ ἑαυτόν τε

2. μέντοι καὶ G. 4. γὰρ add. C. 8. καὶ om. G. 13. τε om. G. 15. ὕπτιον : ἤπιον C et in margine P. 18. ὑπαντιῶντας G. 22. τὸ add. CG.

manorum subsequi signa et milites properantes. quod qui nuntiabant, partim assecuti erant rem, partim aberrarunt. nam id quod sequebatur agmen, ut habitu et specie, ita re ipsa Romanum erat, et imperator id ductabat; qui vero praeibant milites, ii quidem omnes Romani erant, sed vestibus induti Scytharum, quoniam partim eodem incedebant habitu, quo se imperatoris iussu ornaverant, cum Scytharum speciem ementiti veros Scythas fallerent, ut supra exposuimus; partim etiam imperator tum Scythico ornatu abutebatur ad fallendos nostros eludendosque, ut qui istis occurrerent, perterrefierent, in Scythas sese incidisse rati, simulque militarem iis sine periculo moveret iocum, terrore mixtum. nam priusquam timerent aperte, animum revocabant, imperatorem pone conspicati. tali modo inanem occurrentibus terrorem iniecit. ac ceteros quidem pavor invasit propter ea, quae simulata erant; Palaeologus autem, qui omnes rerum usu superaret Alexiumque in fingendis dolis sagacissimum cognosset, intellexit statim, fraudem hanc Alexii esse, animumque et ipse recepit, et ceteros confirmavit. iam vero etiam consanguineorum af-

θαρρεῖν ἀνέπειθε καὶ τοὺς ἄλλους ἐκέλευεν. ἤδη δὲ καὶ τὸ πλῆθος ἅπαν τὸ κατόπιν συνέρρωγεν, ἐκ τῶν συγγενῶν καὶ τῶν καθ' αἷμα προσηκόντων ξυγκείμενον. ἔσπευδον γάρ, ὡς ᾤοντο, φθάσαι τὸν αὐτοκράτορα κατὰ τὰ πρὸ τούτου συγκείμενα. φθάσαι γὰρ τοῦτον συνέθεντο μετὰ τὴν ἀπόκρεω, καθάπερ εἴρηται πρότερον, ἐν τῇ τυροφάγῳ. οὐ μὴν ἔφθησαν ἐκεῖνοι ἐξεληλυθότες τῆς πόλεως, καὶ ὁ βασιλεὺς τροπαιοῦχος ἐπάνεισι. καὶ κατὰ τοῦτο συμμίξαντες αὐτῷ οὐκ ἂν ἐπείσθησαν, ὅτι ὁ βασιλεὺς αὐτός ἐστι τροπαιοφορῶν, οὕτω τὴν νίκην ὀξέως ἐξεργασάμενος, εἰ μὴ τὰς κεφαλὰς τῶν Σκυθῶν ἐμπεπηγμένας ἑώρων ἐπ' ἄκρων δοράτων καὶ τοὺς ἐπιλοίπους, οὓς τὸ ξίφος οὔπω ἐξέτεμε, δεσμώτας ἠγμένους καὶ ἐξηγκωνι- P. 225
σμένους, καὶ ἄλλον ἐπ' ἄλλῳ ἀγόμενον καὶ συρόμενον. τὸ γὰρ V. 178
τάχος τῆς στρατηγίας τὸ θαῦμα ἐποίει· πλὴν τοσοῦτον μανθάνω περὶ Γεωργίου τοῦ Παλαιολόγου, (οἱ γὰρ συμπαρόντες ἡμῖν διηγοῦντο,) ὡς ἐσχετλίαζέ τε καὶ τοῦ καθυστερῆσαι τοῦ πολέμου ἑαυτὸν ἐμέμφετο καὶ ὅτι μὴ συμπαρῆν τῷ αὐτοκράτορι κλέος τοσοῦτον ἀραμένῳ ἐπὶ τῇ ἀπροσδοκήτῳ νίκῃ τῶν βαρβάρων τούτων. συμμετασχεῖν γὰρ κἀκεῖνος εὐκλείας τοσαύτης καὶ πάνυ ἐβούλετο. περὶ δὲ τοῦ αὐτοκράτορος ἐκεῖνο ἄν τις εἴποι τὸ ᾆσμα τοῦ Δευτερονομίου τότε καὶ τελούμενον καὶ ὁρώμενον "πῶς διώξεται εἷς χιλίους καὶ δύο μετακινή- B

2. συνέρρεεν G et in margine P. 9. οὕτω — ἑώρων om. G. 12. οὔπω om. G. ἐπέτεμε G. an ἐξέτεινε? vid. annotat. 14. τὸ om. G. 20. τὸν αὐτοκράτορα G.

finitumque turba omnis, quae remanserat, urbe exibat, imperatorem ex pacto, ut sibi videbatur, propere secuta. quippe adventus eorum post carnisprivium, quemadmodum supra diximus, tyrophagi hebdomade constitutus fuerat. sed priusquam urbe egressi essent, imperator victor iam revertitur; atque in ipso reditu obviam ei facti, non persuasissent sibi, imperatorem ipsum victorem esse, tam brevi partis tropaeis, nisi Scytharum capita hastis infixa conspexissent, ceterosque, qui ferro nondum occiderant, vinctos et manus post terga ligatos, alium post alium duci trahique. nam celeritas expeditionis movit admirationem; praeterquam quod Georgium Palaeologum comperi, (nam qui praesentes tum erant, mihi enarrarunt,) conquestum esse, seque ipsum vituperasse, quod sero urbe profectus esset, neque bello una cum imperatore interfuisset, tantam gloriam inexspectata de Scythis victoria consecuto. nam particeps et ipse tantae laudis esse magnopere cupiebat. in imperatore autem dixerit aliquis illud Deuteronomii tum quidem et perfectum et conspectum esse: "quomodo persequatur unus mille et duo fugent decem millia?" nam tantum non

σουσι μυριάδας;" μονονουχὶ γὰρ κατ' ἐκεῖνο καιροῦ ὁ βασιλεὺς Ἀλέξιος, πρὸς τοσοῦτον βαρβάρων πλῆθος ἑαυτὸν ἀντικαταστήσας, τὸ βάρος ὅλον τοῦ πολέμου μέχρι καὶ τῆς νίκης αὐτῆς καλῶς διῳκονομήσατο. εἰ γάρ τις τοὺς συνόντας λογίσαιτο, ὁπόσοι τε ἦσαν καὶ ποδαποί, κᾆθ' οὕτως ἀντιπαραβάλλοι τὰ τοῦ αὐτοκράτορος μηχανήματα καὶ τὸ τούτου πολύτροπον μετὰ τῆς ῥώμης καὶ τόλμης πρὸς τὸ βαρβαρικὸν πλῆθος καὶ τὴν ἰσχύν, μόνον ἂν ἐφεύροι τοῦτον τὰ τῆς νίκης καταπραξάμενον.

C 3. *Οὕτω μὲν οὖν τηνικαῦτα θεὸς τὴν παράδοξον ταύτην τῷ κρατοῦντι δέδωκε νίκην. εἰσερχόμενον δὲ ὁρῶντες αὐτὸν οἱ Βυζάντιοι ἔχαιρον, ἐκπληττόμενοι τὸ τάχος, τὴν τόλμαν, τὴν περιδεξιότητα τοῦ ἐπιχειρήματος καὶ τὸ ἐξ ὑπογυΐου τρόπαιον, ἐπαιάνιζον, ἐσκίρτων, θεὸν ἀνύμνουν, σωτῆρα καὶ εὐεργέτην τοιοῦτον αὐτοῖς δεδωκότα. ὁ δὲ Μελισσηνὸς Νικηφόρος δακνόμενος ἐπὶ τούτοις καὶ μὴ φέρων, ὁποῖα τὰ ἀνθρώπινα, ἔφη "ἡ νίκη αὕτη χαρὰ μὲν ἀκερδής, λύπη δὲ ἀζήμιος." οἱ μέντοι Σκύθαι ἀπειροπληθεῖς ὄντες ἁπανταχοῦ τῆς D ἑσπέρας διασπαρέντες, ἐληΐζοντο ἅπαντα, καὶ οὐδὲν τὸ παράπαν τῶν συμπεσόντων αὐτοῖς τὴν ἐκείνων ἀκάθεκτον ἀνέκοπτε τόλμαν. ἐνιαχοῦ δὲ τῆς ἑσπέρας καὶ πολίχνιά τινα κα-*

3. *μέχρι* om. G. 11. *αὐτὸν ὁρῶντες* A. 12. *τὴν τόλμαν* om. A. 13. *τό*: *τοῦ* PG, *τὸ* CA. 14. *ἔσκαιρον, καὶ ἀνύμνουν τὸν σωτῆρα, ὁ εὐεργέτης τοιοῦτον αὐτοῖς δεδωκότα ἄγακτα* A. 18. *ἁπανταχοῦ* om. CG.

solus illo tempore imperator Alexius, cum ingenti barbarorum multitudini sese obiecisset, totam belli molem ita sustinuit, ut ipsam reportaret victoriam. etenim si quis commilitones eius quot qualesque fuerint, reputaverit, et sic demum artes imperatoris et solertiam, cum virtute audaciaque coniunctam, barbarorum multitudini ac robori composuerit, solum hunc victoriam confecisse reperiat.

3. Ita tum temporis deus inopinatam hanc imperatori victoriam concessit. quem cum ingredientem Byzantii cernerent, admirati celeritatem, audaciam, dexteritatem moliminis victoriamque subitam, laetari, laudibus efferre, exsultare ac deo gratias agere, qui hunc ipsis salutis auctorem defensoremque concessisset. Melissenus autem Nicephorus moleste haec ferens atque, ut sunt homines, laude aliena dolens, "ista, inquit, victoria gaudium quidem sine lucro nobis, at hostibus dolor sine damno est." ac sane Scythae, cum innumeri essent et per totum Occidentem dispersi, omnia depopulabantur, nec quidquid iis acciderat, impotentem eorum audaciam refrenavit. nonnunquam etiam oppida expugnabant, ne iis quidem vicis temperan-

τεῖχον, μηδὲ τῶν ἀγχοῦ τῆς βασιλίδος τῶν πόλεων κωμοπόλεων φειδόμενοι, παραγενόμενοι καὶ μέχρις αὐτοῦ τοῦ οὕτω καλουμένου Βαθέος ῥύακος, ἐν ᾧ καὶ τὸ ἐπ' ὀνόματι τοῦ ἐν P. 226 μάρτυσι μεγίστου Θεοδώρου τέμενος ἵδρυται. πολλοὶ μὲν γὰρ καὶ ἐφοίτων ἐντεύξεως τοῦ ἁγίου χάριν καθεκάστην· ὁπηνίκα δ' ἡ κυριακὴ παρῆν, πάνδημον οἱ εὐσεβεῖς ἐποιοῦντο τὴν πρὸς τὸ ἱερὸν τούτου τέμενος ἔλευσιν, παννύχιοι καὶ πανημέριοι κύκλῳ τε καὶ κατὰ τὸν πρόδομον καὶ ὀπισθόδομον τοῦ νεὼ προσμένοντες. ἀλλὰ τοσοῦτον ὑπεσχύρισεν ἡ τῶν Σκυθῶν ἀκάθεκτος ὁρμή, ὡς μηδὲ τὰς πύλας ὑπανοῖξαι τοῦ Βυζαντίου τολμᾷν τοὺς εἰς τὸν μάρτυρα φοιτᾷν βουλομένους διὰ τὰς ἀθρόας ἐφόδους τῶν Σκυθῶν. ἀλλὰ ταῦτα μὲν τὰ ἐξ ἠπείρου τῆς ἑσπέρας προσπεσόντα τῷ αὐτοκράτορι δεινά. οὐ μέντοι γε οὐδὲ τὰ κατὰ τὴν θάλατταν ἀνέτως εἶχεν, ἀλλὰ B καὶ λίαν ἐπικινδύνως, τοῦ Τζαχᾶ αὖθις στόλον κτησαμένου καὶ τὰ παρὰ θάλατταν ἅπαντα κατατρέχοντος. ἐπὶ τούτοις V. 179 οὖν ὁ βασιλεὺς ἠνιᾶτο καὶ ἤσχαλλεν, ἁπανταχόθεν βαλλόμενος ταῖς φροντίσιν. ἐπειδὰν δ' ἠγγέλη τούτῳ, ὡς ἤδη καὶ πλείονα στύλον ἐκ τῶν παραλίων κτησάμενος ὁ Τζαχᾶς καὶ τὰς ἐπιλοίπους, ὧν προφθάσας κατέσχε νήσων, πορθήσας, καὶ κατὰ τῶν ἑσπερίων χωρῶν διανοεῖσθαι ἐπικεχείρηκε, καὶ

1. post ἀγχοῦ add. PG ἀγρῶν, om. C. κωμοπόλεων om. G. 3. τὸ om. G. 5. καὶ om. G. 6. παρῆν C, ἦν PG. 7. τούτου C, τοῦτο PG. 8. πρόδρομον P, πρόδομον G. ὀπισθόδρομον G. 9. lege ὑπερίσχυσεν. 12. ἀθρόους G. 14. οὐδὲ om. G. 15. κτισαμένου CG. 16. ἐπεὶ P, ἐπὶ G. 19. κτισάμενος G.

tes, qui urbi regiae adiacent, usque ad locum Bathyn Rhyaca dictum progressi; quo loco etiam Theodori, summi martyris, aedes est. multi eam adorandi sancti causa frequentabant quotidie; dominicis autem diebus tota piorum multitudo ad sacram illius peregrinabatur aedem, noctem diemque vel circumcirca vel in vestibulo vel in postica templi parte permanentes. tum vero haud sustinendus Scytharum impetus in tantum creverat, ut qui martyrem colere vellent, ne portas quidem Byzantii aperire auderent propter crebras Scytharum incursiones. haec a continente occidentali imperatori adversa contigere. nec vero mari res secure habebant, sed in summo versabantur discrimine, cum Tzachas, classe rursus parata, totam maritimam oram infestaret. his rebus imperator angebatur et dolebat, curarum undique quasi telis ictus. cumque nuntiatum esset, Tzacham iam, maiore classe ex maritimis oris coacta, et reliquis, quas ante ceperat, insulis devastatis, etiam ad occidentales regiones animum adiecisse, Scythisque missis legatis suasisse, ut Chersonesum occuparent, praeterea

πρὸς τοὺς Σκύθας διαπεμπόμενος συνεβούλευε τὴν Χερρόνησον
καταλαβεῖν· οὐ μὴν οὐδὲ τὸ ἐκ τῆς ἑῴας προσεληλυθὸς τῷ αὐτο-
C κράτορι μισθοφορικόν, τῶν Τούρκων φημί, συνεχώρει τὰς πρὸς
αὐτὸν σπονδὰς ἀρραγεῖς τηρεῖν, ὑποσχέσεσι χρησταῖς ὑποσαί-
νων, εἰ τὸν αὐτοκράτορα καταλιπόντες αὐτῷ προσχωρήσαιεν,
ὁπηνίκα τὰς κριθὰς καταλάβοι· ταῦτα γνοὺς ὁ βασιλεύς, ἐπεὶ
τά τε κατὰ θάλατταν τά τε κατὰ τὴν ἤπειρον λίαν κακῶς αὐτῷ
διετίθετο, καὶ ὁ χειμὼν σφοδρῶς ἐπικείμενος τὰς ἐξόδους
παντάπασιν ἔκλειεν, ὥστε μηδὲ ἀποζυγοῦσθαι τὰς τῶν οἰκη-
μάτων θύρας διὰ τὸ τῆς χιόνος ἐπιβριθές, (συνέβη γὰρ τότε
πολλὴν ἐπιφορηθῆναι καὶ ὅσην οὐδείς πω πρότερον ἔγνωκεν,)
D ὡς ἐνὸν διὰ γραμμάτων ἁπανταχόθεν ἔσπευδε μισθοφορικὸν
μετακαλέσασθαι. τοῦ ἡλίου δὲ τὴν ἐαρινὴν τροπὴν ἀπάρτι
καταλαμβάνοντος, ἐπεὶ καὶ ὁ ἐκ τῶν νεφῶν ἀπειλούμενος πό-
λεμος ᾤχετο καὶ ἡ θάλαττα τοῦ θυμοῦ μετεβέβλητο, δεῖν ἐλο-
P. 227 γίσατο, ἑκατέρωθεν τῶν ἐναντίων ἐπικειμένων, τὰ κατὰ θά-
λατταν μᾶλλον καταλαβεῖν, ἵνα ὁμοῦ καὶ τοῖς ναυσιπόροις
ἐχθροῖς ῥαδίως ἔχοι ἀντικαθίστασθαι καὶ πρὸς τοὺς ἐξ ἠπεί-
ρου εὐχερῶς μάχεσθαι. παραχρῆμα τοίνυν τὸν καίσαρα Νι-
κηφόρον τὸν Μελισσηνὸν ἀποστείλας μετεκαλεῖτο θᾶττον ἢ
λόγος τὴν Αἶνον καταλαβεῖν. ἔφθασε γὰρ διὰ γραμμάτων
δηλώσας συλλέξασθαι, ὁπόσους ἂν δυνηθείη, οὐκ ἀπὸ τῶν ἤδη
ἐστρατευμένων, (ἐκείνους γὰρ φθάσας εἰς τὰς πόλεις ἀπαν-

2. ἐκ om. G. 6. ὁπηνίκα τὰς κριθὰς καταλάβοι om. P, add. CG et in margine P. 8. σφοδρὸς C. 15. μετεβάλλετο G, μετεβάλετο C. 18. ἔχοι C, ἔχῃ PG. 19. τὸν Νικηφόρον G. 23. ἐκεῖνοι G.

etiam Turcas, qui ex Oriente imperatori auxilio venerant, magnis pollicitationibus tentasse, ut foedus cum imperatore pactum violarent ad seque, illo deserto, accederent, simulatque copiam pabuli comparasset, — haec igitur postquam imperator audivit, quoniam terra marique res admodum erant afflictae, hiemeque gravi occlusi plane exitus, ita ut aedium fores ne aperiri quidem possent propter vim nivis, (nam plurima tum delapsa erat et quantam nemo antea vidit,) per litteras, quantum poterat, mercenarios undique milites cogere nitebatur. sole autem ad verni aequinoctii cardinem progresso, ubi et pax a coelo fuit et maris ira deferbuit, optimum factu duxit, hostibus ab utraque parte instantibus, loca maritima petere, quo simul et mari advectis hostibus et qui a continente urgebant, facile obsistere posset. statim igitur Nicephorum Melissenum caesarem missis legatis dicto citius Aenum petere iussit; nam per litteras iam antea ei mandaverat, ut quam plurimos posset milites conscriberet, non

ταχῆ τῆς ἑσπέρας διέσπειρεν, ἐφ' ᾧ φρουρεῖν τὰ κυριώτερα τῶν πολιχνίων,) ἀλλὰ κατὰ μέρος νεολέκτους καταλέγων, ὁπόσοι τε ἐκ Βουλγάρων καὶ ὁπόσοι τὸν νομάδα βίον εἵλοντο, (Βλάχους τούτους ἡ κοινὴ καλεῖν οἶδε διάλεκτος,) καὶ τοὺς ἄλλοθεν ἐξ ἁπασῶν τῶν χωρῶν ἐρχομένους ἱππέας τε καὶ πεζούς. αὐτὸς δὲ τοὺς τοῦ Φλάντρα πεντακοσίους Κελτοὺς ἐκ Νικομηδείας μεταπεμψάμενος, μετὰ τῶν συγγενῶν αὐτοῦ ἐξεληλυθὼς τῆς Βυζαντίδος, θᾶττον τὴν Αἶνον καταλαμβάνει. καὶ τηνικαῦτα ἐν ἀμφιρύκῳ εἰσελθὼν καὶ παραδραμὼν, τὴν τοῦ ὅλου ποταμοῦ θέσιν καὶ τὴν ὅλην αὐτοῦ κοίτην κατασκεψάμενος ἑκατέρωθεν, καὶ διαγνοὺς, ὅποι τὸ στρατιωτικὸν καταθεῖναι βέλτιον, ὑπέστρεψε. καὶ διὰ τῆς νυκτὸς τοὺς λογάδας συναγαγὼν τοῦ στρατεύματος, τὰ κατὰ τὸν ποταμὸν καὶ τὰ τούτου παρ' ἑκάτερα διηγεῖτο, καὶ ὡς "χρὴ τὴν αὔριον διαπεράσαντας καὶ ὑμᾶς τὴν ὅλην περιαθρῆσαι πεδιάδα. καὶ ἴσως οὐκ ἀδόκιμος ὑμῖν ὃν αὐτὸς ὑποδείξω τόπον φανεῖται, οὗ χρὴ τὰς σκηνὰς πήξασθαι." τοῦτο δὲ πᾶσι συνδόξαντος, αὐγαζούσης ἡμέρας πρῶτος αὐτὸς τὴν περαίαν κατέλαβε, καθ' οὕτως ἅπαν αὐτῷ συνείπετο τὸ στρατιωτικόν. καὶ μετὰ τῶν λογάδων αὖθις κατασκοπήσας τὰς ὄχθας τοῦ ποταμοῦ καὶ τὴν ὑπερκειμένην πεδιάδα, καὶ τὸν ἀρέσκοντα τόπον αὐτῷ ὑποδείξας αὐτοῖς, (ἄγχου δὲ ἦν πολιχνίου τινὸς τοῦ οὔ-

B C V. 180 D

2. lege καταλέγειν. 10. ὅλου: exspectabam Εὔρου. vid. p. 450 A. κοίτην om. G. 13. κατὰ: καὶ G. 16. ὑποδείξω ὃν αὐτὸς P, altero ordine G. 17. lege τούτου, ut supra 153, 17. 228, 8. 323, 10. 18. τὴν add. CG, om. P. 19. συνείπετο αὐτῷ G.

veteranos, quippe quos in praecipuis Occidentis urbibus disposuisset, ut praesidio iis essent, sed partim tirones colligeret cum ex Bulgaris tum ex nomadibus, quos Blachos vulgari lingua vocare solent, aut si qui alii aliunde se offerrent equites peditesque. ipse, arcessitis e Nicomedia quingentis illis Gallis equitibus, a Flandriae comite missis, una cum necessariis Byzantio egressus, Aenum contendit. ibi navem conscendit, et urbem praetervectus, Euri fluvii situm totumque alveum exploravit ab utraque parte, et postquam cognovit, qui locus castris metandis aptissimus esset, rediit; dein noctu convocatis centurionibus, de flumine et utraque eius ripa exposuit, significavitque cupere se, ut postridie secum ipsi, traiecto fluvio, omnem viserent campum; fortasse quem monstraturus esset locum, haud ineptum castris visum iri. assentientibus cunctis, ipse, simul illuxit, primus fluvium traiecit; copiae mox secutae sunt universae. postquam una cum centurionibus iterum ripas fluvii et campum imminentem

τωσὶ Χοιρηνοὺς ἐγχωρίως ἐπονομαζομένου, ἐξ ἑνὸς μὲν μέρους ἔχοντος τὸν ποταμόν, ἐξ ἑτέρου δὲ βαλτώδης ὤν,) ἐπεὶ ἱκανὸν ὀχύρωμα καὶ πᾶσι ὁμοῦ τοῖς στρατιώταις ἐφαίνετο, θᾶττον τάφρον διορύξας, ἅπαν ἐκεῖ τὸ στράτευμα κατατίθησιν. αὐτὸς δὲ αὖθις μεθ' ἱκανῶν πελταστῶν πρὸς τὴν Αἶνον ἐπάνεισιν, ἐφ' ᾧ τὰς τῶν Σκυθῶν ὁρμὰς ἐς ἡμᾶς ἐκεῖθεν ἐρχομένων ἀναστέλλειν.

4. Πυθόμενοι δὲ οἱ κατὰ τὴν γενομένην εἰς Χοιρηνοὺς ταφρείαν ἀμυθήτων Σκυθικῶν στρατευμάτων ἔλευσιν, δηλοῦσι περὶ τούτων τῷ αὐτοκράτορι περὶ τὴν Αἶνον ἔτι ἐνδιατρίβον-
P. 228 τι. ὁ δὲ παραχρῆμα ἐν ἀμφιρύκῳ πλοίῳ εἰσελθὼν καὶ παραπλεύσας, τὸν ποταμὸν διὰ τοῦ στομίου διελθών, ἡνώθη μετὰ παντὸς τοῦ στρατεύματος. τὰς δὲ ἰδίας ὁρῶν δυνάμεις μηδὲ τὸ πολλοστημόριον τοῦ Σκυθικοῦ σωζούσας στρατεύματος, ἐν ἀμηχανίᾳ καὶ φόβῳ ἦν, μὴ ἔχων τὸν ἐπαρήγοντα κατὰ ἄνθρωπον. οὐκ ἀνέπιπτε δὲ ὅμως, οὐδὲ ἐμαλακίζετο, ἀλλὰ πολλοὺς τοὺς παρ' ἑαυτῷ κυμαινομένους εἶχε λογισμούς. μετὰ γοῦν τετάρτην ἡμέραν ἐκ τοῦ ἑτέρου μέρους πόρρωθεν ὁρᾷ Κομανικὸν στράτευμα, ὡσεὶ τεσσαράκοντα χιλιάδας, ἐπικαταλαμ-
B βάνον ἤδη. σκεψάμενος δὲ μὴ καὶ αὐτοὶ τοῖς Σκύθαις προστεθέντες δεινὸν τὸν κατ' αὐτοῦ ποιήσωνται πόλεμον, (καὶ

2. lege ἔχων. 3. ὁμοῦ add. C, om. PG. 6. τὰ τῶν Σκυθῶν πλήθη G. 10. malim τούτου. περὶ om. PG. add. C. 11. παραπλεύσας G, περιπλεύσας P. 12. διὰ τοῦ στομίου om. G. 16. ὅλως CG. 18. Κομμανικὸν G hic et infra. 20. σκεψάμενος: δεδιὼς A. δὲ: lege γάρ. 21. τὸν om. CG. ποιήσονται A.

lustravit, locumque castris delectum ostendit, (prope aberat ab oppidulo, quod Choereni indigenis appellatur, una ex parte fluvio, altera palude munitus,) quoniam omnibus simul ducibus satis firma munitio videbatur, fossa quam primum ducta, totum illic exercitum collocat. ipse cum peltastarum numero idoneo Aenum revertitur, ut Scytharum ab ista parte invadentium impetus reprimeret.

4. Sed qui in castris ad Choerenos erant, cum innumerabilia Scytharum agmina appropinquare comperissent, id imperatori nuntiant, Aeni adhuc commoranti. is statim navigium conscendit, et maritimam praetervectus oram fluviumque per ostia ingressus, ad castra suorum pervenit. quos cum ne minimae quidem parti Scytharum pares sensisset, consilii inops erat et timore affligebatur, quoniam non habebat, qui sibi subveniret, quantum homines prospicere possunt. neque tamen animo concidit ignavumque se praestitit, sed multa secum cogitationum aestu volvebat. quarto abhinc die ex altera parte procul vidit Comanorum exercitum quadraginta fere mil-

οὐδὲν ἄλλο ἐντεῦθεν τὸ ἐλπιζόμενον ἢ πανωλεθρία,) δεῖν ἐλογίσατο ὑποποιήσασθαι αὐτούς· καὶ γὰρ προέφθη τούτους μετακαλέσασθαι. τοῦ δὲ Κομανικοῦ στρατεύματος πολλοὶ μὲν καὶ ἄλλοι ἡγεμόνες κατέστησαν, προαγοὶ δὲ πάντων ὁ Τογορτάκ, ὁ Μανιὰκ καὶ ἕτεροι ἄνδρες μαχιμώτατοι. τὴν δὲ πληθὺν τῶν ἐπικαταλαμβανόντων ἤδη Κομάνων ὁρῶν, ἐδεδίει, τὸ εὐάγωγον πάλαι γινώσκων τῆς αὐτῶν γνώμης, μὴ οἱ σύμμαχοι ἐχθροὶ καὶ πολέμιοι γεγονότες μεγίστην βλάβην αὐτῷ C προξενίσειαν. ἀσφαλέστερον δὲ λογισάμενος ἐκεῖθεν ἀπάραντα μετὰ τοῦ ὁπλιτικοῦ παντὸς διαπεράσαι αὖθις τὸν ποταμόν, δεῖν ἐλογίσατο πρότερον τοὺς ἡγεμόνας τῶν Κομάνων μετακαλέσασθαι. οἱ δὲ παραχρῆμα προσέρχονται τῷ βασιλεῖ, καὶ αὐτὸς ὁ Μανιάκ, κἂν ὀψιαίτερον τῶν ἄλλων, πρότερον ἀναβαλλόμενος. δαψιλῆ τοίνυν τράπεζαν αὐτοῖς παρατεθῆναι τοῖς ὀψοποιοῖς ἐπέταξε. καλῶς οὖν εὐωχηθέντας μετὰ ταῦτα φιλοφρονησάμενος αὐτοὺς καὶ παντοίων δωρεῶν ἀξιώσας, ὅρκον καὶ ὁμήρους ἐξ αὐτῶν ᾐτεῖτο, ὑποπτεύων τὸ τῆς αὐτῶν γνώμης εὐεξαπάτητον. οἱ δὲ ἑτοίμως τὸ προσταχθὲν ἐπλήρουν τὰς πίστεις παρασχόμενοι, αἰτη- D σάμενοι παραχωρηθῆναι τὸν μετὰ τῶν Πατζινακῶν πόλεμον συνάψασθαι ἐπὶ τρισὶν ἡμέραις· καὶ εἰ τὴν νίκην αὐ-

1. ἡ G. 4. προαγωγοὶ CG. Τογορτᾶς CG. 8. γεγονότες καὶ πολέμιοι G. 9. lege προξενήσειαν. 12. μετακαλέσασθαι C, μετακαλέσεσθαι PG. 15. ἔταξε A. εὐωχηθέντας μετὰ ταῦτα om. A. 18. δ' A. 19. τὰς πίστεις παρασχόμενοι om. A. 20. Πατζινακῶν : Σκυθῶν A.

lium iam adventantem. nempe veritus, ne et ipsi, Scythis coniuncti, exitiosum Romanis bellum inferrent, (nec sane quidquam nisi internecio hinc exspectari poterat,) eos sibi conciliandos statuerat; nam ipse eos arcessiverat. duces Comanorum erant cum multi alii, tum primi omnium Togortac, Maniac ceterique viri fortissimi. multitudine vero adventantium iam Comanorum conspecta, cum, quam mobili essent animo, dudum nosset, veritus est, ne ex sociis hostes atque adversarii facti, maximam sibi cladem inferrent. itaque cum tutius arbitraretur, hinc cum exercitu toto reversum fluvium rursus traiicere, tamen prius duces Comanorum arcessendos statuit. qui continuo ad imperatorem se contulerunt, ipse etiam Maniac, licet serius reliquis, ut qui initio colloquium detrectasset. magnificum iis convivium parari iussit, lauteque epulatos ubi benigne salutavit ac variis ornavit muneribus, iusiurandum et obsides poposcit, fraudulentiam eorum suspicatus. libenter, quod iussi sunt, faciunt, fideque data, petunt, ut sibi cum Patzinacis confligere tribus diebus liceret; quodsi deus

τοῖς δοίη ὁ θεός, διχῇ τὴν ἐπιλαχοῦσαν αὐτοῖς ἅπασαν λείαν διελόντας, θάτερον μέρος ἀφορίσαι τῷ βασιλεῖ ὑπισχνοῦντο. ὁ δὲ οὐκ ἐπὶ τρισὶ μόναις ἡμέραις, ἀλλ' ἐπὶ ὅλαις δέκα μετελεύσεσθαι τοὺς Σκύθας κατὰ τὸ αὐτοῖς βουλητὸν ἄδειαν
V. 181 ἐδεδώκει, καὶ τὴν ἐκεῖθεν ἅπασαν ἀφαιρεθησομένην λείαν,
P. 229 εἴ γε τέως τὴν νίκην αὐτοῖς παράσχοι θεός, ἀποχαρισάμενος. ἦσαν μὲν οὖν ἐπὶ ταὐτοῦ τέως μένοντα τὰ Σκυθικὰ καὶ Κομάνων στρατεύματα, τῶν Κομάνων δι' ἀκροβολισμῶν πειρωμένων τῆς Σκυθικῆς στρατιᾶς. τριῶν δὲ ἡμερῶν οὔπω διελθουσῶν, μεταπεμψάμενος ὁ βασιλεὺς τὸν Ἀντίοχον, (ἀνὴρ δὲ οὗτος τῶν εὐγενῶν καὶ δραστηριότητι γνώμης τῶν πολλῶν διαφέρων,) ἐπισκήπτει αὐτῷ γέφυραν κατασκευάσαι. θᾶττον δὲ διὰ πλοίων ἐπιζευχθέντων μακροτάτοις ξύλοις κατασκευασθείσης γεφύρας, μεταπεμψάμενος τόν τε πρωτοστράτορα Μιχαὴλ τὸν Δούκαν καὶ γυναικάδελφον αὐτοῦ, καὶ τὸν ἴδιον
B ἀδελφὸν Ἀδριανὸν καὶ μέγαν δομέστικον, παρεκελεύσατο παρὰ τῷ χείλει τοῦ ποταμοῦ ἑστάναι καὶ μὴ συγχωρεῖν συμμίγδην διαπερᾶν πεζούς τε καὶ ἱππότας, ἀλλὰ τοὺς πεζοὺς τῶν ἱππέων πρότερον διακρινομένους καὶ τὰς ἁμάξας μετὰ τῶν σκευῶν καὶ τὰς φορταγωγοὺς ἡμιόνους. διαπερασάντων οὖν τῶν πεζῶν, δεδιὼς τὰς Σκυθῶν καὶ Κομάνων δυνάμεις καὶ τὰς λαθραίας τούτων ὑποπτεύων ἐφόδους, θᾶττον ἢ λό-

1. δώῃ αὐτοῖς G. 4. βουλητὸν A, βουλευτὸν PG. 5. ἀφαιρεθησομένους CG. 6. ὁ θεός PG, θεός C. 11. δραστηριώτατος CG. γνώμῃ G. 14. καὶ Μιχαὴλ G. 16. Ἀδριανὸν C, Ἀνδριανὸν PG.

victoriam sibi concederet, praeda omni bifariam divisa, alteram partem imperatori se reddituros. imperator non tribus solum, sed decem integris diebus Scythas, utcunque vellent, vexandi potestatem fecit, et quam capturi essent praedam, victoriam deo annuente, eam iis concessit universam. ceterum Scytharum et Comanorum exercitus loco non movebant, Comanis iaculando Scythicas copias lacessentibus. triduum nondum abierat, cum imperator arcessitum Antiochum, virum nobilem et strenuitate animi plerisque antecellentem, pontem aedificare iussit. pons ubi celeriter navigiis per longissimas trabes coniunctis factus est, Michaelem Ducam protostratorem, uxoris fratrem, suumque fratrem Adrianum, magnum domesticum, arcessivit, iisque mandavit, ut ad ripam fluvii consisterent, neve sinerent promiscue equites pediteśque transire, sed pedites prius ab equitibus segregatos, et plaustra cum sarcinis mulosque clitellarios. transgressis igitur peditibus, Scytharum et Comanorum copias metuens eorumque clandestinas incursiones suspectans, fossam summa celeritate duxit, intra quam

γος τάφρον πεποιηκώς, ἐντὸς τούτου εἰσήγαγεν ἅπαντας, εἶτα καὶ τοὺς ἱππότας παρεκελεύσατο διαπερᾷν. καὶ αὐτὸς δὲ παρὰ τῷ χείλει τοῦ ποταμοῦ ἱστάμενος τοὺς διαπερῶντας C ἑώρα. ὁ δὲ Μελισσηνὸς καθ' ἣν φθάσας ἐδέξατο γραφὴν τοῦ αὐτοκράτορος πεποιηκὼς καὶ συλλέξας δυνάμεις ἀπανταχόθεν, ἀπὸ δὲ τῶν ἐγγὺς καὶ πεζοὺς ἐξελάσας ἐπεισάξαντας ἐν ἁμάξαις ὑπὸ βοῶν ἑλκομέναις τὰς ἰδίας σκευὰς καὶ τὰ πρὸς χρείαν ἅπαντα, σπουδαίως πρὸς τὸν αὐτοκράτορα ἐξέπεμψεν. οἱ δὲ φθάσαντες ἤδη ἐκ διαστήματος, καθόσον ὀφθαλμὸς ἐξικνεῖται περιαθρεῖν τὸ δρώμενον, ἀποσπὰς τῶν Σκυθῶν ἐδόκει τοῖς πλείστοις κατὰ τοῦ αὐτοκράτορος ἰέναι. ἤδη δὲ καί τις τεθαρρηκὼς καὶ τῷ δακτύλῳ ὑποδεικνὺς τῷ αὐτοκράτορι, Σκύθας διενίστατο εἶναι. ὁ δ' ἀληθὲς τὸ ῥηθὲν οἰηθεὶς καὶ D πρὸς τοσούτους μὴ ἐξισχύων, ἐν ἀμηχανίᾳ καθειστήκει. μεταπεμψάμενος οὖν τὸν Ῥοδομηρὸν τηνικαῦτα, (ἀνὴρ δὲ οὗτος ἐκ Βουλγάρων ὁρμώμενος εὐγενὴς καὶ μητρόθεν συγγενὴς τῆς Αὐγούστης καὶ μητρὸς ἡμετέρας,) τοῦτον ἀποστείλας ἐπέσκηψε κατασκοπῆσαι τοὺς ἐρχομένους. ὁ δὲ τάχυ τὸ κελευ- P. 230 σθὲν διηνυκώς, ὑποστρέψας τοὺς ἐκ τοῦ Μελισσηνοῦ πεμφθέντας εἶναι ἔλεγεν. ὁ δέ γε αὐτοκράτωρ περιχαρὴς γεγονὼς καὶ μικρὸν ἐγκαρτερήσας φθασάντων, διαπερᾷ σὺν αὐτοῖς, καὶ

1. εἶτα om. CG. 6. lege ἀπό τε. τὸν P. lege ἐπισάξαντας. ἐπεισάξαντας — αὐτοκράτορα om. CG. 7. σκευὰς, καὶ τὰ πρὸς χρείαν ἅπαντα σπουδαίως libri. interpunctionem mutavi. 10. ἀποσπορὰς CG. lege ἀποσπάδας. vid. 209, 19. δὲ τῶν G. 11. τοὺς πλείστους G. 16. τῆς Αὐγούστης P in margine, αὐτῆς PG. 17. ἐπέσκηψε P in margine, ἔπεμψε PG. 19. Μελισηνοῦ C.

omnes collocavit; dein equites quoque traiicere iussit. ipse in ripa fluvii traiicientes lustrabat. Melissenus autem secundum mandata, quae ab imperatore per litteras antea acceperat, cum copias undique collegisset, et ex vicinia pedites abduxisset, qui plaustris, a bubus tractis, impedimenta atque ad victum necessaria omnia apportarent, eos diligenter ad imperatorem miserat. qui cum tantum accessissent, quantum oculi prospicere possunt, Scytharum pars plerisque in imperatorem invehi videbatur; atque erat etiam, qui digito adventantes commonstrans, quovis pignore eos Scythas esse contenderet. quod cum imperator pro certo haberet, neque tantae multitudini par esset, consilii inopia laboravit. itaque Rodomerum, nobilem hominem ex Bulgaris oriundum et materno genere ipsi Augustae matri meae propinquum, exploratum misit, quinam isti essent. is celeriter re perfecta, redux missos a Melisseno esse dixit. summo inde affectus

παραχρῆμα τὴν γενομένην ταφρείαν ἐπιπλέον ἐπαυξήσας, ἥνωσε τούτους μετὰ τοῦ λοιποῦ στρατεύματος. οἱ δὲ Κομάνοι παραχρῆμα τὴν τάφρον καταλαμβάνουσιν, ὅθεν ὁ βασιλεὺς μετὰ τοῦ ὁπλιτικοῦ παντὸς ἀπάρας διεπέρασεν, αὐτοῦ που κατασκηνώσαντες. τῇ γοῦν μετ' αὐτὴν ἐκεῖθεν ἀπάρας ὁ αὐτοκράτωρ, κατα-
B λαμβάνειν ἔμελλε τὸν κάτωθεν τοῦ ποταμοῦ πόρον τοῦ Φιλοκά-
V. 182 λου ἐγχωρίως καλούμενον· ἱκανοῖς δὲ τῶν Σκυθῶν ἐντυχὼν καὶ τηνικαῦτα προσβαλὼν αὐτοῖς, καρτερὸν συνῆψε πόλεμον. καὶ κτείνονται μὲν οὖν ἐν τῷ μάχεσθαι ἐξ ἑκατέρων πολλοί· ὅμως δὲ τὴν νικῶσαν εἶχεν ὁ βασιλεύς, ἡττήσας τοὺς Σκύθας κατὰ κράτος. οὕτω γοῦν τῆς μάχης διαλυθείσης καὶ τῶν στρατευμάτων διακριθέντων πρὸς τὰς οἰκείας παρεμβολάς, αὐτοῦ που τὸ Ῥωμαϊκὸν προσέμεινε στράτευμα δι' ὅλης τῆς τότε νυκτός. αὐγαζούσης δὲ τῆς ἡμέρας ἐκεῖθεν ἀπάραντες, καταλαμβάνουσι τόπον τινὰ καλούμενον τοῦ Λεβούνη· βου-
C νὸς δὲ τῆς πεδιάδος ὑπερκείμενος. ἄνεισι μὲν οὖν ἐκεῖσε ὁ αὐτοκράτωρ. ἐπεὶ δὲ μὴ τὸ πᾶν τοῦ στρατεύματος ὁ ὑπερκείμενος ἐχώρει τόπος, περὶ τοὺς πρόποδας αὐτοῦ διώρυχα ποιήσας καὶ τάφρον ἀποχρῶσαν τῷ παντὶ στρατεύματι, ἐκεῖ τούτους κατατίθησι. πρόσεισι δὲ τηνικαῦτα τῷ αὐτοκράτορι αὖθις αὐτόμολος ὁ Νεάντζης καὶ σὺν αὐτῷ ὀλίγοι Σκύθαι. ὃν θεασάμενος ὁ βασιλεὺς καὶ τῆς προτέρας αὐτοῦ ἀγνωμο-

1. γεγενημένην G. 4. διεπέρασεν CG, διεπέρασαν P. 9. καὶ add. A. οὖν add. C. ἑκατέρων τῶν στρατευμάτων A. 10. ὅμως: τέως A. 12. τὰς om. G. 13. τῆς om. G. 22. αὐτοῦ add. AG.

gaudio imperator, ubi advenientes paulisper praestolatus est, fluvium cum iis traiecit, vallique circuitu celeriter aucto, reliquo exercitui recentes copias adiunxit. Comani autem in eum extemplo locum, unde imperator toto exercitu traiecerat, accesserunt ibique castra posuerunt. postridie imperator inde movens ad vadum fluvii inferius, quod Philocali indigenae appellant, cum in Scytharum copias haud exiguas incidisset, acrem commisit pugnam. licet multi utrimque occubuissent, palmam tamen imperator reportavit, Scythis funditus victis. tali modo pugna finita et exercitibus ad castra reversis, ibidem Romani pernoctarunt; sole orto inde profecti, ad locum Lebune nominatum pervenerunt. collis est planitiei imminens. eum imperator conscendit. quoniam vero exercitui toti capiendo collis non erat, ad radices eius fossam duxit vallumque idoneum, ibique copias collocavit. eo tempore Neantzes transfuga imperatorem rursus adiit paucis cum Scythis. quem conspicatus imperator, prioris perfidiae eum

σύνης ἀναμνήσας καὶ ἄλλ' ἄττα προσθέμενος, ἔμφρουρον αὐτὸν μετὰ τῶν ἄλλων καὶ σιδηρόδετον εἶχεν.

5. Οὕτω μὲν οὖν ὁ βασιλεύς. οἱ δέ γε Σκύθαι κατὰ D τὸν ῥύακα τοῦ καλουμένου Μαυροποτάμου κείμενοι ὑπεποιοῦντο λαθραίως τοὺς Κομάνους, συμμάχους προσκαλούμενοι. ἀλλ' οὐδὲ πρὸς τὸν βασιλέα πέμποντες ἠρέμουν, τὰ περὶ εἰρήνης ἐρωτῶντες. ὁ δὲ τοῦ δολεροῦ τῆς γνώμης αὐτῶν στοχαζόμενος, προσηκούσας καὶ τὰς ἀποκρίσεις αὐτοῖς ἐπεποίητο, ἀπαιωρεῖν ἐθέλων τοὺς αὐτῶν λογισμούς, εἴ που καὶ τὸ ἐκ τῆς Ῥώμης προσδοκώμενον μισθοφορικὸν καταλάβοι. οἱ δὲ Κομάνοι ἀμφιβόλους ἔχοντες τὰς τῶν Πατζινακῶν ὑποσχέσεις, οὐ πάνυ τι αὐτοῖς προσετίθεντο, ἀλλ' ἑσπέρας μηνύουσι τῷ βασιλεῖ· "μέχρι πόσου τὴν μάχην ἀναβαλλώμεθα; ἴσθι τοίνυν, ὡς ἐπὶ πλέον οὐκ ἐγκαρτερήσομεν, ἀλλ' ἡλίου ἀνατέλλοντος λύκου ἢ ἀρνίου κρέας ἐδόμεθα." ταῦτα ὁ βασιλεὺς P. 231 ἀκούσας καὶ τὸ ὀξὺ τῆς τῶν Κομάνων γνώμης διαγνούς, οὐκέτι ἐν ἀναβολαῖς τοῦ μάχεσθαι ἦν. ἀλλὰ τὴν ἡμέραν ἐκείνην κρίσιν τοῦ πολέμου δημοτελῆ θέμενος, ἐκείνοις μὲν κατὰ τὴν ἐπιοῦσαν τὸν μετὰ τῶν Σκυθῶν ὑπέσχετο πόλεμον, αὐτὸς δὲ παραχρῆμα μετακαλεσάμενος τοὺς ἡγεμόνας καὶ πεντηκον-

1. καὶ add. CG. 2. σιδηρόδετον A, σιδηροδέτην PG. 4. τὸν om. G. 6. ἀλλὰ καὶ πρὸς τὸν βασιλέα ἔπεμπον A. ἠρέμουν πέμποντες G. τὰ om. G. 7. τὸ δολερὸν αὐτῶν στοχαζόμενος A. 8. προσηκούσας ἐποιήσατο τὰς ἀποκρίσεις A. 11. ἀμφιβόλως A. τὰς om. G, τὰς μετὰ τῶν A. 13. ἀναβαλλόμεθα G. 14. ἐπιπλέον A. 15. ἀρνειοῦ C. 16. ἀκούσας ὁ βασιλεὺς A. καὶ om. G. 20. τοὺς ἡγεμόνας C, ἡγεμόνας P, τοὺς ἡγεμόνας μετακαλεσάμενος G.

admonuit, aliisque quibusdam exprobratis, in vincula una cum ceteris coniecit.

5. Atque haec quidem imperator; Scythae autem ad ripas Mauropotami, qui dicitur, subsidentes, Comanos clam aggrediebantur inque societatem vocabant; iidem tamen missis ad imperatorem legatis pacem petere non desistebant. hic cum dolosa eorum consilia perspiceret, responsa eiusmodi dedit, quibus animos eorum suspenderet, quoad, quos Roma exspectabat mercenarios milites, advenirent. Comani autem, cum ambiguae Patzinacarum promissiones essent, nequaquam in partes eorum transierunt, sed vespere haec imperatori significarunt: "quo usque pugnam differamus? scito, diutius nos exspectaturos non esse; sed oriente sole aut lupi carnem aut agni comedemus." quibus auditis imperator, cum promptum Comanorum animum perspiceret, proelium diutius non distulit; sed armis plane decernendum ratus, illis proximo die cum Scythis conflicturum se esse

τάρχας καὶ λοιποὺς προσέταξε διὰ παντὸς τοῦ φοσσάτου διακηρυκεῦσαι τὸν ἐς τὴν αὔριον ταμιευθέντα πόλεμον. ἀλλὰ κἂν τοιαῦτα ἐσκέπτετο, ἐδεδίει ὅμως τὰ ἄπειρα πλήθη τῶν B Πατζινακῶν καὶ Κομάνων, ὑποπτεύων τὴν ἀμφοτέρων σύμβασιν. ταῦτα γοῦν διασκοπουμένου τοῦ βασιλέως, κατέλαβον πρὸς αὐτὸν τῶν ὀρεινοτέρων μερῶν ἄνδρες τολμητίαι καὶ Ἀρειμάνιοι αὐτόμολοι πρὸς συνασπισμὸν αὐτοῦ, εἰς χιλιάδας ποσούμενοι πέντε. ἐπεὶ δ' ἀναβολὴν ἔτι τὰ τῆς μάχης οὐκ εἶχε, θεὸν ἀρωγὸν ἐπεκαλεῖτο. δύνοντος δὲ τοῦ ἡλίου, πρῶτος αὐτὸς κατῆρχε τῆς πρὸς θεὸν παρακλήσεως, λαμπράν τε δᾳδουχίαν ποιούμενος καὶ προσήκοντας ὕμνους ᾄδων αὐτῷ. οὐ μὴν οὐδὲ τὸ ἅπαν φοσσάτον ἠρεμεῖν συνεχώρει, ἀλλὰ τὰ C αὐτὰ ἑκάστῳ μὲν τῶν συνετωτέρων πράττειν συνεβούλευε, V. 183 τοῖς δὲ ἀγροικοτέροις ἐπέσκηπτε. τηνικαῦτα γοῦν τὸν μὲν ἥλιον ἦν ὁρᾶν τοῦ ὁρίζοντος δύνοντα, τὸν δὲ ἀέρα πεφωτισμένον, οὐχ ἑνὸς ὥσπερ ἡλίου λάμποντος, ἀλλὰ καὶ πολλῶν ἄλλων ἀστέρων λαμπρὰν τὴν φαῦσιν παρεχομένων. ἅπαντες γὰρ τοῖς ἰδίοις δόρασι πήξαντες λαμπάδας καὶ κηρούς, ὡς ἕκαστος δυνάμεως εἶχεν, ἀνῆψαν. αἱ δέ γε παρὰ τοῦ στρατεύματος ἀναπεμπόμεναι φωναὶ μέχρις οἶμαι τῶν οὐρανίων ἀντύγων

1. διακηρυκτεῦσαι P, recte CA. 2. ταμιευθέντα om. A. 6. τολματίαι PG, recte C. 7. ἀρεμάνειοι G. 11. ποιησάμενος G. 12. ἀλλὰ τὰ αὐτὰ πάντας πράττειν ἐβούλευε. τὸν δὲ ἥλιον ἦν ὁρᾶν τοῦ ὁρίζοντος ἤδη δύνοντα· τὸν δὲ αὐτοκράτορα δεόμενον πανστρατί. καὶ οὐχ ἑνὸς ηὔχετο λείποντος, ἀλλὰ πάντων λαμπρὰν τὴν δέησιν παρεχομένων A. 15. ἦν om. G. 18. τοῖς om. G. πήξαντες add. A. 19. δυνάμενος εἶχε P, εἶχε δυνάμεως G, δυνάμεως εἶχεν A. ἀνῆψαν A, ἀνῆψεν PG.

promisit. ipse convocatis statim centurionibus ceterisque ordinum ductoribus mandavit, ut per castra universa proelium in posterum diem indicerent. verumenimvero licet haec ita constituisset, tamen innumeram Patzinacarum Comanorumque multitudinem reputans metuebat, ne utrique arma coniungerent. haec cum imperator animo versabat, advenerunt ad eum montanarum regionum incolae bellicosi ac fortes, numero quinque fere millia, qui operam ultro suam offerebant. cumque procrastinare proelium diutius non posset, dei opem imploraturus, occidente sole precationem praeivit pompa facibus ardentibus hymnorumque cantu; nec universum exercitum quiescere passus est, sed prudentioribus, ut idem facerent, suasit, agrestioribus praecepit. ibi tum, etsi sol occiderat, aerem cerneres illustratum, non unius quasi solis lumine, sed innumeris aliis sideribus lucem fundentibus. omnes enim milites faces candelasque cereas, pro eo ut cuiusque facultates fere-

ἔφθανον, μᾶλλον δέ, εἰ χρὴ τἀληθὲς εἰπεῖν, εἰς αὐτὸν τὸν δεσπότην θεὸν ἀνεφέροντο. ἐκ τούτου δ' οἶμαι τεκμαίρεσθαι χρὴ τὴν τοῦ βασιλέως εὐσέβειαν, ὡς ἄρα τὰς πρὸς ἐχθροὺς D προσβολὰς οὐκ ἐδόκει ποιεῖν ἄνευ τῆς ἐκεῖθεν ἐπαρωγῆς. οὐ γὰρ ἐν ἀνδράσι καὶ ἵπποις καὶ στρατηγικαῖς μηχαναῖς καὶ οὗτος ἐθάρρει, ἀλλὰ τὸ πᾶν τῇ ἄνω ῥοπῇ ἐδίδου. καὶ ταῦτα μὲν μέχρι μέσης ἐτελεῖτο νυκτός· μικρὸν δὲ τοῦ λοιποῦ τὸ σῶμα διαναπαύσας, ἀνέθορε τοῦ ὕπνου, καὶ τοὺς ψιλοὺς τῶν στρατιωτῶν ὥπλιζε καρτερῶς, ἔστιν οὓς καί τινας ἀμφία καὶ P. 232 περικεφαλαίας ἐκ σηρικῶν πέπλων ὁμοχρόων κατασκευάσας περιέβαλεν, ἐπεὶ μὴ ἀπέχρη τούτῳ πρὸς πάντας ὁ σίδηρος. ἡμέρας δὲ ἀπάρτι διαγελώσης, καρτερῶς ὁπλισάμενος τῆς φάραγγος ἔξεισι, τὸ ἐνυάλιον ἠχῆσαι κελεύσας. καὶ κάτωθεν τοῦ λεγομένου Λεβουνίου (τόπος δὲ οὗτος * * *) τὸ στράτευμα διελών, τὰς φάλαγγας ἰλαδὸν ἵστησιν. αὐτὸς δὲ ὁ αὐτοκράτωρ προμετώπιος ἵστατο, δριμὺ μένος πνέων. τοῦ μέντοι δεξιοῦ καὶ εὐωνύμου μέρους καὶ κέρως ὁ Παλαιολόγος Γεώργιος καὶ Κωνσταντῖνος κατῆρχον ὁ Δαλασσηνός. ἐξ ὑπερδεξιῶν δὲ τῶν Κομάνων ὁ Μοναστρᾶς ὁπλισάμενος μετὰ B τῶν ὑπ' αὐτὸν ἵστατο· ἤδη γὰρ κἀκεῖνοι τὰς Ῥωμαϊκὰς φάλαγγας καθιστῶντα τὸν αὐτοκράτορα ὁρῶντες, τὰς σφῶν ὥπλιζον δυνάμεις, καὶ κατὰ τὸ δοκοῦν πολέμου διετύπουν σχῆμα·

2. θεὸν τὸν δεσπότην G. 13. φάραγγος PG in margine, φάλαγγος PGA. 14. καλουμένου C. 18. ὁ Δαλασσηνὸς κατῆρχον G, Δαλασηνὸς C. 21. ὁρῶντες τὸν αὐτοκράτορα A.

bant, summis hastis fixas accenderant. preces autem, ab exercitu sursum missae, ad coeli, arbitror, verticem vel, ut verius dicam, ad ipsum deum penetrarunt. atque hinc meo quidem iudicio probari potest imperatoris religio, quod hostes sine divino auxilio aggredi noluit. non enim in viris ille, non in equis, non in machinis bellicis fiduciam collocabat, sed in divino numine omnem spem positam habebat. haec igitur usque ad mediam acta sunt noctem. dein postquam paullulum quietis cepit, surrexit levemque armaturam gravioribus instruxit armis; nonnullis etiam, quoniam ferrum non suppetebat, thoracem et galeam, ex sericis eiusdem coloris confecta, induit. prima luce armatus, postquam signum tuba dari iussit, e vallo procedit; et infra Lebunium, quod dicitur, (locus hic est * * *) diviso exercitu, turmatim milites constituit. ipse in fronte aciei stabat imperator, Martem spirans; dextro laevoque cornibus Palaeologus Georgius et Constantinus Dalassenus praeerant. a dextra Comanorum Monastras cum suis in armis stabat: siquidem Comani imperatorem ordines explicantem conspicati, suas itidem copias armarant et arbi-

ἐξ εὐωνύμου δὲ τούτων ὁ Οὐζᾶς καλούμενος, τὸ δέ γε πρὸς δύσιν ὁρῶν, ὁ Οὐμπερτόπουλος μετὰ τῶν Κελτῶν. οὕτω γοῦν ὁ αὐτοκράτωρ ταῖς φάλαγξι πυργώσας οἷον τὸ στράτευμα καὶ ταῖς ἴλαις περισφίγξας, τὴν ἐνυάλιον αὖθις ἐκέλευσεν ἠχῆσαι σάλπιγγα. οἱ δὲ Ῥωμαῖοι δεδιότες τὸ ἀπειροπληθὲς τῶν Σκυθῶν καὶ τὰς ἀμυθήτους ἁρμαμάξας, τειχῶν C ὥσπερ παρεχομένας αὐτοῖς χρείαν, τὸν ὅλων κύριον εἰς ἔλεον μιᾷ φωνῇ ἐπικαλεσάμενοι, ὅλας ἡνίας χαλάσαντες τὴν μετὰ τῶν Σκυθῶν μάχην ἐπέσπευδον, τοῦ αὐτοκράτορος ἁπάντων προκύροιθεν θέοντος. μηνοειδοῦς δὲ τῆς παρατάξεως γεγονυίας, ἐν ταὐτῷ καὶ ὥσπερ ἐξ ἑνὸς συνθήματος παντὸς τοῦ στρατοῦ καὶ αὐτῶν δὴ τῶν Κομάνων τὴν κατ' αὐτῶν ποιησαμένων ὁρμήν, στοχασάμενος τοῦ μέλλοντος Σκύθης τις τῶν ἐκκρίτων ἡγεμὼν τηνικαῦτα καθεστώς, προηρπάκει τὴν σωτηρίαν, καὶ ὀλίγους συμπαραλαβὼν πρόσεισι τοῖς Κομάνοις ὡς ὁμογλώττοις. κἂν γὰρ κατὰ τῶν Σκυθῶν ἐκθύμως καὶ οὗτοι ἐμάχοντο, ἀλλὰ θαρρήσας μᾶλλον ἢ τοῖς Ῥωμαίοις, αὐτοῖς προσεληλύθει, ἐφ' ᾧ D μεσίταις τούτοις πρὸς τὸν αὐτοκράτορα χρήσασθαι. τοῦτο ὁ αὐτοκράτωρ θεασάμενος, καὶ πτοηθεὶς μὴ τούτοις καὶ ἕτεροι τῶν V. 184 Σκυθῶν προσχωρήσαντες ἀναπείσωσι τοὺς Κομάνους τὰ ὑπὲρ αὐτῶν φρονήσαντας κατὰ τῆς Ῥωμαϊκῆς φάλαγγος στρέψαι

1. οὐτζᾶς A. 3. γοῦν: γὰρ οὖν G. 8. ὅλως A. 9. ἔσπευδον G. 10. ἐν ταὐτῷ om. A. 12. τὴν κατὰ τῶν σκυθῶν A. 13. Σκύθης: συνήθης C. 20. παραχωρήσαντες G. ἀναπείσουσι A. 21. αὐτῶν A et in margine G, αὐτὸν PG. φρονῆσαι G, φρονεῖν· τῷ τὴν βασιλικὴν A.

tratu suo aciem instruxerant: a sinistra eorundem Uzas; occasum versus Ubertopulus cum Gallis. ita postquam exercitum imperator phalangibus quasi muniit turmisque constrinxit, classicum iterum cani iussit. Romani, cum infinitam Scytharum multitudinem et innumera plaustra, quae moenium loco ipsis essent, metuerent, deo omnium rerum domino uno ore invocato, vehementissimo impetu pugnam capessiverunt, imperatore ante omnes praecurrente. lunata autem cum Romana acies esset, totusque exercitus et ipsi etiam Comani velut signo dato eodem omnes momento in Scythas irruerent, imminens exitium auguratus unus e ducibus Scytharum, suae prospicere saluti statuit, paucisque assumtis, ad Comanos transfugit, ut qui eadem uterentur lingua. nam licet et ipsi strenue contra Scythas pugnarent, tamen fidenti animo, potius quam Romanos, hos adiit, quos apud imperatorem precatores fore speraret. quo imperator animadverso, veritus, ne ad Comanos alii quoque transirent iisque persuaderent, secum ut facerent, ac mutata voluntate, in Romanam aciem invehe-

μετὰ τῆς γνώμης καὶ τὰς ἡνίας, παραχρῆμα, ὁποῖος ἐκεῖνος δραστήριος ἐν ὀξείᾳ ῥοπῇ τοῦ συνοίσοντος καταστοχάσασθαι, P. 233 τῷ τὴν βασιλικὴν σημαίαν κατέχοντι ἐπέταξε ταύτην ἐν χερσὶν φέροντι μετὰ τῆς τῶν Κομάνων στῆναι παρεμβολῆς. τῆς Σκυθικῆς δὲ ὁμαιχμίας διασπασθείσης ἤδη, καὶ παραχωρησάντων ἀλλήλοιν τοῖν στρατοπέδοιν, ἀνδροκτασίαν ἦν θεάσασθαι τηνικαῦτα, ὁποίαν οὐδεὶς πώποτε ἐθεάσατο. τῶν δὲ Σκυθῶν δεινῶς ἀποσφαττομένων, ὡς ἐγκαταλειφθέντων ἤδη ὑπὸ τῆς θείας δυνάμεως, κεκοπιακότες οἱ σφάττοντες τῇ σφοδρᾷ καὶ πυκνῇ κινήσει τῶν ξιφῶν, λειποθυμοῦντες ἀνεκόπτοντο τῆς ὁρμῆς. ὁ δὲ αὐτοκράτωρ ἐν μέσοις τοῖς πολεμί- B οις ἐξιππαζόμενος, ὅλας συνετάραττε φάλαγγας, πλήττων μὲν τοὺς ἀντικαθισταμένους, καταπτήσσων δὲ καὶ τοὺς πόρρω τοῖς ἐμβοήμασιν. ἐπεὶ δὲ τὸν ἥλιον ὑπὲρ κεφαλῆς τὰς ἀκτῖνας βάλλοντα ἑώρα, μεσημβρίας ἀπάρτι οὔσης, προμηθεύεταί τι τοιοῦτον. μεταπεμψάμενός τινας ἀποστέλλει, ἐφ' ᾧ ἀγρότας ἀσκοὺς πλήσαντας ὕδατος καὶ ταῖς ἰδίαις ἐπεισάξαντας ἡμιόνοις ἐξελάσαντας ἀγαγεῖν. τούτους δὲ ἤδη θεασάμενοι καὶ οἱ μὴ προκληθέντες τῶν πλησιοχώρων, τὸ αὐτὸ τοῦτ' ἐποίουν, τοὺς τῆς δεινῆς τῶν Σκυθῶν χειρὸς αὐτοὺς ἀπαλλάττοντας ὁ μὲν δι' ἀμφορέως, ὁ δὲ δι' ἀσκοῦ, ὁ δὲ δι' ὁποίου τύχοιεν ἄγγους C

2. κατάστοχάζασθαι PG, recte C. 4. μετὰ : an κατὰ? 5. lege προσχωρησάντων. 6. θεάσασθαι AG, θεᾶσθαι P. 14. ὑπὲρ AG, περὶ P. 16. καὶ μεταπεμψάμενος A. ἀγρώτας ἀσκοὺς πληρεῖς ὑδάτων ἀγαγεῖν. τοῦτο οὖν ἐποίουν. καὶ ὁ μὲν δι' ἀμφορέως A. 17. lege ἐπισάξαντας. 21. τύχοιον PG, τύχοιεν CA.

rentur: statim, qua erat celeritate in perspiciendis iis, quae conducerent, signifero regio praecepit, ut cum vexillo, quod manibus tenebat, ad castra Comanorum consisteret. Scytharum autem acie iam soluta, ubi coniunctim uterque exercitus conflixit, tum vero caedem cerneres, quantam nemo unquam vidit. itaque magna Scytharum strage facta, ut qui destituti plane essent divino auxilio, nostri, vehementi et assidua armorum vibratione defessi, impetum remiserunt. imperator in medios invectus hostes, totas conturbabat phalanges, caedens obvios, procul stantes minacibus percellens vocibus. sed ubi animadvertit, solem supra vertices pugnantium radios fundere, cum meridies iam esset, tale quid providit. misit, qui rusticos iuberent utres aqua implere, iumentisque impositos apportare. quos conspicati, etiam qui non iussi erant accolae, idem faciebant iisque, qui Scytharum vexationibus se liberabant, aquam utribus alii, alii amphoris et quae forte ad manum erant vasis ministrabant. milites, aqua

ἀναψύχοντες ὕδατι. οἱ δὲ μικρὸν τοῦ ὕδατος σπώμενοι, αὖθις τῆς μάχης ἀντείχοντο. καὶ ἦν ἰδεῖν θέαμα καινόν, ἔθνος ὅλον, οὐ μυριάνθρωπον, ἀλλ' ἀριθμὸν ἅπαντα ὑπερβαῖνον, σὺν γυναιξὶ καὶ τέκνοις ἄρδην κατὰ ταυτηνὶ τὴν ἡμέραν ἀπολωλός. ἦν δὲ μηνὸς Ἀπριλίου εἰκοστὴ πρὸς τῇ ἐννάτῃ ἡμέρᾳ, τρίτη δὲ τῆς ἑβδομάδος. ἔνθεν τοι καὶ παρῴδιόν τι οἱ Βυζάντιοι ἐπῇδον, φάσκοντες "διὰ μίαν ἡμέραν οἱ Σκύθαι τὸν Μάϊον οὐκ εἶδον." ἐπεὶ δὲ ὁ ἥλιος πρὸς δυσμαῖς ἤδη ἦν, καὶ ἅπαν-
D *τες μὲν ξιφῶν ἔργον γεγόνασι, καὶ τὰ τέκνα φημὶ καὶ αἱ μητέρες, πολλοὶ δὲ καὶ ζωγρίαν ἐλήφθησαν, τὸ ἀνακλητικὸν κελεύσας ὁ αὐτοκράτωρ ἠχῆσαι, πρὸς τὴν ἰδίαν ἐπάνεισι παρεμβολήν. καὶ ἦν τῷ κατανοοῦντι θαῦμα ἰδέσθαι, πῶς οἱ πάλαι κατὰ τῶν Σκυθῶν ἐξερχόμενοι καλώδια τοῦ Βυζαντίου ἐξωνούμενοι καὶ ἱμάντας, δι' ὧν δεσμώτας ἄγοιεν τοὺς τῶν Σκυθῶν ἑαλωκότας, τοὐναντίον πεπόνθασιν, αὐτοί τε παρὰ*
P. 234 *τῶν Σκυθῶν ἑαλωκότες καὶ δεσμῶται γενόμενοι. ἀλλὰ ταῦτα μὲν τότε, ὁπηνίκα κατὰ τὴν Δρίστραν ὁ μετὰ τῶν Σκυθῶν γέγονε πόλεμος· καὶ γὰρ τὸ φρύαγμα τότε τῶν Ῥωμαίων καθεῖλε θεός. ἐν ὑστέροις δέ, καθ' ὃν ὑφηγοῦμαι καιρόν, ὁπηνίκα περιδεεῖς τούτους ἔγνω καὶ τὰς σῳζούσας ἀπολελωκότας ἐλπίδας, πρὸς τοσαῦτα πλήθη μὴ ἐξισχύοντας, τὴν νί-*

1. *ὕδατι ἦσαν τοὺς τῆς δεινῆς των σκυθῶν χειρὸς αὐτοὺς ἀπαλλάττοντας* A. *οἱ δὲ στρατιῶται ἄκος τὸ ἀπὸ τοῦ ὕδατος ἐπισπάμενοι, πάλιν τῆς μάχης* A. 5. *μὴν ἀπρίλλιος εἰκοστῇ* A. 7. *ἡμέραν τὸν μάϊον οἱ σκύθαι τὸν μάϊον* AG. 10. *ζωγρίαν* A, *ζωγρία* PG. *ἐλείφθησαν* G. 11. *τὴν* om. P, add. CAG. 13. scribe *τοῦ Βυζαντίου καλώδια. καλώδια* C, *κάλως διὰ* PG. 14. *ἄχθιεν* G.

hausta, procelium repetebant. ibi tum novum cerneres spectaculum, cum gens non decem quidem millium hominum, sed omnem excedens numerum, eo ipso die cum mulieribus liberisque ad internecionem tota deleretur. fuit hic vicesimus nonus Aprilis dies, hebdomadis tertius. hinc carmen Byzantiis iactatum: "unum ob diem Scythae Maium non viderunt." solis occasu, cum essent omnes ferro interemti, ne liberis quidem matribusque exceptis, multi etiam capti, imperator receptui cani iussit inque castra reversus est. ac mirabilis sane hic exitus erat, praesertim reputantibus, quam qui olim in Scythas profecti sunt Byzantio, funes loraque emercati, quibus captos Scythas vincirent, contraria passi sint, ipsi a Scythis capti vinculisque constricti. verum id illo tempore accidit, quo ad Dristram cum Scythis pugnatum est: tum spiritus Romanorum fregit deus. postea autem, in quibus dicendis nunc versamur temporibus, cum summo eos affe-

κην παραδόξως ἐχαρίσατο τούτοις, ὡς καὶ δεσμεῖν καὶ σφάττειν καὶ ζωγρίαν ἄγειν τοὺς Σκύθας, οὐ τοῦτο δὲ μόνον, (τάχα γάρ τι τοιοῦτον κἂν τοῖς μερικοῖς τῶν πολέμων πολλάκις εἴωθε γίνεσθαι,) ἀλλὰ καὶ ὅλον ἔθνος μυρίανδρον κατὰ μίαν καὶ μόνην ἀφανίσαι ἡμέραν.

6. Τῶν ταγμάτων δὲ τοῦ τε Κομανικοῦ καὶ Ῥωμαϊκοῦ V. 185 ἀπ' ἀλλήλων διακριθέντων, καὶ τοῦ αὐτοκράτορος περὶ λύ- B χνων ἀφὰς πρὸς δεῖπνον ἀπιδόντος, δυσχεραίνων εἱστήκει ὁ καλούμενος Συνέσιος, "τί τὸ γινόμενον καὶ τίς αὕτη ἡ καινὴ οἰκονομία;" λέγων πρὸς τὸν αὐτοκράτορα. "ἕκαστος τῶν στρατιωτῶν ἀνὰ τριάκοντα καὶ πλείω δεσμώτας ἔχει Σκύθας. ἡ τῶν Κομάνων πληθὺς ἐγγὺς ἡμῶν ἐστίν. εἰ γοῦν ὑπνώσαιεν οἱ στρατιῶται, καθάγε καὶ δεῖ, τοσοῦτον κεκοπιακότες, καὶ οἱ Σκύθαι ἄλλος ἄλλον λύσαντες καὶ τοὺς ἀκινάκεις σπασάμενοι ἀναιρήσουσιν αὐτούς, τί τὸ λοιπὸν ἔσται; ἀλλὰ κέλευσον C ἀναιρεθῆναι θᾶττον τοὺς πλείονας." ὁ δὲ βασιλεὺς δριμὺ πρὸς αὐτὸν ἐνιδών, ἔφη "κἂν Σκύθαι, ἀλλὰ πάντως ἄνθρωποι, κἂν ἐχθροί, ἀλλ' ἐλέους ἄξιοι. αὐτὸς δ', οὐκ οἶδα, τί φρονήσας ταῦτα ληρεῖς;" τὸν δ' ἐνιστάμενον μετ' ὀργῆς ἀπεπέμψατο. προσέταξε δὲ τηνικαῦτα διαλαλιὰν εἰς ἅπαν τὸ στράτευμα γενέσθαι, ἅπαντα τὰ τῶν Σκυθῶν ἀναλαβομένους

3. τι add. C. 6. τῶν δὲ A. ῥωμαϊκοῦ καὶ κομμανικοῦ A, καὶ τοῦ ῥωμαϊκοῦ G. 8. ἐπιδόντος G. 9. συνέσιός τις καλούμενος δυσχεραίνων εἱστήκει A. καινὴ om. AG. 11. πλείους CG. ἔχει Σκύθας δεσμώτας G. 12. ἐστιν ἡμῶν G. 14. ἀκινάκεις A, ἀκινάκας PG. 17. ἰδὼν A. 18. δὲ AG. 19. ἀνιστάμενον A. ὀργῆς αὐτὸν A. 21. ἅπαντας G.

ctos timore cerneret et de salute sua desperantes, quippe tantae multitudini impares, praeter exspectationem victoriam dedit, ita ut et vincirent Scythas et trucidarent et captos ducerent, immo etiam (nam tale quid etiam in minoribus proeliis haud raro usuvenit,) universam gentem multitudine innumerabilem funditus delerent uno isto ac solo die.

6. Digressis in suas quibusque stationes Comanicis Romanisque copiis, cum imperator prima face ad coenam iturus esset, indignabundus quidam, Synesius nomine, adstitit et "quid hoc, inquit, sibi vult, et quae ista nova agendi ratio est? unusquisque militum ad triginta et amplius Scythas captivos tenet; Comanorum multitudo prope adest. quid si indormierint milites, ut par est, tantis exantlatis laboribus, et Scythae alter alterius vincula solverint, strictisque gladiis eos confoderint? quamobrem plerosque barbarorum quamprimum trucidari iube." at imperator truci vultu "etsi Scythae, inquit, tamen sunt ho-

ὅπλα εἰς ἕνα καταθέσθαι τόπον, τοὺς δὲ δεσμώτας παραφυλάττειν. ταῦτα κελεύσας ἐν ἀμεριμνίᾳ τὸ λοιπὸν τῆς νυκτὸς ἦν. περὶ μέσην δὲ φυλακὴν τῆς νυκτός, εἴτε ἐκ θείας ὀμφῆς, D εἴτε καὶ ὅπως οὐκ οἶδα, ὁμῶς δ' οὖν ὡς ἐξ ἑνὸς συνθήματος μικροῦ πάντας οἱ στρατιῶται ἀπέκτειναν. τοῦτο ὁ βασιλεὺς αὐγαζούσης ἡμέρας ἀκηκοώς, ὕποπτον εὐθὺς τὸν Συνέσιον εἶχε. μετακαλεῖται τοίνυν παραχρῆμα τοῦτον. καὶ αἰτιώμενος σφοδρῶς ἠπειλεῖτο λέγων "τοῦτο τὸ ἔργον σόν." τοῦ δὲ ἐπομνυμένου μὴ εἰδέναι, ἐπέταξε δεσμηθέντα τοῦτον κατασχεθῆναι, "γνώτω" λέγων "ὁποῖον καὶ μόνον ὁ δεσμὸς κακόν ἐστιν, ὡς μηκέτι κατὰ ἀνθρώπων τοιαύτας ἀποφάσεις ποιεῖσθαι." τάχα δὲ ἂν καὶ ἐκόλασε τοῦτον, εἰ μὴ προσελθόντες P. 235 οἱ καθ' αἷμα καὶ ἐξ ἀγχιστείας προσήκοντες τῷ αὐτοκράτορι μεγιστᾶνες κοινὴν τὴν ὑπὲρ τοῦ Συνεσίου ἱκετηρίαν ἐποιοῦντο. τῶν δὲ Κομάνων οἱ πλείους πτοηθέντες, μή τι δεινὸν καὶ κατ' αὐτῶν ὁ αὐτοκράτωρ νυκτὸς μελετήσειε, τὴν λείαν πᾶσαν ἀναλαβόμενοι, νυκτὸς ᾤχοντο, τὴν πρὸς τὸν Δάνουβιν φέρουσαν ὁδεύοντες. αὐτὸς δὲ αὐγαζούσης ἡμέρας, φεύγων τὴν τῶν νεκρῶν σωμάτων δυσωδίαν, ἀπάρας ἐκεῖθεν ἔρχεται ἐπὶ

1. τόπον καταθέσθαι G. 3. εἴτ' ἐκ A. 4. ὁμῶς correxi, ὅμως codices. ὡς om. G. 5. βασιλεὺς κατὰ τὴν πρωΐαν ἀκηκοὼς A. 8. τὸ: γὰρ A. 11. τοιαῦτα G. 15. καὶ add. A. 16. αὐτῶν CAG, αὐτὸν P. 18. φεύγων om. G. 19. σωμάτων om. A. ἀπάρας τῶν χοιρηνῶν (ἐκεῖσε γὰρ ὁ πόλεμος ἐγεγόνει) ἐπὶ τὸν τόπον τὸν καλὰ δ. καλούμενον ἔρχεται A.

mines; etsi hostes, tamen misericordia nostra digni. tibi vero, nescio, quid in mentem venerit ita deliranti?" instantem ulterius iratus dimisit; tum edicto per castra promulgato admonuit milites, exuerent Scythas armis, eaque collecta omnia uno in loco deponerent, captivos ipsos diligenter custodirent. his ita provisis, securus reliquum transegit noctis. circa mediam autem noctem, divino impulsu, an quo alio casu, incertum: eodem momento veluti signo dato ferme universos Romani trucidant. quod ubi imperator exorta luce audivit, suspectum extemplo habet Synesium. arcessitum de scelere compellat, et atrociter minitans, "huius quidem, inquit, tu auctor es facinoris." hic licet iuraret, se inscio id factum esse, tamen vinculis eum constringi iussit; nam "discat, inquit, quantum mali vel sola habeant vincula, ne posthac de hominibus isto modo statuat." et fortasse etiam castigasset eum, nisi cognati et affines imperatoris, homines nobilissimi, intercessissent pro eo coniunctis precibus. Comanorum autem plerique veriti, ne quid mali etiam sibi imperator noctu strueret, praeda omni sumta, Danubium versus iter ingressi sunt. ipse

τινα τόπον Καλὰ δένδρα καλούμενον, σταδίους δέκα πρὸς τοῖς ὀκτὼ ἀπέχοντα τῶν Χοιρηνῶν. ἀπερχόμενον δὲ ἐκεῖσε κατέλαβεν ὁ Μελισσηνός. οὐ γὰρ ἔφθασε παραγενέσθαι ἐν τῷ καιρῷ τῆς μάχης, ἀσχολούμενος τὴν πληθὺν ἐκείνην τῶν B
νεολέκτων ἀποστεῖλαι πρὸς τὸν αὐτοκράτορα. ἀλλήλους τοίνυν ἀσπασάμενοι καὶ συγχαρέντες, ὡς εἰκός, τὸ λοιπὸν τῆς ὁδοιπορίας περὶ τῶν συμπεσόντων ἐπὶ τῇ τῶν Σκυθῶν ἥττῃ ὡμίλουν. μεμαθηκὼς δὲ ὁ αὐτοκράτωρ, ὁπηνίκα τὰ Καλὰ δένδρα κατέλαβε, τὸν δρασμὸν τῶν Κομάνων, ὁπόσα τούτοις ἀνῆκε πρὸς λόγον τῶν συμφωνηθέντων αὐτοῖς, ἐπισάξας ἐν ἡμιόνοις, ἀπέστειλε πρὸς αὐτούς, ἐντειλάμενος σπεῦσαι καταλαβεῖν αὐτοὺς καὶ πέραθεν, εἰ δυνηθεῖεν, Δανούβεως καὶ V.186
δοῦναι τὰ ἀποσταλέντα. βαρὺ μὲν αὐτῷ ἦν διὰ παντός, μὴ C
μόνον ψεύδεσθαι, ἀλλὰ καὶ τὸ δόξαι ψεύδεσθαι, ὁμιλίαν ἱκανὴν πρὸς ἅπαντας περὶ ψεύδους ποιουμένῳ. ἀλλὰ ταῦτα μὲν περὶ τῶν φευγόντων· τοὺς δέ γε λοιποὺς ἐφεπομένους αὐτῷ εἱστία τὸ λοιπὸν τῆς ἡμέρας δαψιλῶς. δέον δὲ ἐλογίσατο, μὴ τηνικαῦτα τοὺς ἀνήκοντας δοῦναι μισθούς, ἀλλὰ μεθεῖναι τοὺς εἰς ὕπνον τραπέντας καταπέψαι τὸν οἶνον, καὶ οὕτω τὸ φρονοῦν τῆς ψυχῆς συλλεξαμένους ἐν ἐπιγνώσει γενέσθαι τοῦ πραττομένου. τῇ μετ' αὐτὴν οὖν μετακαλεσάμενος ἅπαντας, οὐ τὰ προϋπεσχημένα δίδωσι μόνον, ἀλλὰ καὶ

2. ἀπερχόμενον C, ἀπερχόμενος PG. 4. τὴν τῶν CG. 9. ὁπόσα: πάντα τούτοις ἀνῆκε, πρὸς τὴν τῶν συμφωνηθέντων αὐτοῖς ὁλκὴν A. 11. ἡμιόνους ἐπισάξας A. posterius recepi, ἐπεισάξας PG. 16. πεφευγότων P in margine. δέ γε καταλειφθέντας εἱστία A.

illucescente die, cadaverum foetorem defugiens, inde profectus, in locum se contulit, cui Caladendra nomen est, qui octodecim stadiis a Choerenis distat. eo tendentem Melissenus convenit; neque enim pugnae tempore adesse potuerat, multitudine illa recens lectorum ad imperatorem mittenda occupatus. ambo amplexibus ac gratulationibus, ut assolet defuncti, in reliquo itinere de iis, quae in pugna cum Scythis commissa acciderunt, confabulati sunt. ad Caladendra ubi perventum est, imperator de fuga Comanorum certior factus, quae ipsis concesserat pacto, iumentis imposita ad eos misit, mandans, ut itinere accelerato vel ultra Danubium, si possent, eos assecuti, munera traderent. quippe grave ipsi semper videbatur, non solum mentiri, verum etiam in mendacii suspicionem incidere: de cuius turpitudine orationem sat longam ad omnes habuit. sed haec de fugientibus; ceteros, qui remanserant, per diem reliquum accepit lautissime. neque tamen praemia debita tum temulentis danda censuit, sed cra-

D πολλῷ πλείονα. σκεψάμενος δέ, ἐπεὶ ἀπολύειν τούτους οἴκαδε ἐβούλετο, μὴ ἐν τῷ ἀπιέναι εἰς προνομὴν σκεδασθέντες οὐ μικρὰν ταῖς κατὰ τὴν ὁδὸν παρακειμέναις κωμοπόλεσι τὴν βλάβην ἐπάξωσιν, ὁμήρους ἐξ αὐτῶν λαμβάνει. αἰτησαμένων δὲ καὶ αὐτῶν τὰ κατὰ τὴν ὁδὸν αὐτοῖς ἀσφαλίσασθαι, δίδωσιν αὐτοῖς τὸν Ἰωαννάκην, (ἀνὴρ δὲ οὗτος ἀνδρείᾳ καὶ φρονήσει διαφέρων,) τὴν τῶν ἁπάντων οἰκονομίαν διαθέμενος καὶ τὴν μέχρις αὐτοῦ τοῦ Ζυγοῦ τῶν Κομάνων εὐθέτησιν. τοιαῦτα μὲν οὖν τὰ τοῦ αὐτοκράτορος θείᾳ πάντως προνοίᾳ. πάντα γοῦν P. 236 κατὰ τὸ πλῆρες τελέσας, τροπαιοφόρος αὐτὸς νικητὴς πρὸς τὸ Βυζάντιον ἐπανέρχεται, Μαΐου παριππεύοντος μηνός. ἀλλὰ τὰ μὲν τῶν Σκυθῶν ὧδέ πη πέρας ἐχέτω, κἂν ἐκ πολλῶν ὀλίγα μοι εἴρηται, ἄκρῳ δακτύλῳ τοῦ Ἀδριατικοῦ ἁψαμένῃ πελάγους. τὰς γὰρ λαμπρὰς τοῦ αὐτοκράτορος νίκας, τὰς μερικὰς τῶν πολεμίων ἥττας, τὰς καθ' ἕνα τούτου ἀνδραγαθίας, τὰ ἐν τῷ μεταξὺ συμπίπτοντα τοῖς τότε καιροῖς, καὶ ὅπως πρὸς ἅπαντας ἐποικίλλετό τε καὶ διὰ παντοίας μεθόδου διέλυε τὰ συμπίπτοντα δεινά, οὐδ' ἂν Δημοσθένης ἄλλος ἢ καὶ ὁ ἅπας τῶν ῥητόρων χορός, οὐδ' ἂν ἡ Ἀκαδημία πᾶσα καὶ ἡ

3. κατὰ CA et in margine P, παρὰ PG. τὴν alterum om. A. 4. αἰτησαμένων: καὶ τὸν Ἰωαννάκην δοὺς διασῶσαι τούτους μέχρις αὐτοῦ ζυγοῦ, οἴκαδε τούτους ἀπέλυσεν A. 5. τὰ om. G. 6. Ἰωανάκην C. τῇ ἀνδρείᾳ καὶ τῇ G. 8. Ζυγοῦ scripsi. vid. p. 245 A. libri ζυγοῦ. 9. post προνοίᾳ punctum posui; libri uno tenore προνοίᾳ πάντα. 10. τελέσαι G. τὸ alterum om. G. 12. σκυθῶν οὕτω· κἂν A. 17. an ἅπαντα? 18. ὁ om. G. 19. ἡ prius om. G.

pulam edormire sivit, quo mente recepta beneficii sensum haberent. itaque postridie eius diei convocatis omnibus, non ea solum, quae pollicitus erat, sed multo plura persolvit. sed cum domum eos dimittere vellet, veritus, ne in reditu praedabundi oppidis viam adiacentibus haud parvam calamitatem inferrent, obsides iis imperavit; vicissim et ipsis securitatem itineris petentibus, Iohannacem comitem dedit, fortitudine ac prudentia praestantem, cui omnium rerum procurationem incolumitatemque Comanorum commendavit, usque dum ad Zygum pervenissent. atque ita quidem imperator divina plane providentia. omnibus igitur abunde persolutis, ipse triumphans Byzantium revertitur, Maio mense. hactenus de bello Scythico; licet ex multis pauca tantummodo narraverim, Adriaticum quasi mare summo digito tangens. nam splendidas imperatoris victorias ac leviores hostium clades singulaque ab eodem praeclare gesta et quanta arte, quae interim acciderant, malis se expediverit, haec omnia verbis aequare nec Demosthenes alter posset, nec universus oratorum

Στοὰ εἰς ταὐτὸν συνεληλυθέτην καὶ προὔργου παντὸς τὰς B
Ἀλεξίου πράξεις ἐποιήσαντο, τούτων ἐφικέσθαι ἐξίσχυσαν.
7. Οὐ πολλαὶ διῆλθον ἡμέραι τῆς τοῦ βασιλέως εἰς τὰ
ἀνάκτορα εἰσελεύσεως, καὶ ὁ Ἀριέβης Ἀρμένιος καὶ ὁ Κελ-
τὸς Οὐμπερτόπουλος (λογάδες οὗτοι ἄνδρες τῶν ἐπιφανῶν
Ἀρειμάνιοι) κατὰ τοῦ αὐτοκράτορος μελετήσαντες ἐφωράθη-
σαν, πλῆθος οὐκ ἀγεννὲς πρὸς ταυτηνὶ τὴν βουλὴν ἐπισυρό-
μενοι. καὶ οἱ ἔλεγχοι παρῆσαν, καὶ ἡ ἀλήθεια ἐπαρρησιάζετο.
κατάκριτοι δὲ ἤδη καταστάντες οἱ ἐπίβουλοι, δήμευσιν καὶ
ὑπερορίαν τηνικαῦτα κατεκρίθησαν, τῶν ἐκ τῶν νόμων ποι-
νῶν τοῦ αὐτοκράτορος σχολὴν παντελῆ καταψηφισαμένου, μη- C
δενὸς τὸ σῶμα λωβηθέντος. λογοποιουμένην δὲ Κομάνων ἔφο-
δον μανθάνων ὁ αὐτοκράτωρ, ἐκεῖθεν δὲ καὶ τὸν Βοδῖνον καὶ
αὐτοὺς Δαλμάτας παρασπονδῆσαί τε καὶ κατὰ τῆς ἡμεδαπῆς
χωρῆσαι βουλομένους, ἐμερίζετο τοῖς λογισμοῖς, πρὸς ὁπότε-
ρον ἂν ἀπονεύσειε τῶν ἐχθρῶν. δέον οὖν αὐτῷ ἐδόκει κατὰ
τῶν Δαλματῶν πρώτως ἐξοπλίσασθαι καὶ προκαταλαβεῖν τὰ
ἀναμεταξὺ τῆς ἡμεδαπῆς καὶ αὐτῶν διακείμενα τέμπη καί,
ὡς ἐνόν, ἀσφαλίσασθαι. συναγαγὼν τοίνυν ἅπαντας καὶ ἀνα-
κοινωσάμενος τὸ σκοπούμενον, ἐπεὶ συνοῖσον ἅπασι τοῦτ' ἐδό- V. 187
κει, ἔξεισι τῆς μεγαλοπόλεως, τὰ κατὰ τὴν ἑσπέραν προμη- D
θευσόμενος. καὶ ταχὺ τὴν Φιλιππούπολιν καταλαβών, καὶ

3. οὐ πολλαὶ: τότε καὶ ὁ ἀριέβης A. 4. Ἀρχιέβης G. 6. ἀρεμάνειοι G. 7. ταυτηνὶ om. A. 10. ἐκρίθησαν CG. 13. ὁ αὐτοκράτωρ μανθάνων G. 14. αὐτοὺς: lege τοὺς. 14. ἡμετέρας G. 19. ἅπαντας: excidit fortasse τοὺς λογάδας. 21. μεγαλουπόλεως C. προμηθευσάμενος G.

chorus, neque si Academia tota Stoaque ad celebrandas Alexii res gestas convenirent.

7. Non multi dies effluxerant ab imperatoris in palatium reditu, cum detecta in eum coniuratio est Ariebis Armenii et Ubertopuli Galli, nobilissimorum fortissimorumque hominum, qui multitudinem non contemnendam in partes suas traxerant. aderant testes et rem libere profitebantur. convicti cum essent insidiatores, bonorum publicatione et exilio multati sunt, capitis poenam, legibus praescriptam, remittente imperatore. iam cum imperator fama Comanos irruptionem fecisse accepisset, ab altera autem parte Bodinum et Dalmatas, foedere rupto, incursionem in fines nostros meditari, incertus erat animi, utri prius adversariorum occurreret. tandem satius duxit, contra Dalmatas primum arma parare, vallesque nostros inter et illorum fines sitas occupare et, quantum fieri posset, munire. convocavit igitur primores omnes aperuitque consilium; quod cum probatum esset omnibus, urbe egressus est, Occidentem placaturus. celeriter Philip-

γράμματα δεξάμενος τοῦ τηνικαῦτα ἀρχιεπισκόπου Βουλγαρίας χρηματίζοντος περὶ τοῦ δουκὸς Δυρραχίου Ἰωάννου τοῦ υἱοῦ τοῦ σεβαστοκράτορος, διαβεβαιούμενα ἀποστασίαν ἐκεῖνον ὠδίνειν, ἀθυμῶν διὰ πάσης ἡμέρας καὶ νυκτὸς ἦν, πὴ μὲν διὰ τὸν ἐκείνου πατέρα ἀναβαλλόμενος τὴν τῆς ὑποθέσεως
P. 237 ἐξέτασιν, πὴ δὲ καὶ δεδιώς, μὴ ἅπερ ἡ φήμη λέγει οὐ ψεύσεται. καὶ ἐπεὶ μειράκιον ἦν ὁ Ἰωάννης, ὡς ἐπίπαν τὰς τῶν τοιούτων ὁρμὰς ἀκαθέκτους γινώσκων, ἐδεδίει, μή τι νεωτερίσειε καὶ λύπης ἀφορήτου ἀμφοῖν τῷ τε πατρὶ καὶ θείῳ πρόξενος γένοιτο. δεῖν οὖν ἐλογίσατο διὰ πάσης μεθόδου σπεῦσαι τὴν ἐκείνου σφῆλαι βουλήν. ἐκήδετο γὰρ τούτου, ὁπόσον ἄν τις εἴποι. μεταπεμψάμενος οὖν τὸν τότε μέγαν ἑταιρειάρχην Ἀργυρὸν τὸν Καρατζάν, Σκύθην μὲν ὄντα, φρονιμώτατον δὲ καὶ ἀρετῆς καὶ ἀληθείας ἐπιμελούμενον, διττὰς ἐπιδίδωσιν αὐτῷ γραφάς, τὴν μὲν πρὸς τὸν Ἰωάννην τοιαῦτα
B διαλαμβάνουσαν· "ἡ μὲν βασιλεία μου βαρβαρικὴν διὰ τῶν κλεισουρῶν ἔλευσιν κατ' αὐτῆς μεμαθηκυῖα, ἐξεληλύθει τῆς Κωνσταντινουπόλεως, ἐφ' ᾧ τὰ μεσαίχμια τῆς Ῥωμαίων ἀρχῆς ἀσφαλίσασθαι. δέον οὖν ἐστί καὶ αὐτόν σε παραγενέσθαι, τὰ κατὰ τὴν ὑπό σε ἀρχὴν ἀναδιδάξοντα· (δέδια γὰρ καὶ τὸν Βολκάνον, μὴ καὶ αὐτὸς ἐναντία καθ' ἡμῶν φρονήσας μελετήσῃ,) πρὸς δὲ καὶ τὰ κατὰ τὴν Δαλματίαν ἀναγγελεῖν

3. διαβεβαιούμενος CG. 14. ἐπιμελόμενον C. 15. τοιαῦτα C, ταῦτα PG. 18. ἐφ' ᾧ — ἀσφαλίσασθαι om. CG. 20. ἀναδιδάξαντα G. 21. Βουλκάνον G hic et infra.

popolin pervectus, a Bulgariae, qui tunc erat, archiepiscopo de Dyrrhachii duce, Iohanne, sebastocratoris filio, litteras accepit, quae hunc defectionem moliri affirmabant. quo nuntio allato, diem noctemque laboravit, partim propter illius patrem detrectans inquisitionem rei, partim veritus, ne, quod fama ferebat, evaderet. cumque iuvenis esset Iohannes, qua aetate impotenti plerosque animo esse norat, metuebat, ne seditione is mota, intolerandi doloris utrique, et patri et patruo, auctor foret. itaque omnem statuit operam dare, ut consilium illius impediret; nam iuvenem diligebat quam maxime. arcessivit igitur magnum tum temporis hetaeriarcham Argyrum Caratzam, genere quidem Scytham, sed prudentissimum hominem et virtutis verique studiosum eique duas tradidit epistolas, quarum altera ad Iohannem in hunc sensum scripta erat: "maiestas nostra certior facta, barbaros per clusuras in imperium irrupisse, Cpoli egressa est, ut Romanorum fines tutaretur. itaque opus est etiam te ad me pervenire, ut de provinciae, cui praees, statu referas. vereor enim, ne Bolcanus infesta adversus nos moliatur. praeterea de Dalmatiae re-

πρὸς ἡμᾶς καὶ περὶ αὐτοῦ τοῦ Βολκάνου, εἰ ταῖς εἰρηνικαῖς ἐμμένει σπονδαῖς, (καὶ γὰρ οὐκ ἀγαθαί μοι περὶ αὐτοῦ ἀγγελίαι καθ' ἑκάστην κομίζονται,) ἵνα σαφέστερόν τι μεμαθηκότες καὶ πρὸς τὰς αὐτοῦ ἐπιπλέον παρασκευασώμεθα μηχα- C νάς, καί σοι τὸ δέον ὑποθέμενοι, αὖθις πρὸς τὸ Ἰλλυρικὸν ἐκπέμψωμεν, ὅπως ἐξ ἑκατέρου μέρους τοῖς ἐχθροῖς μαχόμενοι, τὴν νικῶσαν, θεοῦ ὑπαρήγοντος, σχοίημεν." ταῦτα μὲν ἡ πρὸς τὸν Ἰωάννην γραφὴ διελάμβανεν. ἡ δέ γε πρὸς τοὺς λογάδας τῶν ἐποίκων Δυρραχίου τοιαῦθ' ὑπηγόρευεν· "ἐπεὶ καθ' ἡμῶν μελετᾷν τὸν Βολκάνον αὖθις μεμαθηκότες, τῆς Βυζαντίδος ἐξεληλύθειμεν, κατασφαλισόμενοί τε τὰ ἐν μεσαιχμίῳ τῆς τε ἡμεδαπῆς καὶ τῶν Δαλματῶν διακείμενα τέμπη, ἅμα δὲ καὶ τὰ κατ' αὐτὸν καὶ τοὺς Δαλμάτας ἀκριβώσασθαι· διά τοι ταῦτα δέον κρίναντες μετακαλέσασθαι τὸν D ὑμέτερον δοῦκα καὶ ποθούμενον ἀνεψιὸν τοῦ κράτους ἡμῶν, τουτονὶ τὸν τὴν ἡμετέραν ἐγχειρίζοντα ὑμῖν γραφὴν ἐξαπεστείλαμεν, δοῦκα τοῦτον προχειρισάμενοι. δέξασθε αὐτὸν καὶ ὑμεῖς, καὶ εἰς πᾶν τὸ παρ' αὐτοῦ προστατιόμενον ὑπείκετε." ταύτας οὖν τὰς γραφὰς ἐγχειρίσας τῷ Καρατζᾷ, ἐνετείλατο ἀπελθόντα πρῶτα μὲν ἐγχειρίσαι τῷ Ἰωάννῃ τὴν πρὸς αὐτὸν P. 238 γραφήν. καὶ εἰ μὲν αὐθαιρέτως ἕπεται, ἐκεῖνον μὲν ἐκεῖθεν μετ' εἰρήνης προπέμψαι, αὐτὸν δὲ τὴν φρουρὰν τῆς χώρας ἀναδέξα-

7. lege ἐπαρήγοντος. μὲν οὖν G. 8. διελάμβανε γραφὴ G.
11. ἐξεληλύθαμεν G. μεταιχμίῳ G. 20. ἀπελθόντα om. G.

bus certiores nos facias velim atque de ipso Bolcano, num stet pacis conditionibus. siquidem haud laeti de eo quotidie ad me perferuntur nuntii. cuius consiliis, ubi certi aliquid ex te cognoverimus, melius poterimus occurrere; te vero, mandatis instructum, in Illyricum remittemus, ut ab utraque parte impetu in hostem facto, victoria, deo iuvante, potiamur." haec ad Iohannem perscripta erant; alterius epistolae, ad nobiliores Dyrrhachii cives datae, argumentum hoc erat. "de Bolcano bellum in nos rursus parante certiores facti, Byzantio egressi sumus, ut montium angustias, quae nostros Dalmaticosque interiacent fines, praesidiis firmemus, simul etiam probe cognoscamus, quid ille et Dalmatae agant; cumque eam ob causam opus esse duxerimus, ducem vestrum, carissimum nostrae maiestatis nepotem, isthinc ad nos evocare: hunc, qui nostram vobis epistolam reddet, ad vos misimus ducemque creavimus. itaque accipite eum et ipsi, atque in omnibus, quae praescripserit, obsequium ei praestate." has epistolas cum Caratzae tradidisset, mandavit, ut, eo advectus, prius Iohanni epistolam redderet; quem, si sua sponte obtemperaret, cum

σθαι, μέχρις ἂν ἐκεῖνος αὖθις ἐπανέλθοι· εἰ δὲ ἀντιτείνει καὶ μὴ πείθεται, μεταπέμψασθαι τοὺς ὑπερέχοντας τῶν Δυρραχιτῶν καὶ τὴν ἑτέραν ὑπαναγνῶναι γραφήν, ἐφ' ᾧ συναίρεσθαι αὐτῷ ἐπὶ τῷ τὸν Ἰωάννην κατασχεῖν.

8. Ταῦτα ἐνωτισθεὶς ὁ σεβαστοκράτωρ ἐν Κωνσταντινουπόλει διατρίβων, σπουδαίως ἐξῄει καὶ ἐπὶ δυσὶ νυχθημέροις καταλαμβάνει τὴν Φιλιππούπολιν. ὑπνώττοντος δὲ τοῦ
B βασιλέως, εἴσω τῆς βασιλικῆς σκηνῆς ἀψοφητὶ εἰσελθών, εἰς τὴν ἑτέραν κλίνην τοῦ βασιλέως καὶ ἀδελφοῦ κατακλιθεὶς καὶ αὐτὸς ὕπνωττε, τοὺς κατευνάζοντας τὸν αὐτοκράτορα διὰ τῆς χειρὸς ἡσυχάζειν ἐπιτάξας. ὡς γοῦν ὁ βασιλεὺς τοῦ ὕπνου ἀνέθορε καὶ τὸν ἀδελφὸν παρ' ἐλπίδας ἐθεάσατο, ἡσυχάζων τέως ἦν καὶ τοὺς παρατυχόντας αὐτὸ τοῦτο ποιεῖν καὶ αὐτὸς ἐκέλευεν. ἐπεὶ δὲ καὶ ὁ σεβαστοκράτωρ ἔξυπνος γενόμενος τὸν ἀδελφὸν καὶ βασιλέα γρηγοροῦντα ἐθεάσατο, κἀκεῖνος ἐνιδὼν αὐτόν, προσελθόντες ἀμφότεροι ἀλλήλους κατησπάζοντο. εἶτα ὁ μὲν βασιλεὺς ἐπυνθάνετο, τί ἄρα καὶ βούλοιτο καὶ τίς
C ἡ αἰτία τῆς αὐτοῦ ἐλεύσεως. ἐκεῖνος δὲ "σοῦ ἕνεκα" ἔφη. καὶ ὃς "μάτην σεαυτὸν συντείνας τοσοῦτον κεκοπίακας." ὁ δὲ σεβαστοκράτωρ τέως οὐκ ἀντεφθέγξατο, ἀλλ' ὀνειρώττων ἦν τὰ ἀπὸ τοῦ Δυρραχίου μετὰ τοῦ προπεμφθέντος παρ' αὐτοῦ κομισθησόμενα μηνύματα. καὶ γὰρ ἅμα τῷ ἐνωτισθῆναι τὰ θρυλλούμενα περὶ τοῦ υἱοῦ αὐτοῦ, δισύλλαβον ἐγχαράξας

1. αὖθις om. G. ἀντιτείνῃ et πείθηται PG, alterum C. 11. ἐπιτάξας ἡσυχάζειν G. 17. μὲν ὁ G.

pace dimitteret; ipse curam provinciae susciperet usque ad reditum illius. sin recusaret et parere nollet, primoribus Dyrrhachiensium ad se vocatis alteram epistolam ostenderet, ipsorumque auxilium exposceret ad Iohannem comprehendendum.

8. His cognitis sebastocrator, qui Cpoli degebat, sine mora urbe profectus, duorum dierum totidemque noctium itinere Philippopolin pervenit. dormiente imperatore, in tabernaculum regium sine strepitu ingressus, in altero lecto somno se dedit, postquam manus signo imperatoris cubicularios, ut quiescerent, monuit. experrectus imperator, ubi fratrem praeter opinionem vidit, quietus tum quidem mansit, quique aderant, vetuit et ipse strepere. tandem cum sebastocrator, somno itidem solutus, imperatorem fratrem exsomnem cerneret, atque hic vicissim alterum, ambo se invicem amplexi et osculati sunt. dein rogante imperatore, quae causa eius adventus esset, Isaacius "tua, inquit, causa veni." tum ille: "frustra tantum itineris laborem suscepisti." ad haec sebastocrator tum quidem nihil respondit; sed exspectavit, quid nuntius, quem Dyrrhachium miserat, refer-

πρὸς αὐτὸν γράμμα, παρεκελεύσατο θᾶττον πρὸς τὸν αὐτοκράτορα φοιτῆσαι. ὡς καὶ αὐτὸν ἐπ' αὐτῷ τούτῳ τοῦ Βυζαντίου ἐξεληλυθότα πρὸς Φιλιππούπολιν ἐπείγεσθαι, ἐφ' ᾧ τὰ κατ' αὐτοῦ πρὸς τὸν αὐτοκράτορα εἰσηγηθέντα κατασεῖσαι, τὰ εἰκότα πρὸς τὸν ἀδελφὸν καὶ βασιλέα ὁμιλήσαντα· ἅμα D δὲ καὶ τὴν αὐτοῦ πρὸς αὐτὸν ἐγκαρτερῆσαι ἄφιξιν. ὑποχωρήσας δὲ ἀπὸ τοῦ βασιλέως, εἰς τὴν ἀποτεταγμένην αὐτῷ σκηνὴν ἄπεισιν. παραχρῆμα δὲ καὶ ὁ πρὸς τὸν Ἰωάννην ἀποσταλεὶς γραμματοκομιστὴς δρομαῖος εἴσεισιν ἐκεῖθεν ἐπανελθών, τὴν τοῦ Ἰωάννου ἀπαγγέλλων ἔλευσιν. τῆς ὑποψίας οὖν τηνικαῦτα ὁ σεβαστοκράτωρ ἀπαλλαγεὶς καὶ κρείττοσιν ἀναρρώσας ἑαυτὸν λογισμοῖς, θυμοῦ πλησθεὶς κατὰ τῶν πρώτως P. 239 εἰσηγησαμένων τὰ κατὰ τοῦ υἱοῦ αὐτοῦ, τεταραγμένος πρὸς τὸν βασιλέα εἴσῄει. ὁ δὲ βασιλεὺς τοῦτον θεασάμενος, ἐγνώκει μὲν παρευθὺ τὴν αἰτίαν, ἠρώτα δ' ὅμως, ὅπως ἔχοι. ὁ δὲ "κακῶς" ἔφη "ἐξ αἰτίας σῆς." οὐδὲ γὰρ ὅλως τὸν θυμὸν περιυλακτοῦντα χαλιναγωγεῖν ἠπίστατο, παρεφέρετο δὲ καὶ ὑπὸ ψιλοῦ, εἰ ἔτυχε, ῥήματος. ἐπὶ τούτοις δὲ καὶ ἄλλο τι προσέθετο λέγων, "οὐ τοσοῦτον κατὰ τῆς σῆς λελύπημαι βασιλείας, ὅσον κατὰ τουτουὶ" (τὸν Ἀδριανὸν τῷ δακτύλῳ ὑποδείξας) "καταψευδομένου." πρὸς ταῦτα δὲ ὁ πρᾳῢς ἐκεῖνος καὶ ἡδὺς βασιλεὺς οὐδ' ὁτιοῦν ἐφθέγξατο. ἐγίνωσκε γάρ, ὅπως ζέοντα τὸν θυμὸν τἀδελφοῦ καταπαύσει. συγκαθεσθέντες οὖν B

8. σκηνὴν G, σκηνῇ P. 15. ἔχῃ G. 20. Ἀνδριανὸν G hic et infra. 21. δὲ om. C.

ret. nam sparsos de filio rumores ut audiit, brevi exarata epistola eum illico ad imperatorem tendere iusserat; se quoque Byzantio festinare Philippopolin, ut, quae res postularet, imperatorem fratrem doceret crimenque dilueret. ibidem eius se adventum praestolaturum. itaque digressus ab imperatore, iu assignatum ipsi tabernaculum se contulit. brevi post missus ad Iohannem tabellarius accurrit, Iohannis adventum nuntians. tum vero Isaacius, e suspicionis sollicitudine ad maiorem erectus fiduciam, iraque incensus in eos, qui primi nomen filii detulerant, magno animi motu imperatorem adiit. is conspicatus fratrem, quanquam causam statim intellexit, tamen quomodo haberet, percontatus est. "male, respondit ille, idque propter te." nempe cohibere iracundiam prorsus non didicerat; immo efferebatur vel simplici, si forte, verbo. praeterea addit: "neque tamen tuae maiestati tantum succenseo, quantum huic (Adrianum digito monstrabat) calumnianti." ad haec mitis ille ac suavis imperator nihil omnino reposuit; norat enim, quo modo exardescentem fratris iracun-

ἄμφω, μετὰ τοῦ Μελισσηνοῦ Νικηφόρου τοῦ καίσαρος καί
τινων τῶν ἐξ αἵματος καὶ ἀγχιστείας προσηκόντων αὐτοῖς
μόνοι πρὸς ἀλλήλους ὡμίλουν περὶ τῶν κατὰ τοῦ Ἰωάννου
ῥηθέντων. ὡς δὲ τὸν Μελισσηνὸν καὶ τὸν ἴδιον ἀδελφὸν
Ἀδριανὸν κατατρέχοντας ἐσχηματισμένως τοῦ ἰδίου υἱοῦ ἑώρα,
V. 189 αὖθις τὸν θυμὸν παφλάζοντα μὴ δυνηθεὶς κατασχεῖν, δριμὺ
πρὸς τὸν Ἀδριανὸν ἀτενίσας, ψιλῶσαι τὸν αὐτοῦ πώγωνα
ἠπειλήσατο καὶ διδάξαι, μὴ προφανῶς ψευδόμενον τοιούτων
συγγενῶν ἀποστερῆσαι τὸν βασιλέα ἐπιχειρεῖν. ἐν τούτοις ὁ
C Ἰωάννης κατέλαβε, καὶ παραχρῆμα εἴσω τῆς βασιλικῆς σκηνῆς
εἰσάγεται, καὶ πάντων τῶν κατ' αὐτοῦ λαληθέντων ἀκούει. οὐ
μέντοι γε εἰς ἐξέτασιν ὅλως ἄγεται, ἀλλ' ὁ κατάκριτος ἐλεύ-
θερος ἵσταται, τοῦ βασιλέως πρὸς αὐτὸν εἰπόντος· "πρὸς
τὸν σὸν πατέρα καὶ ἀδελφὸν ἐμὸν ἀφορῶν, οὐδ' ἀκοῦσαι τῶν
κατὰ σοῦ λαληθέντων ἀνέχομαι. ἔσο τοίνυν ἀμερίμνως διά-
γων, ὡς τὸ πρότερον." ταῦτα μὲν οὖν ἅπαντα ἐντὸς τῆς βα-
σιλικῆς ἐρρήθη σκηνῆς, μόνων τῶν συγγενῶν, ὀθνείου δὲ οὐ-
δενὸς παρόντος. οὕτω γοῦν τῶν λαληθέντων ἢ μελετηθέντων
ἴσως κατευνασθέντων, τὸν ἴδιον ἀδελφόν, τὸν σεβαστοκράτο-
D ρά φημι Ἰσαάκιον, μετακαλεσάμενος σὺν αὐτῷ τῷ Ἰωάννῃ
τῷ υἱῷ αὐτοῦ, πολλὰ ὁμιλήσας πρότερον, ἔφη πρὸς τὸν σε-
βαστοκράτορα "σὺ μὲν χαίρων ἄπιθι πρὸς τὴν βασιλεύουσαν,

1. κατὰ CG. 2. αὐτοῖς C, αὐτοὺς P, αὐτοὺς προσηκόντων G. 9. ὁ om. G. 12. ἐλεύθερον G. 14. ἐμὸν ἀδελφὸν G. 17. ἐρρέθη C, εἰρήθη G. 19. ἴσον CG. κατευνασθέντα G. 21. τῷ G, καὶ P. πρότερον ὁμιλήσας πολλὰ G.

diam sedaret. considentes igitur ambo, una cum Melisseno Nicephoro caesare nonnullisque aliis, sanguine et affinitate iunctis, soli de crimine Iohannis colloquebantur. ubi autem Melissenum fratremque suum Adrianum oblique in filium invehi sensit, effervescenti iterum impar comprimendae irae, Adriano truci vultu comminatur, vulsurum se ipsi barbam atque ita tractaturum, ut in posterum non conaretur propalam mentiendo talibus imperatorem propinquis orbare. interea Iohannes advenit, et statim in regium tabernaculum admissus, quae in eum dicta erant omnia, audiit. neque tamen in quaestionem adducitur; sed reus adstat liber, imperatore haec ad eum verba faciente: "patrem tuum, meum fratrem, respiciens, ne audire quidem sustineo, quae in te coniecta crimina sunt. esto igitur animo securo, ut antea." haec omnia intra regium tabernaculum acta sunt, solis propinquis praesentibus, extraneo nemine. tali modo sopitis, quae vel falso insimulata vel meditata etiam fuerant, Isaacium fratrem sebastocratorem una cum Iohanne filio arcessivit, multaque cum utroque

τὰ καθ' ἡμᾶς τῇ μητρὶ ἀνακοινωσόμενος. ἐγὼ δὲ τουτονὶ" (τὸν Ἰωάννην φησὶν ὑποδείξας) "αὖθις, ὡς ὁρᾷς, ἐκπέμπω πρὸς τὸ Δυρράχιον, ἐφ' ᾧ τὰ τῆς ἰδίας ἀρχῆς ἐπιμελῶς ἐνεργεῖν." οὕτως οὖν ἀπ' ἀλλήλων διακριθέντες, ὁ μὲν τῆς πρὸς τὸ Βυζάντιον τῇ μετ' αὐτὴν εἴχετο, ὁ δὲ πρὸς τὸ Δυρράχιον στέλλεται.

9. Οὐ μέχρι δὲ τούτου τὰ κατὰ τὸν αὐτοκράτορα ἔστη. ἀλλ' ἐπεὶ Θεόδωρος ὁ Γαβρᾶς ἐνδημήσας ἦν ἐν τῇ βασιλευούσῃ, γινώσκων τὸ τούτου ὀβριμοεργὸν καὶ περὶ τὰς πράξεις P. 240 ὀξύ, βουλόμενος τοῦτον ἀπελάσαι τῆς πόλεως, δοῦκα Τραπεζοῦντος προὐβάλλετο, πάλαι ταύτην ἀπὸ τῶν Τούρκων ἀφελόμενον. ὥρμητο μὲν γὰρ οὗτος ἐκ Χαλδαίας καὶ τῶν ἀνωτέρω μερῶν, στρατιώτης δὲ περιφανὴς γενόμενος, ἐπί τε φρονήσει καὶ ἀνδρείᾳ ὑπερέχων ἁπάντων, μικροῦ καὶ μηδέποτε ἔργου ἁψάμενος καὶ ἀτυχήσας, ἀλλὰ πάντων ἀεὶ τῶν πολεμίων κρατῶν, καὶ αὐτὴν δὴ τὴν Τραπεζοῦντα ἑλὼν καὶ ὡς ἴδιον λάχος ἑαυτῷ ἀποκληρωσάμενος, ἄμαχος ἦν. τούτου τὸν υἱὸν Γρηγόριον ὁ σεβαστοκράτωρ Ἰσαάκιος ὁ Κομνηνὸς εἰς μίαν τῶν θυγατέρων αὐτοῦ εἰσῳκίσατο. ἀνήβων δὲ ἄμφω τῶν B παίδων ὄντων, γαμήλια μόνα σύμφωνα ἀναμεταξὺ προέβησαν. εἶτα τὸν υἱὸν αὐτοῦ Γρηγόριον εἰς χεῖρας τοῦ σεβαστοκράτορος παραθέμενος, ἵν' ὁπηνίκα νομίμου ἅψωνται οἱ παῖδες

1. ἀνακοινωσάμενος G. 2. φησὶν om. G. 5. τὸ prius om. G. τῇ om. G. 9. ὀμβριμοεργὸν P, ὀβριμοεργὸν CG. 17. ἑαυτοῦ G.

locutus, sebastocratori "tu quidem, ait, salvus in urbem revertere, et quo loco res nostrae sint, matri renuntia. hunc vero (Iohannem digito monstrabat) rursus, ut vides, Dyrrhachium dimitto, ut provinciae suae curam gerat." ita discedentes, alter Byzantium postridie iter iniit, alter Dyrrhachium missus est.

9. Extitit etiam alia tunc in imperatorem conspiratio. etenim Theodorum Gauram, Cpoli commorantem, cuius imperator animum audacem et promptum norat, ut urbe exterminaret, ducem Trapezuntis creaverat, quam is dudum Turcis eripuerat. oriundus hic e Chaldaea superiori, eximiam in militia laudem tulerat, quod et consilio et virtute omnes superabat, neque unquam vel minimam rem susceptam non feliciter perfecerat; cumque omnes semper hostes devicisset, atque adeo ipsam Trapezuntem expugnatam tanquam propriam sibi vindicasset, invictus plane habebatur. huius filio Gregorio Isaacius Comnenus sebastocrator filiarum unam collocaverat; sed cum ambo impuberes essent, non ultra pacta nuptialia res processerat. tum tradito Gauras Gregorio filio sebastocratori, ut cum legitimam

ἡλικίας, καὶ ἡ μνηστεία τελεσθῇ, αὐτὸς συνταξάμενος τῷ βασιλεῖ εἰς τὴν ἰδίαν ἐπανῄει χώραν. τῆς δὲ ὁμευνέτιδος αὐτοῦ μετ' οὐ πολὺ τὸ κοινὸν ἀποδεδωκυίας χρέος, ἄλλην αὖθις ἐξ Ἀλανῶν ἠγάγετο εὐγενεστάτην. ἔτυχε δὲ τήν τε τοῦ σεβαστοκράτορος ὁμευνέτιν καὶ ἣν ὁ Γαβρᾶς ἔλαβε, δυοῖν ἀδελφοῖν θυγατέρας εἶναι. τούτου δήλου γεγονότος, ἐπεὶ ἀπό τε C τῶν νόμων ἀπό τε τῶν κανόνων ἡ τῶν παίδων ἐκωλύετο συνάφεια, διεσπάσθη τὸ τοιοῦτον συνάλλαγμα. γινώσκων δὲ ὁ βασιλεύς, ὁποῖος ὁ Γαβρᾶς στρατιώτης ἐστὶ καὶ ὁπόσα πράγματα συνταράττειν δύναται, οὐκ ἤθελε τὸν υἱὸν αὐτοῦ Γρηγόριον, διασπασθέντος τοῦ τοιούτου συναλλάγματος, παλινδρομῆσαι πρὸς αὐτόν, ἀλλὰ κατέχειν τοῦτον εἰς τὴν βασιλεύουσαν δυεῖν ἕνεκα, ἵν' ἅμα μὲν ὡς ὅμηρον αὐτὸν παρακατέχοι, ἅμα δὲ καὶ τὴν τοῦ Γαβρᾶ εὔνοιαν ἐπισπάσαιτο· κἀν- V. 190 τεῦθεν, ἐὰν πονηρόν τι βούληται, ἀπόσχηται τοῦ τοιούτου. D μιᾷ γοῦν τῶν ἐμῶν ἀδελφῶν Γρηγόριον συνάψαι ἐβούλετο. διά τοι ταῦτα ὑπερετίθετο τὴν τοῦ παιδὸς ἀποστολήν. καταλαβὼν δὲ αὖθις ὁ Γαβρᾶς τὴν βασιλίδα τῶν πόλεων καὶ μηδὲν τῶν παρὰ τοῦ αὐτοκράτορος μελετωμένων συνείς, ἐσκόπει τὸν ἴδιον υἱὸν λεληθότως ἀναλαβέσθαι. εἶχε δὲ τέως τὸ βεβουλευμένον ἀνέκφορον, κἂν ὁ αὐτοκράτωρ παρῃνίσσετό τι καὶ παρεγέφαινε αὐτῷ περὶ τοῦ σκοπουμένου. ὁ δὲ εἴτε μὴ γνούς, εἴτε καὶ ἀκηδιάσας διὰ τὴν πρὸ μικροῦ γεγονυῖαν τοῦ

13. δυεῖν C, δυοῖν PG. 14. Γαυρᾶ G. 15. an βουλεύηται? 17. τοι om. G. 20. δὲ om. G. 21. κἂν — σκοπουμένου om. CG.

aetatem illi attigissent, nuptiae perficerentur, imperatorem salutavit domumque reversus est. ibi defuncta haud multo post eius uxore, cum alteram ex Alanis nobilissimam duxisset, contigit, ut sebastocratoris coniux et quam Gauras sibi adiunxerat, fratrum duorum filiae essent. quo patefacto, quoniam et civilibus et ecclesiasticis legibus filiorum nuptiae prohiberentur, diremta illa sponsalia sunt. verum imperator reputans, quam esset Gauras bello egregius quamque efficax turbandis rebus, sponsalibus solutis, reverti ad patrem Gregorium noluit, sed detinere ipsum Cpoli duabus de causis decrevit, primum ut fidei Gaurae obsidem haberet, dein ut benevolentiam eius sibi conciliaret; propter quae ille, si quid machinaretur, coeptis absisteret. itaque sororum mearum unam connubio ipsi iungere voluit. eam ob causam pueri reditum distulit. at Gauras Byzantium reversus, cum nihil eorum, quae imperator meditabatur, intelligeret, filium clam abducere in animo habuit. sed celavit tum consilium, licet imperator obscuris verbis ei significaret, quid in animum induxisset. quae

τοιούτου κήδους διάζευξιν, οὐκ οἶδ' ὅπως, ᾐτεῖτο τὸν υἱὸν δοθῆναί οἱ ἐπαναστρέφοντι. ὁ δὲ αὐτοκράτωρ ἀνένευε πρὸς τοῦτο. σχηματιζόμενος δὲ ὁ Γαβρᾶς ἑκοντὶ τοῦτον καταλιμ- P. 241 πάνειν καὶ τῇ τοῦ αὐτοκράτορος τὰ κατὰ τὸ παιδίον ἀναθέσθαι γνώμῃ, ἐπεὶ συνταξάμενος αὐτῷ ἀπάρτι τοῦ Βυζαντίου ἐξιέναι ἔμελλεν, ὑπεδέχθη παρὰ τοῦ σεβαστοκράτορος διὰ τὸ παρακολουθῆσαν κῆδος καὶ ἣν πρὸς αὐτὸν ἐκ ταυτησὶ τῆς αἰτίας ἔσχε συνήθειαν, ἔνθα τὸ τοῦ μεγαλομάρτυρος Φωκᾶ τέμενος ἵδρυται· προάστειόν τι τοῦτο περὶ τὴν Προποντίδα διακείμενον περικαλλές. δαψιλῶς οὖν αὐτοῦ που εὐωχηθέντες, ὁ μὲν σεβαστοκράτωρ πρὸς τὸ Βυζάντιον ἐπανῄει, ὁ δὲ τὸν υἱὸν αὐτοῦ ᾐτεῖτο παραχωρηθῆναί οἱ καὶ τῇ μετ' αὐτὴν συνεῖναι αὐτῷ. ὁ δ' εὐθὺς κατένευεν. ὁ δὲ πολλάκις ῥηθεὶς B Γαβρᾶς, ἐπεὶ τῇ μετ' αὐτὴν χωρίζεσθαι ἤδη τοῦ παιδὸς ἔμελλε, τοὺς παιδαγωγοὺς ἠξίου συνέψεσθαί οἱ μέχρι τοῦ Σωσθενίου· κεῖθι γὰρ ἔμελλε κατασκηνοῦν. οἱ δὲ κατανεύσαντες συναπῄεσαν μετ' αὐτοῦ, καθ' οὕτως καὶ ἐν τῷ μέλλειν αὖθις ἐκεῖθεν ἀπαίρειν τὸ αὐτὸ τοὺς παιδαγωγοὺς ᾐτεῖτο, συνέψεσθαι τούτῳ τὸν υἱὸν καὶ μέχρι τοῦ Φάρου. οἱ δὲ ἀνένευον. ὁ δὲ σπλάγχνα τε πατρικὰ προεβάλλετο καὶ ἀποδημίαν μακρὰν καὶ ἄλλαττα συνείρων τούτοις, κατέκλασε τὰς τῶν παιδαγωγῶν καρδίας, καὶ πεισθέντες τοῖς αὐτοῦ λόγοις

5. αὐτῷ τοῦ ἀπάρτι Βυζαντίου P, αὐτῷ τοῦ om. C, ἀπάρτι τοῦ Βυζαντίου G, omissis itidem αὐτῷ τοῦ. 13. συνιέναι CG. 15. τοῦ add. G. 19. καὶ om. G.

ille sive non intelligens, sive ob dirempta nuper sponsalia parum curans, filius ut secum domum rediret, postulavit. id imperatore recusante, Gauras non invitum se facere simulans, ut filium relinqueret et imperatoris tutelae committeret, cum valere hunc iussisset iamque Byzantio discessurus esset, a sebastocratore propter affinitatis coniunctionem et natam inde familiaritatem hospitio acceptus est ad magni martyris Phocae, in suburbano pulcherrimo ad Propontidem sito. ubi cum opipare essent epulati, sebastocrator Byzantium revertitur; alter dari id sibi petiit, ut filius postero quoque die secum una esset. statim annuit sebastocrator. at Gauras, quem saepe diximus, cum postridie iam discessurus a filio esset, paedagogos pueri rogavit, ut comitarentur se usque ad Sosthenium; ibi enim diversurus erat. annuentes illi una ibant. cum et hinc discedendum fuit, idem paedagogos rogavit, ut filium ad Pharum usque se sequi paterentur. id illi recusare. verum alter amorem paternum obtendere et itineris longinquitatem et eiusmodi alia addere. ita fregit paedagogo-

C συνείποντο αὐτῷ. τὸν Φάρον τοίνυν καταλαβών, εἰς φῶς τὴν σκῆψιν προήγαγε. καὶ ἀναλαβόμενος τὸ παιδίον καὶ ἐμβαλὼν εἰς ὁλκάδα, τῷ τοῦ Πόντου ῥοθίῳ ἑαυτόν τε καὶ τὸν υἱὸν ἐπαφῆκε. μεμαθηκὼς δὲ τοῦτο ὁ αὐτοκράτωρ, θᾶττον ἢ λόγος δρομάδας νῆας κατ' αὐτοῦ ἐξέπεμψεν, ἐντειλάμενος τοῖς ἀπερχομένοις τῷ μὲν Γαβρᾷ τὰς πρὸς αὐτὸν ἐγχειρίσαι γραφάς, τὸ δὲ παιδίον σπεῦσαι μετὰ τῆς ἐκείνου γνώμης ἀναλαβέσθαι, εἰ μὴ ἄρα ἐχθρὸν τὸν αὐτοκράτορα βούλοιτο ἐσχηκέναι. καταλαμβάνουσι τοίνυν αὐτοὺς οἱ ἀπελθόντες ἔν-
D θεν τῆς Αἰγίνου πόλεως κατὰ τὴν πόλιν τὴν οὑτωσὶ ἐγχωρίως Κάραμβιν καλουμένην. καὶ δὴ τὰς βασιλικὰς ἐγχειρίσαντες γραφάς, δι' ὧν ὁ αὐτοκράτωρ ἐνέφαινε, μιᾷ τῶν ἐμῶν ἀδελφῶν τὸ παιδίον βούλεσθαι συναρμόσαι, καὶ πολλὰ ἄττα πρὸς αὐτὸν ὡμιληκότες πείθουσιν ἐκπέμψαι τὸν υἱόν. ὅνπερ θεασάμενος ὁ αὐτοκράτωρ καὶ διὰ τῶν συνήθων ἐγγράφων μόνων τάχα τὸ συνάλλαγμα ἐμπεδώσας, παιδαγωγῷ παραδέδωκεν ἑνὶ τῶν τῆς βασιλίδος θεραπόντων, Μιχαὴλ τῷ ἐκτομίᾳ, κἀθ' οὕτω περὶ τὰ ἀνάκτορα ἐνδιατρίβοντα πολλῆς ἐπιμε-
V. 191 λείας ἠξίου, τά τε ἤθη διορθούμενος καὶ πᾶσαν παιδείαν στρατιωτικὴν ἐκδιδάσκων. ὁποῖα δὲ τὰ τῶν νέων, μὴ βουλόμε-
P. 242 νος ὅλως ὑποτάσσεσθαί τινι, ἠνιᾶτο, ὡς μὴ προσηκούσης δῆ-

5. ἐξέπεμψεν CG, ἐξέπεμπεν P. 6. ἐπαρχομένοις P, ἐπερχομένοις G, recte C. Γαυρᾷ G hic et infra. 9. αὐτοὶ C. 11. Κάραβιν CG. 17. τῶν add. C. 19. ἤθη CG, ἤδη P. 21. δῆθεν add. C.

rum animos, seque ut comitarentur, evicit. Pharum sic provectus, quid vellet, patefecit. nam arrepto puero et in onerariam navem coniecto, maris fluctibus se filiumque commisit. quod simulatque imperator cognovit, dicto citius celoces misit, vectoribus mandans, ut Gaurae litteras ad eum datas redderent, puerumque sine mora ab eo repeterent; sin negaret, utique minarentur hostem ipsi imperatorem fore. assequuntur Gauram citra Aeginum urbem, ad oppidum ab indigenis Carambim appellatum. statim reddunt imperatoris litteras, quibus se sororum mearum unam puero in matrimonium daturum significabat, et multis ad eum verbis factis, tandem persuadent, ut filium remitteret. quem ut imperator vidit et legitimis solum pactionibus continuo nuptias firmavit, paedagogo puerum tradidit, famulorum imperatricis uni, Michaeli eunucho. ac multa dehinc eum in palatio commorantem cura complexus, et mores adolescentis ad humanitatem informavit, et universae rei militaris scientia eundem imbuit. verum ut sunt puerorum ingenia, cum parere prorsus nollet, indignabatur, quod iusti scilicet sibi honores non haberentur. huc

θεν ἀξιούμενος τιμῆς. δυσαρεστῶν δὲ ἅμα καὶ πρὸς τὸν παιδαγωγόν, ἐσκέπτετο πρὸς τὸν ἴδιον φοιτῆσαι πατέρα, δέον μᾶλλον εὐχαριστεῖν ἐπιμελείας τοσαύτης ἀξιούμενον. οὐ μέχρι δὲ τούτου περιΐστατο τούτῳ τὸ βούλευμα, ἀλλὰ καὶ ἔργου ἥπτετο. προσελθὼν οὖν ἀνακοινοῦταί τισι τὸ ἀπόρρητον. ἦσαν δὲ ὅ τε Γεώργιος τοῦ Δεκανοῦ, Εὐστάθιος ὁ Καμύτζης καὶ Μιχαὴλ ὁ οἰνοχόος, ὃν καὶ πιγκέρνην συνήθως οἱ τῆς βασιλικῆς αὐλῆς ὀνομάζουσιν. ἄνδρες δὲ οὗτοι μαχιμώτατοί τε καὶ τῶν λίαν προσῳκειωμένων τῷ βασιλεῖ. τούτων ὁ Μιχαὴλ προσελθὼν ἀπαγγέλλει πάντα πρὸς τὸν αὐτοκράτορα. ὁ B δὲ οὐ πάνυ πιστεύειν ἔχων, ἀνένευε πρὸς τὰ ῥήματα. ἐπικειμένου δὲ τοῦ Γαβρᾶ καὶ τὸν δρασμὸν ἐπείγοντος, οἱ εὐνούστερον πρὸς τὸν αὐτοκράτορα διακείμενοι ἔφασαν, "εἰ μὴ δι' ὅρκου ἡμῖν τὸ βεβουλευμένον πιστώσειας, οὐ συνεψόμεθά σοι." τοῦ δὲ κατανεύσαντος, τὸν ἅγιον ἧλον, δι' οὗ τὴν τοῦ ἐμοῦ σωτῆρος πλευρὰν οἱ ἄνομοι ἔνυξαν, ὑπεδείκνυον οὗ ἔκειτο, βουλευσάμενοι ἀναλαβέσθαι καὶ ἐξαγαγεῖν, ὥστε εἰς τὸν δι' αὐτοῦ τρωθέντα ἐπομόσασθαι. πείθεται τούτοις ὁ Γαβρᾶς, καὶ εἰσελθὼν ἀναλαμβάνεται λαθραίως τὸν ἅγιον ἧλον. εἷς δέ τις τῶν προκαταγγειλάντων τῷ αὐτοκράτορι τὴν C βουλὴν δρομαῖος εἰσελθὼν ἔφη, ὡς "ἴδε καὶ ὁ Γαβρᾶς, καὶ ὁ ἧλος ἐγκόλπιος αὐτῷ." καὶ παραχρῆμα, ἐπισκήψαντος τοῦ αὐτοκράτορος, καὶ ὁ Γαβρᾶς εἰσήγετο, καὶ ὁ ἧλος τοῦ κόλπου

4. περιΐσταται G. 6. an Καμίτζη? 11. πιστεύων PG, recte C. 16. ὑπεδείκνυτο CG. 19. ἀναλαμβάνει CG. 22. αὐτοῦ G.

accedebat, ut offenso in paedagogum animo esset. itaque fugam ad patrem meditabatur, cum tam diligentis institutionis gratiam potius referri oporteret. neque in meditando constitit; immo rem aggressus est etiam. communicavit igitur consilium cum Georgio Decani, et Eustathio Camytza et Michaele a poculis, quem pincernam vulgo aulici vocant, fortissimis viris iisdemque imperatori familiarissimis. ex quibus Michael totius rei indicium ad imperatorem detulit. is nullam omnino fidem dictis habuit. acrius autem Gaura ad fugam urgente, qui animo erga imperatorem fideli erant, "nisi iure iurando, inquiunt, consilio tuo fidem addideris, non sequemur te." quod cum ille non recusasset, locum ipsi ostendunt, ubi sacra lancea, qua salvatoris mei latus impii pupugerunt, recondita erat. hanc inde auferret, suadent, ut per eum, cuius latus illa percussum esset, iuraret. paruit adolescens, sacrariumque ingressus, lanceam surripuit. tum vero eorum unus, qui rem imperatori prodiderant, accurrens, "ecce, inquit, Gauras, sacram lanceam in sinu gestans." statim imperatoris

εὐθὺς ἐξήγετο. ἐρωτηθεὶς δὲ, ἀπήγγειλε πάντα ἐκ ψιλῆς ἐπερωτήσεως, τούς τε συνίστορας ὁμολογήσας καὶ τὰ βεβουλευμένα ἅπαντα. αὐτοῦ μὲν οὖν καταψηφισάμενος, παραδίδωσι πρὸς τὸν δοῦκα Φιλιππουπόλεως Γεώργιον τὸν Μεσοποταμίτην, ὥστε ἔμφρουρον τοῦτον τηρεῖν δεσμώτην ἐν τῇ ἀκροπόλει. Γεώργιον δὲ τὸν τοῦ Δεκανοῦ μετὰ γραμμάτων D πρὸς Λέοντα τὸν Νικερίτην δοῦκα τῷ τότε τοῦ περὶ Δουνάβου τυγχάνοντα πέπομφεν, ὡς δῆθεν καὶ αὐτὸν σὺν ἐκείνῳ τὰ περὶ τὸν Δάνουβιν φυλάττειν· τὸ δὲ πᾶν, ἵνα μᾶλλον ἐκεῖνος παρὰ τοῦ Νικερίτου ἐπιτηροῖτο. ἐμφρούρους δὲ καὶ αὐτὸν Εὐστάθιον τὸν τοῦ Καμύτζη καὶ τοὺς λοιποὺς περιορίσας εἶχεν.

1. πάντα : ταῦτα CG. 6. τοῦ om. G. 7. τὸν add. CG. τῷ om. CG. τοῦ om. G. lege τῶν. παρὰ G. Δαννούβου C, Δανούβου G, Δανουβίου Ducangius, Δάνουβιν ego, ex consuetudine scribentis. 9. Δάννουβιν PG, recte C.

iussu Gauras inducitur, et lancea sinu educitur. atque cuncta ad simplicem interrogationem confessus est, et consciis editis et consiliis omnibus. damnatum Philippopolis duci Georgio Mesopotamitae tradidit in arce custodiendum; Georgius Decani cum litteris ad Leonem Niceritam, qui tunc regionum Danubio adiacentium dux erat, missus est, tanquam cum illo scilicet custodiam horum finium acturus, revera ut ipse potius a Nicerita custodiretur; Eustathium denique Camytzae reliquosque, ex urbe itidem expulsos, carcere inclusos habuit.

ΑΛΕΞΙΑΣ Θ.

ALEXIADIS LIBER IX.

ARGUMENTUM.

Imperio a Dalmatarum incursionibus munito, Alexius Iohannem Ducam in Tzacham mittit: Mitylene, Samus aliaeque insulae receptae (1). *Carycae et Rhapsomatis defectio* (2). *Tzacham rursus bellum parantem sultanus Clitziasthlan, quem imperator in auxilium vocaverat, inter epulas confodit* (3). *Dalmatarum princeps, Bolcanus, Romanam ditionem depopulatur, pulso Iohanne Comneno duce* (4). *contra quem dum Alexius ipse movet, patefacta est coniuratio Nicephori Diogenis* (5). *eiusdem ortus, consilia, virtutes* (6). *ad confessionem sceleris frustra admonitus* (7), *per tormenta conscios edere cogitur* (8). *a militibus, in concionem convocatis, Nicephorus et Cecaumenus Catacalo excaecantur, incertum an Alexio auctore* (9). *Bolcanus pacem impetrat, obsidibus datis. Nicephorum, novis iterum studentem, venia imperator donat* (10).

1. Οὕτως οὖν τὰ κατὰ τὸν Ἰωάννην καὶ Γρηγόριον τὸν P. 245
Γαβρᾶν ὁ αὐτοκράτωρ οἰκονομήσας, ἀπάρας τῆς Φιλιππου- V. 194
πόλεως, τὰ ἀναμεταξὺ Δαλματίας καὶ τῆς ἡμεδαπῆς τέμπη καταλαμβάνει. καὶ τὸν ὅλον αὐχένα διαδραμὼν τοῦ οὑτωσί πως ἐγχωρίως καλουμένου Ζυγοῦ, οὐκ ἐποχούμενος, (οὐ γὰρ

ΑΛΕΞΙΑΔΟΣ Θ G. 1. οὕτως G, οὗτος P. 2. γαυρᾶν G. 5. πως ἐγχωρίως om. CG. Ζυγοῦ scripsi, ζυγοῦ PG. ἐποχούμενος CG, ἐποχούμενον P.

1. His ita de Iohanne et Gregorio Gaura constitutis, imperator Philippopoli profectus, quae Dalmatiam Romanamque ditionem interiacent valles occupavit. cumque totas emensus esset angustias Zygi,

ἐδίδου τοῦτο ἐς ἀεὶ ὁ τόπος ὀχθώδης τε καὶ χαραδρώδης ὢν καὶ συνηρεφὴς καὶ μικροῦ ἄβατος,) ἀλλὰ πεζῇ ἅπαντα διερχόμενος καὶ οἰκείοις περιαρθρῶν ὀφθαλμοῖς, μὴ διαλάθῃ τι ἀφύλακτον, δι' οὗ ῥᾳδία τοῖς πολεμίοις πολλάκις ἡ δίοδος γένηται, καὶ οὗ μὲν διώρυχας ἐπιτρέπων γενέσθαι, οὗ δὲ καὶ B ξυλίνους κατασκευασθῆναι πύργους καὶ πολίχνια, ἔνθα ὁ τόπος παρεῖχε, γενέσθαι διὰ πλίνθων ἢ λίθων ἐπέταττε, τὰ ἀπ' ἀλλήλων διαστήματα καὶ τὰ μεγέθη αὐτὸς διαμετρῶν· ἔστι δ' οὗ καὶ οὐρανομήκη δένδρα ῥιζοτομηθέντα κατατεθῆναι εἰς τὸ ἔδαφος διετάξατο. καὶ οὕτω τὰς τῶν πολεμίων διόδους ἀποταφρεύσας, ἐπάνεισι πρὸς τὴν μεγαλούπολιν. ἀλλ' ὁ μὲν λόγος ῥᾳδίαν ἴσως τὴν τοιαύτην οἰκονομίαν τοῖς ἀκροαταῖς παρίστησιν· ὁπόσον δὲ τὸν ἱδρῶτα ὁ αὐτο- C κράτωρ τῷ τότε ὑπέστη, μαρτυροῦσι πολλοὶ τῶν τότε παρόντων καὶ εἰς ἔτι καὶ νῦν περιόντων. ἀλλ' οὐ πολὺς παρεληλύθει καιρός, καὶ τὰ κατὰ τὸν Τζαχᾶν ἀκριβέστερον αὐτῷ ἐπηγγέλλετο, ὡς οὐδὲν τῶν συμβάντων αὐτῷ κατά τε τὴν θάλατταν καὶ τὴν ἤπειρον τῆς πρότερον γνώμης ἀπέστησαν, ἀλλὰ τοῖς προσήκουσι βασιλεῦσι χρᾶται παρασήμοις, βασιλέα ἑαυτὸν ὀνομάζων, καὶ τὴν Σμύρνην οἰκῶν καθαπερεὶ βασίλειά τινα, στόλον εὐπρεπίζει, ἐφ' ᾧ τάς τε νήσους αὖθις δῃώσασθαι καὶ μέχρι αὐτοῦ φθάσαι Βυζαντίου καὶ εἰς αὐ-

1. τε om. G. 3. περιαρθρεῖν G. lege περιαθρῶν. 9. δὲ G. 10. πολέμων G. 11. lege μεγαλόπολιν. 18. lege ἀπέστησεν. 19. χρῶται G.

quod vulgo vocant, non equo vectus, (nam id per locum praeruptum et salebrosum fruticibusque tectum ac fere invium non ubique licebat,) sed pedibus semper incedens et suis ipse oculis dispiciens omnia, ne quid praesidio destitutum lateret, unde facile irrumpere hostes possent: fossas hic duci iussit, alibi ligneas exstrui turres et, sicubi id locus sivit, oppida e latere aut saxo aedificari, quorum inter se distantiam magnitudinemque ipse dimetiebatur. nonnunquam etiam celsissimas arbores, radicibus excisas, prosterni humi iussit. ita cum hostium aditus interclusisset, Cpolin revertitur. ceterum opera haec ex narratione mea levior fortasse auditoribus videtur; at quanti sudoris imperatori fuerit, multi eius comites hodieque testari possunt. non multo post imperator de Tzacha certior fit, nihil eum de priori spe remittere ob ea, quae illi terra marique accidissent; quin potius insignibus ornatum regiis, regem se ipsum nominare; Smyrna velut regni metropoli facta, classem ibidem parare, qua et insulas rursus vastaret et ad urbem usque progressus, imperio ipso, si posset, potiretur. his quotidie nuntiatis, imperator non socordi, nec demisso ad

τὴν δέ, εἰ δυνατόν, τὴν τῆς βασιλείας ἀνενεχθῆναι περιωπήν. D ταῦτα ὁ αὐτοκράτωρ βεβαιούμενος ὁσημέραι, δεῖν ἔγνω μὴ ἀναπίπτειν, μηδὲ μαλακίζεσθαι πρὸς τὰ θρυλλούμενα, ἀλλὰ παρασκευάζεσθαι διὰ τοῦ ἔτι λείποντος ἐαρινοῦ καιροῦ καὶ τοῦ μετ' αὐτὸν χειμῶνος κατὰ τὸ ἐπιὸν ἔαρ καρτερῶς πρὸς αὐτὸν ἀντικαταστῆναι καὶ σπεῦσαι διὰ πάσης μηχανῆς, P. 246 μὴ μόνον φροῦδα τὰ ἐκείνου ἀναδεῖξαι ἅπαντα, τὰς βουλάς, τὰς ἐλπίδας, τὰς ἐγχειρήσεις, ἀλλὰ καὶ αὐτῆς ἀπελάσαι τῆς Σμύρνης καὶ ὅσα ἄλλα προφθάσας κατέσχε, τῆς ἐκείνου χειρὸς ῥύσασθαι. τοῦ χειμῶνος δὲ ἤδη παρῳχηκότος, ἐπεὶ προσμειδιῶν ἤδη τὸ ἔαρ παρῆν, μεταπεμψάμενος ἀπὸ τῆς Ἐπιδάμνου τὸν γυναικάδελφον αὐτοῦ Ἰωάννην τὸν Δούκαν, μέγαν δοῦκα τοῦ στόλου προεχειρίσατο. καὶ ἠπειρώτας δὲ στρατὸν ἐπίλεκτον ἐπιδούς, παρεκελεύσατο αὐτὸν μὲν διὰ τῆς ἠπείρου τὴν πρὸς τὸν Τζαχᾶν πορείαν ποιεῖσθαι, τῷ δέ γε Κωνσταντίνῳ τῷ Δαλασσηνῷ τὴν τοῦ στόλου ἡγεμονίαν ἐγχειρίσαι, ἐντειλάμενον οὕτω τὴν ἠϊόνα παραθέειν, ἵν' ἅμα τὴν Μιτυ- B λήνην καταλαβόντες ἐξ ἀμφοῖν θαλάττης τε καὶ ἠπείρου τὸν μετὰ τοῦ Τζαχᾶ συνάψωσι πόλεμον. καταλαβὼν τοίνυν τὴν Μιτυλήνην ὁ Δούκας παραχρῆμα ξυλίνους κατεσκεύασε πύργους V. 195 καὶ ὥσπερ ἐξ ὁρμήματός τινος ἐκεῖθεν ἀφορμῶν καρτερώτερον τοῖς βαρβάροις ἀντικαθίστατο. ὁ δὲ Τζαχᾶς τὴν τῆς Μιτυλήνης φρουρὰν τῷ ἀδελφῷ αὐτοῦ Γαλαβάτζῃ προαναθέμενος, ἐπεὶ μὴ ἐξαρκοῦντα τοῦτον πρὸς μάχας τοιούτου ἀν-

1. lege δή. τὴν βασίλειον CG. 4. ἐαρινοῦ: an θερινοῦ? 5. καὶ κατὰ coni. Brockhoffius. 17. ἠόνα C. 23. αὐτοῦ add. CG.

ea animo esse oportere ratus; per aestatis quod supererat tempus et per sequentem hiemem eos belli apparatus facere decrevit, quibus non tantum consilia, spes moliminaque Tzachae irrita redderet, verum etiam ipsa Smyrna eum depelleret et quidquid antea locorum occupaverat, ipsi eriperet. hiberno igitur tempore praeterito, cum ridens iam ver adesset, Iohannem Ducam fratrem Augustae, Epidamno arcessitum, magnum classis creavit ducem. cui insuper terrestres copias attribuit lectissimas, cum iisque ipsum iubet pedestri itinere in Tzacham proficisci, classis autem praefecturam Constantino Dalasseno dare, qui sic oram legeret, ut ambo eodem tempore Mitylenem pervenirent et terra marique bellum cum Tzacha capesserent. itaque ubi primum Ducas Mitylenem pervenit, ligneas turres exstruxit, unde quasi ex arce quadam fortiter cum barbaris contendit. Tzachas Mitylenes custodiam fratri suo Galabatzae commiserat; quem ubi tanto adversario haudquaquam parem cognovit, non distulit ipse Ducam

δρὺς ἐγίνωσκε, θᾶττον φθάσας καὶ πολέμου σχῆμα διατυπώ-
C σας, ξυμμίγνυται τῷ Δούκᾳ. καρτερᾶς δὲ τῆς μάχης γενομένης, ἡ νὺξ ταύτην διέλυσε. κἄκτοτε ὁ Δούκας διὰ τριττῆς σεληνιακῆς περιφορᾶς οὐκ ἐνεδίδου καθ' ἑκάστην ἡμέραν προσβάλλων τε τοῖς τείχεσι Μιτυλήνης καὶ μετὰ τοῦ Τζαχᾶ λαμπροὺς πολέμους συναίρων ἐξ ἡλίου ἀνατολῆς μέχρι δυσμῶν. καὶ οὐδὲν πλέον ἦν τῷ Δούκᾳ τοῦ τοσούτου καμάτου. ὅπερ μανθάνων ὁ αὐτοκράτωρ ἠνιᾶτο καὶ ἤσχαλλεν. ἐπερωτήσας δέ ποτε τὸν ἐκεῖθεν ἐλθόντα στρατιώτην καὶ διαγνούς, ὡς οὐδὲν ἄλλο τῷ Δούκᾳ ἢ μάχαι τε καὶ πόλεμοι, καὶ περὶ τοῦ καιροῦ ἤρετο, καθ' ὁποίαν ὥραν αἱ μετὰ τοῦ Τζαχᾶ μάχαι συνίστανται. τοῦ δὲ περὶ αὐτὰς τὰς τοῦ ἡλίου αὐ-
D γὰς εἰρηκότος, ὁ βασιλεὺς αὖθις "καὶ τίνες τῶν μαχομένων πρὸς ἀνατολὰς ἀποβλέπουσι;" καὶ ὁ στρατιώτης "τὸ ἡμέτερον" ἔφη "στράτευμα." ξυνεὶς οὖν τηνικαῦτα τὴν αἰτίαν, ὁποῖος ἐκεῖνος ἐν ἀσκέπτῳ χρόνῳ τὸ δέον εὑρίσκων, γράμμα πρὸς τὸν Δούκαν σχεδιάζει, ξυμβουλεύων ἀποστῆναι τῆς κατὰ τὰς αὐγὰς τοῦ ἡλίου μετὰ τοῦ Τζαχᾶ μάχης, καὶ μὴ ἕνα πρὸς δύο μάχεσθαι, τὰς ἡλιακὰς ἀκτῖνας δηλαδὴ καὶ αὐτὸν τὸν Τζαχᾶ· ἐπὰν δὲ ὁ ἥλιος τὸν μεσημβρινὸν κύκλον διελθὼν πρὸς δυσμὰς ἀποκλίνῃ, τηνικαῦτα προσβάλλειν τοῖς ἐναντίοις. ἐγχειρίσας οὖν τὸ γράμμα τῷ στρατιώτῃ καὶ πολλάκις
P. 247 περὶ τούτου παραγγείλας, τέλος ἀποφαντικῶς ἔφη "ἐὰν κλί-

6. ἀνατολῶν CG. 17. ξυμβουλεῦον C. 20. lege Τζαχᾶν.

invadere. committitur proelium grave, quod nox diremit. dehinc per trium mensium spatium Ducas non desiit quotidie Mitylenes muros quatere atque cum Tzacha acriter congredi a primo mane ad vesperam usque. neque tamen ullum tanti laboris fructum tulit. quo imperator comperto, indigne molesteque rem ferebat. cumque reducem e castris militem percontatus audivisset, nihil aliud Iohannem quam proelia committere, item interrogavit, quonam diei tempore ista cum Tzacha certamina inirentur. "sub solis ortum," respondit miles. tum imperator: "utri pugnantium in ortum versus spectant?" "noster exercitus," miles ait. perspexit ille causam statim et, qua erat ingenii alacritate in excogitando eo, quod facto opus esset, litteras ad Ducam exaravit, quibus monebat, ne aciem strueret solis radiis adversis, neve unus pugnaret contra duos, solem nimirum et Tzacham ipsum; sed cum sol, superato meridiano circulo, in occasum vergeret, tum hostes adoriretur. militi igitur ubi litteras tradidit verbisque eadem praecepta identidem dedit, ad extremum asseveranter edixit: "sole in occasum inclinante, si pugnam cum hostibus inveritis,

νοντος τοῦ ἡλίου προσβαλεῖτε τοῖς ἐναντίοις, νικηταὶ παραχρῆμα ἔσεσθε." ταῦτα τοῦ Δούκα διὰ τοῦ στρατιώτου μεμαθηκότος καὶ μηδέποτε τοῦ αὐτοκράτορος μηδὲ τὴν ἐπὶ τῷ τυχόντι παραβλεψαμένου συμβουλήν, τῇ μετ' αὐτὴν κατὰ τὸ σύνηθες οἱ βάρβαροι ὁπλισάμενοι, ἐπεὶ τῶν ἀντιμάχων οὐδεὶς ἐφαίνετο, (ἠρέμουν γὰρ αἱ Ῥωμαϊκαὶ φάλαγγες κατὰ τὰς τοῦ αὐτοκράτορος ὑποθήκας,) τὴν μάχην ἀπηλπικότες κατὰ τὴν ἡμέραν ἐκείνην, αὐτοῦ που μεμενήκασιν, τὰ ὅπλα ἀποθέμενοι. ἀλλ' ὁ Δούκας οὐκ ἠρέμει. εἰς μεσουράνημα γὰρ τοῦ ἡλίου ἤδη ἐφθακότος, αὐτός τε καὶ τὸ στρατιωτικὸν ἅπαν ἐπὶ B τοῖς ὅπλοις ἦν. καὶ κλίνοντος ἤδη τοῦ ἡλίου, πολέμου τάξιν διατυπώσας, σὺν ἀλαλαγμῷ καὶ βοῇ πολλῇ αἰφνηδὸν κατὰ τῶν βαρβάρων ἵεται. οὐ μέντοι οὐδ' ὁ Τζαχᾶς ἀνέτοιμος ἐφάνη. ἀλλ' εὐθὺς καρτερῶς ὁπλισάμενος συμμίγνυσι ταῖς Ῥωμαϊκαῖς φάλαγξιν. πνεύσαντος δὲ τηνικαῦτα καὶ ἀνέμου σφοδροῦ καὶ ἀγχεμάχου τῆς μάχης γεγονυίας, ὁ κονίσσαλος ἐς οὐρανὸν αὐτὸν ἦρτο. καὶ τὸ μέν τοι κατὰ πρόσωπον τὸν ἥλιον λάμποντα ἔχοντες, τὸ δέ τι καὶ τοῦ ἀνέμου τὰς ὄψεις διὰ τῆς κόνεως τρόπον τινὰ κατασβολοῦντος, τῶν τε Ῥωμαίων καρτε- C ρώτερον εἴπερ ποτὲ προσβαλόντων, ἡττήθησαν τὰ νῶτα δεδωκότες. καὶ οὕτω μὴ φέρων ὁ Τζαχᾶς τὴν ἐπὶ πλέον πολιορκίαν καὶ πρὸς τὴν ἀδιάστατον μάχην μὴ ἐξαρκῶν, τὴν περὶ εἰρήνης ἐπερωτᾷ, τοῦτο καὶ μόνον ἐξαιτούμενος, ἐκχωρηθῆναι

4. τῇ CG, τῷ P. 17. lege τὸ μέν τι. 20. προβαλόντων C. 22. lege τὰ περὶ.

statim vincetis." haec Ducas per militem accepit, cumque quodvis imperatoris vel in minimis rebus consilium magni semper faceret, postera luce hostibus more solito ad pugnam paratis, nemo ex Romanorum exercitu apparuit; siquidem omnes ordines quieti manebant ex praecepto imperatoris. itaque barbari, pugnam eo die desperantes, armis positis, considebant secure. at Ducas haud quievit. nam subvecto sole in coeli verticem, ipse cum toto exercitu in armis erat; et ad occasum solis aciem instructam magno cum clamore subito admovet. sed nec Tzachas quidem imparatus erat. immo statim copiis bene armatis, pugnam iniit cum Romanis. quoniam autem ventus tum erat vehemens, ubi ad manum res venit, ingens excitatus est pulvis. cumque barbari partim adversos haberent solis radios, partim etiam pulvis, vento actus, oculis caliginem quodammodo offunderet, Romani autem fortius quam unquam instarent, victi terga verterunt. ita cum Tzachas neque oppugnationem amplius ferret, neque cominus pugnando esset, pacem petiit, hoc unum rogans, ut sibi tuto Smyr-

V. 196 οἱ ἀβλαβῆ τὸν πρὸς τὴν Σμύρνην ἀπόπλουν. πείθεται τούτῳ
ὁ Δούκας, καὶ λαβὼν ὁμήρους δύο τῶν ἐκκρίτων σατραπῶν,
ἐπεὶ κἀκεῖνος αὖθις ἄλλους ᾐτεῖτο τὸν Δούκαν, ἐφ' ᾧ τὸν
μὲν μηδένα τῶν Μιτυληναίων ἀδικῆσαι ἐξερχόμενον ἢ συνε-
παγαγέσθαι ἀποπλέοντα πρὸς Σμύρνην, τὸν δὲ διατηρῆσαι
D αὐτὸν ἀβλαβῆ τὸν ὡς πρὸς Σμύρνην ἀπόπλουν ποιούμενον,
δέδωκε τούτῳ τόν τε Εὐφορβηνὸν Ἀλέξανδρον καὶ Μανουὴλ
τὸν Βουτουμίτην· ἄνδρες οὗτοι φιλοπόλεμοί τε καὶ γενναῖοι.
εἶτα πίστεις ἐξ ἀλλήλων λαβόντες, ὁ μὲν ἀμεριμνίαν ἤδη εἶχε
τοῦ μὴ ἐν τῷ ἐξέρχεσθαι τὸν Τζαχᾶν βλάβην τινὰ τοῖς Μι-
τυληναίοις ἐπαγαγεῖν, ὁ δὲ ἐν τῷ διαπερᾶν μὴ παρὰ τοῦ Ῥω-
μαϊκοῦ στόλου κάκωσιν ἐσχηκέναι. ἀλλ' ὁ καρκῖνος ὀρθῶς
βαδίζειν οὐκ ἐμάνθανεν, οὐδ' ὁ Τζαχᾶς τῆς πρότερον ἀφί-
στατο πονηρίας. πάντας γὰρ τοὺς Μιτυληναίους ἐπεπειρᾶτο
σὺν γυναιξὶ καὶ τέκνοις ἑαυτῷ συνεπαγαγέσθαι. ἐν ὅσῳ δὲ
ταῦτα ἐγένετο, ὁ Δαλασσηνὸς Κωνσταντῖνος θαλασσοκράτωρ
P. 248 τηνικαῦτα ὢν καὶ μήπω ἐφθακώς, κατὰ τὰ ἐντεταλμένα παρὰ
τοῦ αὐτοκράτορος Δούκα εἰς ἀκρωτήριόν τι τὰς ναῦς προσορ-
μίσας, ἐπεὶ ταῦτα μεμαθήκοι, ἐλθὼν ἠξίου τὸν Δούκαν παρα-
χωρηθῆναί οἱ μετὰ τοῦ Τζαχᾶ συνάψαι πόλεμον. ὁ δὲ τὸν
προγεγονότα εὐλαβούμενος ὅρκον, ἀνεβάλλετο τέως. ὁ δὲ Δα-
λασσηνὸς ἐνέκειτο λέγων, ὡς "σὺ μὲν ὀμώμοκας, ἐγὼ δ' οὐ
παρῆν· καὶ σὺ μὲν τήρει ἃς δέδωκας πίστεις ἀραγεῖς, ἐγὼ

5. τὸν : τοῦ C. 7. τε om. G. Μιχαὴλ G. 8. Βουτομίτην C constanter. 11. ἐπιγαγεῖν P, recte CG. 16. Δαλάσηνὸς C semper. θαλασσοκρατήσας CG. 18. προσορμίσας C, προσορμήσας PG. 23. ἀρωγεῖς C. lege ἀρραγεῖς.

nam solvere liceret. obsequitur Ducas, et postquam duos e praecipuis satrapis obsides accepit, ut barbarus Mitylenaeos iniuria discedens ne afficeret neu quemquam secum Smyrnam aveheret, Tzachae, itidem obsides securi reditus poscenti, Euphorbenum Alexandrum et Manuelem Butumitem, viros fortissimos, tradidit. ita fide mutuo data, nec alter iam verebatur, ne abiens Tzachas molestiae quidquam Mitylenaeis inferret, et alter traiectum sibi tutum fore a Romana classe confidebat. verumenimvero cancer recta ingredi non didicit; nec Tzachas a prava consuetudine recessit. omnes enim Mitylenaeos cum uxoribus et liberis conabatur secum abducere. haec dum geruntur, Dalassenus Constantinus, qui Romanae classi praefuit neque dum advenerat, classe ad promontorium quoddam, ut Ducas iusserat, appulsa, ubi ista comperit, accurrit magnoque opere egit, ut Ducas bellum cum Tzacha gerendum sibi permitteret. verum is, iurisiurandi memor, abnuebat. cui Dalassenus instans, "nempe tu,

δ' ὁ μήτε παρών, μήτ' ὁμωμοκώς, μήτε τι τῶν συνδοξάντων ἀμφοῖν γινώσκων, ἐπαποδύσομαι πρὸς τὸν κατὰ τοῦ Τζαχᾶ πόλεμον." ἐπεὶ δ' ὁ Τζαχᾶς τὰ πρυμνήσια λύσας, ὡς εἶχε, κατευθὺ Σμύρνης τὸν ἀπόπλουν ἐποιεῖτο, καταλαμβάνει τοῦ- B τον ὁ Δαλασσηνὸς θᾶττον ἢ λόγος, καὶ παραχρῆμα προσβαλὼν ἐδίωκεν. ἀλλὰ καὶ ὁ Δούκας τὸ ἐπίλοιπον τοῦ ναυτικοῦ τοῦ Τζαχᾶ λύον τὰ πρυμνήσια ἐφθακώς, κατέσχε μὲν τὰς ναῦς καὶ τῆς βαρβαρικῆς χειρὸς τοὺς δορυαλώτους ἅπαντας καὶ τοὺς ἐν αὐτοῖς δεσμώτας αἰχμαλώτους ἐρρύσατο. ὁ δὲ Δαλασσηνός, πολλὰ τῶν τοῦ Τζαχᾶ ληστρικῶν πλοίων κατασχών, τοὺς ἐνόντας σὺν αὐτοῖς ἐρέταις ἀναιρεῖσθαι παρεκελεύετο. τάχα δ' ἂν καὶ ὁ Τζαχᾶς αὐτὸς ἑαλώκει, εἰ μὴ πανοῦργος ὢν καὶ τὸ μέλλον ὑφορώμενος, εἰς ἓν τῶν κουφοτέρων ἀκατίων μεταβάς, διὰ τὸ ἀνύποπτον διεσώθη λαθών. C στοχαζόμενος γὰρ τοῦ συμπεσόντος αὐτῷ, ἐκ τῆς ἠπείρου Τούρκους παρεσκευάκει εἴς τι ἀκρωτήριον ἑστάναι καὶ ὁρᾶν, μέχρις ἂν ἢ τὴν Σμύρνην ἀκινδύνως αὐτὸς καταλάβοι, ἢ πολεμίοις περιτυχὼν πρὸς αὐτοὺς τὴν ναῦν ἐξορμίσῃ καθάπερ εἴς τι κρησφύγετον. καὶ δὴ τοῦ σκοποῦ οὐκ ἠστόχει. ἀλλ' ἐκεῖ τὴν ναῦν προσορμίσας, μετὰ τῶν ἀπεκδεχομένων αὐτὸν Τούρκων ἑνωθείς, ὡς πρὸς Σμύρνην ᾤχετο. καὶ δὴ καὶ ταύτην κατέλαβεν. ὁ δὲ Δαλασσηνὸς νικητὴς ὑποστρέψας ἑνοῦ-

3. ὡς om. G. 9. αὐτῷ G. 13. ὑφορώμενος G, ὑποφορώμενος P. 15. στοχασάμενος G. 18. ἐξορμίσῃ C, ἐξορμήσῃ PG. 19. τι add. C. ἠστοχήκει CG.

inquit, iurasti; ego non adfui. ergo tu quam dedisti fidem, inviolatam serva; at ego, qui nec adfuerim, nec iuraverim, nec quicquam eorum, quae inter vos convenere, norim, in certamen cum Tzacha descendam." iam ubi Tzachas, soluta nave, Smyrnam sine mora vela dedit, Dalassenus assecutus eum celeriter, impetu facto, in fugam vertit. sed et Ducas, reliqua eius classe, priusquam solveret, oppressa, navibus potitus est captivosque inibi repertos a barbarorum potestate liberavit universos. Dalassenus autem praedatorias naves magno numero cepit, quarum vectores cum ipsis remigibus iussit occidi. atque etiam ipse Tzachas captus foret, nisi caute proviso periculo, naviculam ingressus, latendo evasisset. cum enim, quid sibi eventurum esset, praesagivisset, a continente ad promontorium quoddam Turcas iusserat in statione esse ibique observare, dum aut Smyrnam pervectus esset incolumis, aut hostibus obviam factus, nave appulsa, ad ipsos confugisset. nec fefellit consilium. eo enim postquam navem applicuit, comitantibus Turcis, qui opperti eum erant, Smyrnam celerrime se re-

ται τῷ μεγάλῳ δουκί. καὶ ὁ Δούκας τὰ κατὰ τὴν Μιτυλή-
D νην ἀσφαλισάμενος, ἐπεὶ καὶ ὁ Δαλασσηνὸς ἐκεῖθεν ὑπέστρεψεν, τοῦ Ῥωμαϊκοῦ στόλου πολὺ μέρος ἀφελόμενος, κατὰ τῶν παρὰ τοῦ Τζαχᾶ κατεχομένων (καὶ γὰρ ἱκανὰς ἔφθασε νήσους χειρώσασθαι) ἐξαπέστειλε. καὶ ἐξ ἐπιδρομῆς τήν τε Σάμον καί τινας ἄλλας νήσους κατασχών, ἐπανέρχεται πρὸς τὴν βασιλεύουσαν.

2. Οὐ πολλαὶ παρῆλθον ἡμέραι, καὶ μεμαθηκὼς ὁ αὐτοκράτωρ τὴν τοῦ Καρύκη ἀποστασίαν καὶ ὅτι τὴν Κρήτην κατέσχεν, ἐκεῖθεν δὲ ὁ Ῥαψομάτης τὴν Κύπρον, μετὰ στόλου
V. 197 μεγάλου κατ' αὐτῶν τὸν Δούκαν Ἰωάννην ἐξέπεμψε. καὶ καταλαβόντα δὲ τὸν Δούκαν τὴν Κάρπαθον οἱ Κρῆτες μεμαθηκότες, ἐπεὶ οὐ πόρρω ταύτην εἶναι ἐγίνωσκον, ἐπιθέμενοι τῷ Καρύκῃ, δεινὸν τὸν φόνον κατ' αὐτοῦ ἀπειργάσαντο. καὶ οὕτω τὴν Κρήτην τῷ μεγάλῳ δουκὶ παραδεδώκασιν. κατα-
P. 249 σφαλισάμενος δὲ τὰ περὶ αὐτὴν ὁ Δούκας καὶ ἀποχρῶσαν δύναμιν εἰς τὴν αὐτῆς φρουρὰν καταλιπών, ἐπὶ τὴν Κύπρον τὸν κατάπλουν ποιεῖται. καὶ ἅμα τῷ ταύτῃ προσοκεῖλαι, ἐξ ἐφόδου τὴν Κυρήνην κατέσχεν. ὁ δὲ Ῥαψομάτης τοῦτο μεμαθηκώς, καρτερῶς ὁπλίζεται κατ' αὐτοῦ. ἀπὸ Λευκουσίας τοιγαροῦν ἀπάρας καὶ τὰς ἀκρολοφίας τῆς Κυρήνης καταλαβών, ἐκεῖ που τὸν χάρακα ἐπήξατο, ἀναβαλλόμενος τέως τὸν πόλεμον, ὡς ἀπειροπόλεμος καὶ στρατηγικῶν τεχνασμάτων ἀδαής. χρεὼν γὰρ τούτοις ἀνετοίμοις ἐπεισπεσεῖν. ὁ δὲ ἀνεβάλ-

10. ῥαψομματης A. 11. αὐτὸν G. καὶ om. C. 12. δὲ om. A. 14. φόνον τούτου A. 20. Λευκωσίας Ducangius, sed vid. Cinnam. IV. p. 179, 1. 24. ἀνεβάλλετο — μάλα om. G.

cepit. Dalassenus, victoria reportata redux, magno se duci iunxit. qui, idoneis praesidiis firmata Mitylene, quando inde Dalassenus rediit, magnam Romanae classis partem segregatam adversus insulas, quas Tzachas ditioni suae additas sat multas obtinuit, misit. ac statim occupata Samo aliisque nonnullis insulis, Cpolin reversus est.

2. Non multi dies praeterierant, cum imperator, cognito defecisse Carycem Cretamque occupasse, Rhapsomatem autem Cyprum, ingenti classe Iohannem Ducam adversus utrumque misit. quem cum Carpathum pervenisse Cretenses comperissent, freti eius vicinia, Carycem adoriuntur ingenti clade. ita Cretam magno duci dedunt. constitutis ibi omnibus idoneoque praesidio relicto, Ducas Cyprum versus tendit, appulsuque ibi primo Cyrenem cepit. qua re Rhapsomates comperta, valide sese in eum armavit. ac postquam Leucosia profectus, iuga collium Cyrenae imminentium occupavit, castris loca-

λετο τέως τὴν μάχην, οὐχ ὅπως εἰς συμβολὴν πολέμου παρασκευασθησόμενος, ὡς δῆθεν ἀνετοίμως ἔχων, (παρεσκεύαστο B γὰρ εὖ μάλα, καὶ εἴπερ ἐβούλετο, συνεκρότησεν ἂν αὐτίκα τὸν πόλεμον,) ἀλλ' ὡς ἂν μηδὲ συμπλακῆναι βουλόμενος, ὥσπερ ἐν παιδιαῖς μειρακίων τὰ τοῦ πολέμου ἐπικεχειρήκει, μαλακῶς τε πρὸς αὐτοὺς διαπρεσβευόμενος καὶ μειλιχίοις λόγοις ἐφέλκεσθαι τούτους ὥσπερ οἰκονομούμενος. καὶ οἶμαι ἢ δι' ἀπειρίαν πολέμων ταῦτ' ἐποίει, (ἦν γάρ, ὡς ἔγωγε περὶ τούτου ἤκουον, χθὲς καὶ πρώην ἡμμένος ξίφους καὶ δόρατος καὶ μηδ' ἐπιβῆναι ἐφ' ἵππον εἰδώς, ἀλλ' εἰ καὶ τύχοι ἐπιβεβηκώς, κἀθ' οὕτως ἐξιππάσασθαι βούλοιτο, ταραχὴν εἶχε καὶ σάλον· οὕτως C εἶχε περὶ τὴν στρατιωτικὴν ἐμπειρίαν ἀπείρως ὁ Ῥαψομάτης,) ἢ τοίνυν διὰ ταῦτα ἢ καταπλαγεὶς τὴν ψυχὴν τῷ αἰφνιδίῳ τῆς ἐφόδου τῶν βασιλικῶν στρατευμάτων, τὰς φρένας περιπεπλάνητο. ἔνθεν τοι καὶ τὸν πόλεμον μετά τινος δυσελπιστίας ἐπιχειρήσαντι οὐκ εἰς καλὸν αὐτῷ ἀπηντήκει τὰ πράγματα. ὁ γὰρ Βουτουμίτης ὑποποιησάμενός τινας τῶν ἐκείνῳ συναραμένων, αὐτομολήσαντας τῷ ἰδίῳ συγκατέλεξε στρατεύματι. τῇ δὲ μετ' αὐτὴν τὰς φάλαγγας στήσας ὁ Ῥαψομάτης, τὸν μετὰ τοῦ Δούκα ἐζήτει πόλεμον, διὰ τοῦ πρανοῦς τῆς ἀκρολοφίας βραδεῖ ποδὶ στείχων. ὡς δὲ τὸ μεσαίχμιον ἀμφοῖν τοῖν στρατοπέδοιν ἀπεστενοῦτο ἤδη, ἀπόμοιρά τις τῶν τοῦ D Ῥαψομάτου εἰς ἑκατὸν ποσουμένη τὸν ἀριθμόν, διακριθεῖσα

5. τὰ τοῦ πολέμου om. G. 16. ἐπεχειρήσατο G. 17. γάρ: γοῦν CG. 21. μεταίχμιον G. 23. ποσούμενοι G.

tis, proelium defugit, rei bellicae artisque imperatoriae plane ignarus. cum enim imparatos hostes oporteret improviso opprimi, pugnam defugit, non modo ad eam se adornaturus, utpote qui imparatus esset, (immo optime se paraverat, ac dummodo voluisset, proelium illico committere poterat,) sed confligere omnino veritus, quemadmodum pueri colludentes solent, bellum tractavit, missis prae ignavia legatis, qui pollicitationum illecebris illos in partes suas traherent. atque ita, opinor, sive ob imperitiam rei bellicae, (audivi enim, heri cum ac nudiustertius tractare hastam ensemque coepisse, equum autem ne conscendere quidem scivisse, aut si forte conscendisset velletque equitare, perturbatione plenum vacillasse: adeo rei militaris imperitus erat Rhapsomates,) sive igitur eam ob causam, sive repentino nostri exercitus adventu perculsus, animo fluctuabat. bellum dein cum quadam desperatione aggresso non prospere res cessit. Butumites enim quosdam ex eius militibus, ad defectionem pellectos, suis copiis adiunxit. postridie vero cum Rhapsomates, Ducae pugnandi facultatem

ὡς τάχα κατὰ τοῦ Δούκα τὰς ἡνίας ὅλας ἐνδόντες, τὰς ἀκωκὰς τῶν δοράτων ὄπισθεν στρέψαντες, προσχωροῦσιν αὐτῷ. τοῦτο θεασάμενος ὁ Ῥαψομάτης, τὰ νῶτα παραχρῆμα δίδωσιν, ὅλας ἡνίας εἰς φυγὴν χαλάσας, ὡς πρὸς τὴν Νεμεσὸν ἀπονενευκώς, εἴ που γένοιτό οἱ ταύτην καταλαβόντι πλοίῳ ἐντυχεῖν, δι' οὗ τῇ Συρίᾳ προσορμίσας τὴν σωτηρίαν ἑαυτῷ περιποιήσαιτο. Μανουὴλ δὲ ὁ Βουτουμίτης ἐξ ὀπισθίων αὐτοῦ διώκων ἤλαυνε. ὁ δὲ ὑπ' αὐτοῦ κατεπειγόμενος καὶ τῆς ἐλπίδος διημαρτηκώς, τῷ ἐπὶ θάτερα προσεχώρησεν ὄρει, εἰς τὸν ἐπ' ὀνόματι τοῦ τιμίου σταυροῦ ἀνεγερθέντα πάλαι νεὼν προσπεφευγώς. ὁ δὲ Βουτουμίτης, (οὗτος γὰρ τὴν αὐτοῦ διωκὴν παρὰ τοῦ Δούκα ἐπετέτραπτο,) τοῦτον αὐτοῦ που καταλαβών, λόγον ἀπαθείας αὐτῷ δίδωσι καὶ συμπαραλαβὼν
P. 250 ἄγει πρὸς τὸν μέγαν δοῦκα. κἀντεῦθεν πάντες τὴν Λευκουσίαν καταλαμβάνουσι. κἀκεῖθεν τὴν ὅλην νῆσον ὑπὸ τὴν ἰδίαν χεῖρα ποιησάμενοι, ἠσφαλίσαντο κατὰ τὸ ἐγχωροῦν, τῷ αὐτοκράτορι τὰ συμπεσόντα ἅπαντα διὰ γραμμάτων δηλώσαντες. ὁ δὲ βασιλεὺς ἀποδεξάμενος αὐτῶν τὸν ἀγῶνα, δεῖν ἔγνω τὰ κατὰ τὴν Κύπρον ἀσφαλίσασθαι. κριτὴν μὲν οὖν τηνικαῦτα καὶ ἐξισωτὴν τὸν Καλλιππάριον προὐβάλλετο· ἀνὴρ δὲ οὗτος
V. 198 τῶν ἐπισήμων, μαρτυρίαν δὲ πολλὴν δικαιοπραγίας τε καὶ

3. δίδωσιν καὶ CG. 4. Λέμεσον G. 5. ἀπονένευκεν CG. 6. προσορμίσας C, προσορμήσας PG. 7. Μιχαὴλ CG. 9. ἡμαρτηκὼς G. 11. προπεφευγὼς C. 14. μέγαν δοῦκα A, Δούκα PG. Λευκοσίαν G. 17. ἐμπεσόντα G. ἅπαντα add. CG. 21. τε om. G.

daturus, aciem instructam de collibus per declive tardo gradu deduxisset, angusto iam inter utrumque exercitum spatio, Rhapsomatis equites numero fere centum, effusissimis Ducam versus, velut ad pugnandum, habenis progressi, hastarum cuspidibus conversis, ad eum transeunt. quo viso Rhapsomates, terga statim dedit, citatoque equo aufugit Nemesum; ubi navigium se inventurum sperabat, quo in Syriam delatus, salutem sibi pararet. instabat Manuel Butumites fugienti, qui cum ad incitas redactus esset speque excidisset, ad montem, in altera parte situm, accessit ibique in aedem sanctae cruci olim structam confugit. ibi Butumites, cui insequendi curam Ducas commiserat, eum cepit ac, securitate data, ad magnum ducem secum abduxit. hinc omnes Leucosiam petunt et postquam totam insulam subiectam, quantum licuit, praesidiis firmarunt, imperatori per litteras, quae acciderant, nuntiarunt. imperator, laudata ipsorum virtute, iam id sibi faciendum putavit, ut Cyprum insulam tutam praestaret. quapropter iudicem et peraequatorem constituit Calliparium, virum nobilem ac

ἀφιλοχρηματίας καὶ ταπεινοφροσύνης συνεπαγόμενος. ἐπεὶ δὲ καί τινος ἡ νῆσος ἐδεῖτο τοῦ ταύτην φρουρήσοντος, τὸν B Φιλοχάλην Εὐμάθιον, τὴν ταύτης ἀναθέμενος φρουράν, στρατοπεδάρχην προεχειρίσατο, ναῦς πολεμικὰς δεδωκὼς αὐτῷ καὶ ἱππότας, ἐφ' ᾧ τὰ κατὰ τὴν Κύπρον διά τε θαλάσσης καὶ ἠπείρου ἀσφαλίζεσθαι. ὁ μέντοι Βουτουμίτης ἀναλαβόμενος τὸν Ῥαψομάτην καὶ τοὺς συναποστατήσαντας αὐτῷ ἀθανάτους, ἐπάνεισι πρὸς τὸν Δοῦκαν. καὶ οὕτως εἴσεισι πρὸς τὴν βασιλεύουσαν.

3. Τοιαῦτα μὲν οὖν τὰ κατὰ τὰς νήσους, τὴν Κύπρον φημὶ καὶ Κρήτην. ὁ δέ γε Τζαχᾶς, ἀνὴρ ὢν φιλοπόλεμος, δραστηριότητι γνώμης οὐκ ἤθελεν ἠρεμεῖν, ἀλλὰ μετ' οὐ πολὺ τὴν Σμύρνην ἐπελθὼν κατέλαβε. καὶ αὖθις ληστρικὰς ἐπιμελῶς κατεσκεύαζε ναῦς, δρόμωνάς τε καὶ διήρεις καὶ τριήρεις C καὶ ἄλλ' ἄττα τῶν κουφοτέρων νηῶν, τοῦ αὐτοῦ σκοποῦ ἐχόμενος. ταῦτα μεμαθηκὼς ὁ αὐτοκράτωρ, οὐκ ἀνέπιπτεν αὖθις, οὐδ' ἀνεβάλλετο, ἀλλ' ἐκ θαλάττης καὶ ἠπείρου ἔσπευδε τοῦτον καταγωνίσασθαι. τὸν μὲν οὖν Κωνσταντῖνον τὸν Δαλασσηνὸν θαλασσοκράτορα προχειρισάμενος, τηνικαῦτα μετὰ τοῦ ναυτικοῦ παντὸς ἐξέπεμψε κατὰ τοῦ Τζαχᾶ. τὸν δέ γε σουλτάνον συνοῖσον ἐδόκει διὰ γραμμάτων ἐρεθίσαι κατ' αὐτοῦ. εἶχε δ' οὕτω τὰ γράμματα. "οἶδας, μεγαλοδοξότατε D

3. Εὐστάθιον G. 11. τζαχᾶς πάλιν οὐκ ἤθελεν ἠρεμεῖν, φιλοπόλεμος ὤν, καὶ αὖθις τὴν Σμύρνην κατέλαβε καὶ δρόμωνας A. 12. ἔθελεν G. 13. ὑπελθὼν CG. 21. διερεθίσαι κατ' αὐτοῦ διὰ γραμμάτων G.

multa iustitiae, abstinentiae modestiaeque laude commendatum. quoniam autem praeterea insula, qui praesidio esset, postularet, Philocalem Eumathium ducem creavit eique naves bellicas et equites tradidit, quibus Cyprum terra marique tueretur. ceterum Butumites Rhapsomaten et qui cum eo defecerant immortales, ad Ducam deduxit. dein Cpolin revertitur.

3. Hactenus de insulis Cypro et Creta. at Tzachas, inquieti vir animi et belli amans, quiescere noluit, sed paulo post Smyrnam adortus cepit. ac rursus piraticas naves studiose paravit, dromones, biremes, triremes aliasque id genus leviores, in eodem consilio perseverans. sensit imperator, nec otiandum cunctandumve ratus, terrestribus eum maritimisque debellare copiis statuit. itaque Constantinum Dalassenum, cui classis praefecturam dederat, cum omnibus copiis maritimis in Tzacham misit. ad hoc e re videbatur, sultanum per litteras contra eum concitare. quae hunc ferme in modum scriptae erant. "scis, nobilissime sultan Clitziasthlan, sultanicii dignitatem hereditario iure

σουλτὰν Κλιτζιασθλάν, ὅτι τὸ σουλτανικὸν ἀξίωμά σοι πατρόθεν προσήκει. ὁ δὲ σὸς γαμβρὸς ὁ Τζαχᾶς κἂν κατὰ τῆς βασιλείας Ῥωμαίων τῷ φαινομένῳ ὁπλίζηται, βασιλέα ἑαυτὸν ἀποκαλῶν, ἀλλὰ τοῦτο πρόδηλος σκῆψίς ἐστιν. οὐ γὰρ λέληθεν αὐτὸν πολυπειρίαν ἔχοντα καὶ ἀκριβῶς γινώσκοντα, ὡς οὐ προσήκει τούτῳ ἡ βασιλεία Ῥωμαίων, καὶ ἀδύνατον τοιαύτης ἀρχῆς ἐπιδράξασθαι. τὸ δὲ πᾶν σκαιώρημα κατὰ σοῦ ἐξαρτύεται. οὐ χρὴ τοιγαροῦν ἀνέχεσθαι αὐτοῦ, οὔτε μὴν ἀναπεπτωκέναι, ἀλλ' ἐγρηγορέναι μᾶλλον, ἵνα μὴ τῆς ἀρχῆς παραλυθῇς. ἐγὼ μὲν οὖν τοῦτον τῶν ὑπὸ τὴν βασιλείαν Ῥω- [P. 251] μαίων ὁρίων ἀπελάσω, θεοῦ ἀρήγοντος· κηδόμενος δὲ σοῦ παρεγγυῶμαι, ὡς ἂν καὶ αὐτὸς τῆς ἰδίας φροντίσῃς ἀρχῆς καὶ ἐξουσίας, καὶ πὴ μὲν μετ' εἰρήνης, πὴ δέ, εἰ μὴ ταύτην ἀσπάζοιτο, μετὰ ξίφους σπεύσῃς αὐτὸν καθυποτάξαι." τούτων οὕτω παρὰ τοῦ βασιλέως οἰκονομηθέντων, καταλαμβάνει τὴν Ἄβυδον ὁ Τζαχᾶς μετὰ τῶν ὑπ' αὐτὸν δυνάμεων ἐξ ἠπείρου, καὶ ἐπολιόρκει ταύτην δι' ἑλεπόλεων καὶ παντοίων πετροβόλων ὀργάνων. οὐδὲ γὰρ παρῆσαν τούτῳ ἔτι λῃστρικαὶ νῆες μήπω ἀπαρτισθεῖσαι. ὁ δέ γε Δαλασσηνὸς εἴχετο μὲν μετὰ τῶν ὑπ' αὐτὸν δυνάμεων τῆς πρὸς Ἄβυδον φερούσης, φιλοκινδυνότατος καὶ εὐψυ- [B] χότατος ὢν ὁ ἀνήρ· ὁ δὲ σουλτὰν Κλιτζιασθλὰν δεξάμενος τὰ

1. Κλισιασθλὰν CG, κυτζασθλᾶν A. 2. γαμβρὸς: κηδεστὴς A. 3. ὁπλίζεται G. 5. καὶ add. C. 6. τούτων G. 10. τῶν ὑπὸ ῥωμαίους ὁρίων A. 11. δὲ om. G. 12. ὡς ἂν τῆς οἰκείας ἀρχῆς καὶ ἐξουσίας φροντίσῃς A. 14. σπεύσῃς C, σπεύσεις PA. 15. τὰ παρὰ PG, τὰ om. CA. 18. ἔτι τούτῳ A. οὔπω A. ἐπαρτισθεῖσαι G. 21. κλυτζασθλᾶν A.

ad te pertinere. tuus autem affinis Tzachas etiamsi in imperium Romanum se armet, imperatoris nomine assumto, tamen ista reapse simulatio est. non enim praeterit eum, quo est rerum usu ingeniique acumine, Romanorum imperium ad se nihil pertinere, neque unquam fieri posse, ut regno illo potiatur. immo tibi omnes parantur insidiae. proinde non aequum est eum pati, nec vero etiam remisso animo esse, sed advigilare potius, ne imperio privere tuo. ego certe istum finibus Romanae ditionis, deo opitulante, expellam; tibi autem timens auctor sum, ut et ipse tuendi principatus tui curam geras illumque vel pace vel, si eam respuerit, armis subigas." his ita ab imperatore provisis, Abydum Tzachas, per continentem cum exercitu profectus, balistis omnisque generis machinis oppugnabat. naves enim piraticae ei praesto non erant, quippe nondum perfectae. Dalassenus, vir ad pericula strenue subeunda promtissimus, cum copiis recta Abydum tendit. at sultan Clitziasthlan, accepto imperatoris nuntio,

παρὰ τοῦ βασιλέως διαμηνυθέντα, ἔργου εὐθὺς εἴχετο, τῆς πρὸς τὸν Τζαχᾶν φερούσης ἁψάμενος σὺν παντὶ τῷ στρατεύματι. τοιοῦτον γὰρ τὸ βάρβαρον ἅπαν ἕτοιμον πρὸς σφαγὰς καὶ πολέμους. ἔγγιστα δὲ τούτου γενομένου, ἐπεὶ ἐξ ἠπείρου καὶ θαλάττης τοὺς πολεμίους ἑώρα ἐπιόντας, πλοῖον δὲ οὐδαμοῦ, μήπω τῶν παρ' αὐτοῦ ἑτοιμαζομένων νηῶν ἀπαρτισθεισῶν, μήτε δυνάμεις ἀποχρώσας ἔχων πρός τε τὸ Ῥωμαϊκὸν καὶ τὸ τοῦ κηδεστοῦ αὐτοῦ σουλτὰν Κλιτζιασθλὰν στράτευ- V. 199 μα, ἐν ἀμηχανίᾳ καθειστήκει. πτοούμενος δὲ καὶ τοὺς ἐποίκους καὶ στρατιώτας Ἀβύδου, δεῖν ἐλογίσατο προσεληλυθέναι C τῷ σουλτάν, ἀγνοῶν τὴν τοῦ αὐτοκράτορος κατ' αὐτοῦ κατασκευασθεῖσαν τυρείαν. ὁ δὲ σουλτὰν τοῦτον θεασάμενος, ἱλαρὸν εὐθὺς ἐδείκνυ βλέμμα καὶ ἀσπασίως ἐδέχετο. τράπεζαν τοίνυν, ὡς ἔθος, ἑτοιμάσας καὶ συνδειπνῶν μετ' αὐτοῦ, ζωρότερον πιεῖν τὸν Τζαχᾶν κατηνάγκαζεν. ὁπηνίκα δὲ τοῦτον ἐμφορηθέντα τοῦ οἴνου διέγνω, σπασάμενος ξίφος κατὰ τῶν λαγόνων ὦσεν αὐτοῦ. καὶ αὐτὸς μὲν αὐτοῦ που νεκρὸς ἔκειτο· ὁ δέ γε σουλτὰν τὰ περὶ εἰρήνης τοῦ λοιποῦ πρὸς τὸν αὐτοκράτορα διαπρεσβεύεται. καὶ δὴ τοῦ σκοποῦ οὐ διήμαρτε. δέχεται γὰρ αὐτοῦ τὴν αἴτησιν ὁ αὐτοκράτωρ. καὶ D τῶν εἰρηνικῶν σπονδῶν, ὡς ἔθος, τελεσθεισῶν, ἐν καταστάσει τὰ παρὰ θάλασσαν ἦσαν ὅρια.

1. μηνυθέντα A. 8. σουλτὰν om. CG. 9. εἰστήκει A. 12 θεασάμενος τοῦτον G. 15. πιεῖν A, πίνειν PG. 16. ἐμφορηθῆναι οἴνου PG, alterum A. 17. που add. A.

rem statim aggressus, in Tzacham movet copiis omnibus; sic est barbarorum ingenium ad caedem et bella proclive. quo adventante, cum Tzachas a terra marique hostes videret instantes, navigium autem nusquam, (quae enim naves exstruebantur nondum perfectae erant,) nec satis copiarum haberet ad Romanum simul et affinis sui exercitus sustinendos, inopia consilii conflictabatur. cumque etiam Abydi incolas et praesidia formidaret, optimum factu putavit, sultanum adire, ignarus eorum, quae imperator adversus ipsum machinatus erat. quem ubi sultanus vidit, vultu statim ad hilaritatem composito, excepit eum comiter. et cum epulas, ut fit, instruxisset, unaque accumbens, meracius Tzacham bibere invitasset, postquam vino plenum eum vidit, eductum gladium in eius latus impulit; quo ille vulnere iacuit exanimis. tum sultanus misit, qui cum imperatore de pace agerent. nec frustra. accepit enim conditiones imperator; foedereque rite icto, ora maritima in tranquillum rediit.

4. Μήπω δὲ τοσούτων φροντίδων ὁ αὐτοκράτωρ ἀπαλλαγείς, μηδὲ τῶν ἀπὸ τούτου κακώσεων καθαριεύσας, (εἰ γὰρ καὶ αὐτὸς μὴ παρῆν ἔν τισιν, ἀλλά γε ταῖς φροντίσι καὶ ταῖς οἰκονομίαις συμπαρῆν καὶ συνέπραττεν,) εἰς ἕτερον ἀγῶνα αὖθις ἠπείγετο. ὁ γὰρ Βολκάνος, (ἀνὴρ δὲ οὗτος τὸ πᾶν τῆς ἀρχῆς τῶν Δαλματῶν φέρων, δεινὸς μὲν εἰπεῖν, δεινὸς δὲ καταπράξασθαι,) μετὰ διττὴν ἡλίου περιφορὰν τῆς τῶν Σκυθῶν καταλύσεως, τῶν ἰδίων ὅρων ἐξεληλυθώς, τὰς [P. 252] παρακειμένας ἐληΐζετο πόλεις καὶ χώρας, καὶ αὐτὸ δὴ τὸ Λιπένιον κατασχών, πῦρ ἐμβαλὼν ἐνέπρησε. ταῦτα ὁ βασιλεὺς μεμαθηκώς, οὐκέτ' ἀνεκτῶς εἶχεν, ἀλλ' ἀποχρώσας δυνάμεις συναγηοχώς, κατὰ τῶν Σέρβων κατευθὺ τοῦ Λιπενίου ἤλαυνε, (τοῦτο δὲ πολίχνιόν τι μικρὸν περὶ τοὺς πρόποδας τοῦ Ζυγοῦ τοῦ διαιροῦντος τὴν Δαλματίαν ἀπὸ τῆς ἡμεδαπῆς χώρας,) ἐφ' ᾧ τῷ Βολκάνῳ, εἰ τύχοι, ἀντικαταστῆσαι πόλεμον συνάψαι καρτερόν, καὶ εἰ τὴν νίκην δοίη αὐτῷ θεός, τό τε Λιπένιον καὶ τὰ λοιπὰ ἅπαντα ἀνεγεῖραι καὶ εἰς τὸ πρότερον ἀποκαταστῆσαι σχῆμα. ὁ δὲ Βολκάνος τὴν τοῦ αὐτοκράτο- [B] ρος μεμαθηκὼς ἔλευσιν, ἀπάρας ἐκεῖθεν καταλαμβάνει τὸ Σφεντζάνιον· πολίχνιον δὲ τοῦτο ἄνωθεν τοῦ ἤδη ῥηθέντος Ζυγοῦ διακείμενον ἐν μεσαιχμίῳ τῶν τε Ῥωμαϊκῶν ὁρίων καὶ τῆς Δαλματίας. ὁπηνίκα δὲ τὰ Σκόπια ὁ αὐτοκράτωρ κατειλήφει, ἀποστείλας ὁ Βολκάνος διετίθετο τὰ περὶ εἰρήνης, καὶ

6. δὲ om. G. 9. αὐτὸ δὴ A, αὐτὸς δὲ PG. λιπαίνιον A. 15. τύχοιεν CG. post ἀντικαταστῆσαι excidit καὶ. G καταστῆναι.

4. His curis imperator vix solutus necdum incommodis inde natis emersus, (etenim is earum etiam rerum, quibus praesens, cum gererentur, non intererat, sollicitudinem haud minorem sustinebat absens,) ad aliud rursus certamen properavit. Bolcanus enim, vir et consilio et manu strenuus, qui Dalmatiae ditionem obtinebat, post alterum a Scytharum interitu annum suis finibus egressus, finitimas urbes regionesque infestavit atque ipsum Lipenium igne delevit. ea nequaquam tolerabilia imperator ratus, contractis idoneis copiis, in Serbos movit rectaque Lipenium petiit, (oppidulum id est sub Zygum montem situm, qui Dalmatas a nostris discludit,) ut cum Bolcano, si forte, acriter confligeret ac, deo victoriam annuente, tum Lipenium tum reliqua loca omnia in pristinum statum restitueret. verum Bolcanus, adventu imperatoris coguito, Sphentzanium inde se contulit. est id oppidum exiguum, supra Zygum, quod diximus, in ipsis Romaniae Dalmatiaeque confiniis situm. sed quum Scopia venisset imperator, missis legatis, Bol-

ἑαυτὸν ἅμα τῆς αἰτίας τῶν κακῶς γεγονότων ἀπολύων καὶ τὸ
αἴτιον ὅλον τοῖς σατράπαις τῶν Ῥωμαίων ἀνατιθείς, λέγων
ὡς "ἐκεῖνοι τοῖς οἰκείοις ὅροις μὴ ἐμμένειν βουλόμενοι, δια-
φόρους ἐκδρομὰς ποιούμενοι, οὐ μικρὰν τὴν βλάβην τῇ Σερ-
βίᾳ προσῆξαν. ἐγὼ δὲ οὐκέτι τοιοῦτον τοῦ λοιποῦ διαπράξο-
μαι, ἀλλ' ἐπαναστρέψας καὶ ὁμήρους ἀποστελῶ τῶν ἐμῶν C
συγγενῶν τῇ σῇ βασιλείᾳ καὶ τῶν οἰκείων ὅρων οὐχ ὑπερβή-
σομαι." πρὸς ταῦτα ὁ βασιλεὺς κατένευσε. καὶ καταλείψας
ἐκεῖσε τοὺς μέλλοντας τὰς ἐριπωθείσας πόλεις ἀνεγεῖραι καὶ
ὁμήρους ἀναλαβέσθαι, πρὸς τὴν βασιλεύουσαν ἐπανέζευξεν.
ὁ δὲ Βολκάνος τοὺς ὁμήρους ἀπαιτούμενος, οὐκ ἐδίδου τού-
τους, ἀλλ' ἡμέραν ἐξ ἡμέρας ὑπερετίθετο. ἐνιαυτοῦ δὲ μήπω
παρῳχηκότος ὅλου, αὖθις εἰς προνομὴν τῶν Ῥωμαϊκῶν χω-
ρῶν ἐξεληλύθει. καὶ διαφόρους γραφὰς τοῦ αὐτοκράτορος
δεξάμενος, ἀναμιμνήσκοντος αὐτὸν τῶν συνθηκῶν καὶ ὑπο-
σχέσεων, ἃς φθάσας πρὸς αὐτὸν ἐποιήσατο, οὐδ' οὕτως τὰ D
ὑπεσχημένα τελέσαι ἤθελε. μεταπεμψάμενος οὖν ὁ βασιλεὺς
Ἰωάννην τὸν υἱὸν τοῦ σεβαστοκράτορος καὶ αὐταδέλφου αὐ- V.200
τοῦ, κατ' αὐτοῦ ἐξέπεμψε μετὰ ἀποχρώσης δυνάμεως. ὁ δὲ
οἷα ἀπειροπόλεμος καὶ σφαδάζων ὡς νέος πρὸς μάχας, ἀπελ-
θὼν καὶ τὸν τοῦ Λιπενίου ποταμὸν διαβάς, περὶ τοὺς πρόπο-
δας τοῦ Ζυγοῦ κατευθὺ τοῦ Σφεντζανίου τὸν χάρακα ἐπή-
ξατο. οὐκ ἔλαθε τοῦτο τὸν Βολκάνον. καὶ πάλιν περὶ εἰρή-

9. τὰς om. G. ἐρειπωθείσας supra 185, 18. 243, 2. 288, 4. 363, 15. vid. Hasius ad Leon. Diacon. p. 433. 23. an τὰ περὶ εἰρήνης?

canus de pace egit omnemque malorum culpam in Romanos duces derivavit, qui excursionibus crebris ultra fines suos factis, haud parvam calamitatem Serbiae attulissent. addebat se nihil eiusmodi posthac ausurum, sed simulac domum rediisset, obsides missurum ex consanguineis suis, nec ultra limites amplius egressurum. his imperator annuit; relictisque illic, qui destructa oppida reficerent obsidesque reciperent, ipse Cpolin est reversus. neque tamen Bolcanus obsides petentibus dedit, sed diem de die distulit. tandem, anno nondum praeterito, rursus finibus excessit, Romanam ditionem vastaturus. ac licet crebris imperator litteris eum ad foederum pactorumque memoriam excitaret, tamen conventis stare noluit. itaque imperator Iohannem, sebastocratoris fratris sui filium, adversus eum misit iusto militum numero. is, quippe inexpertus belli et pugnandi cupiditate iuveniliter ardens, amne prope Lipenium sub Zygum montem traiecto, ex adverso Sphentzanio castra posuit. neque hoc latuit Bolcanum,

νης καὶ πρὸς αὐτὸν ἠρώτα, ὑπισχνούμενος καὶ τοὺς ὑπεσχημένους ὁμήρους δοῦναι καὶ καθαρὰν τὴν εἰρήνην μετὰ τῶν Ῥωμαίων τοῦ λοιποῦ τηρῆσαι. ἀλλὰ ταῦτα μὲν ἐν μόναις ψιλαῖς ὑποσχέσεσιν· αὐτὸς δὲ ἐξωπλίζετο ἀγνώστως αὐτῷ
P. 253 προσβαλεῖν. καὶ τῆς πρὸς τὸν Ἰωάννην φερούσης τοῦ Βολκάνου ἁψαμένου, μοναχός τις προκαταλαβὼν τὸ μελετώμενον ἀπαγγέλλει τῷ Ἰωάννῃ, καὶ καταλαμβάνειν τὸν ἐχθρὸν ἤδη διισχυρίζετο. ὁ δὲ μετὰ θυμοῦ τοῦτον ἀπεπέμψατο, ψεύστην καὶ ἀπατεῶνα ἀποκαλῶν. ἀλλὰ τὸ ἔργον τὸν λόγον προέφθασεν πιστώσασθαι. νυκτὸς γὰρ ἐπεισπεσὼν αὐτῷ, πολλοὺς μὲν τῶν στρατιωτῶν ἐντὸς τῶν σκηνῶν ἀνεῖλε, πολλοὶ δὲ καὶ ἀνὰ κράτος φεύγοντες ταῖς δίναις τοῦ κάτω ῥέοντος ποταμοῦ παρασυρέντες ἀπεπνίγησαν. ὁπόσοι δὲ σταθηροτέρας
B γνώμης ἦσαν, τὴν τοῦ Ἰωάννου ἀναζητήσαντες σκηνήν, ἐκθύμως μαχόμενοι ταύτην ἐπὶ ταὐτοῦ μόγις διετήρησαν. οὕτω γοῦν τὸ μὲν πλεῖστον τοῦ Ῥωμαϊκοῦ στρατεύματος ᾤχετο. ὁ δὲ Βολκάνος τοὺς ἰδίους ἀναλεξάμενος καὶ ἀνελθὼν ἄνωθεν τοῦ Ζυγοῦ κατὰ τὸ Σφεντζάνιον ἔστη. οἱ δ' ἀμφὶ τὸν Ἰωάννην τούτους θεασάμενοι, ὀλίγοι ὄντες καὶ μὴ μετὰ τοσούτων μάχεσθαι δυνάμενοι, ἐβουλεύσαντο εἰς τοὐπίσω διαπεράσαι τὸν ποταμόν. τούτου δὲ γεγονότος, καταλαμβάνουσι τὸ Λιπένιον, ὡσεὶ δώδεκα σταδίους τούτου ἀπέχον· ἐπιπλέον δ' ἀντέχειν τοὺς πλείστους ἀπολωλεκὼς μὴ δυνάμενος, τὴν
C ὡς πρὸς τὴν βασιλεύουσαν ἀνεζήτησε· καθ' οὕτως τεθαρρη-

18. δὲ G. 20. δυνάμενοι μάχεσθαι μετὰ τοσούτων G. 21. γενομένου CG. 22. ἀπέχοντος CG. 24. ὡς add. C.

qui rursus de pace etiam cum illo egit, obsides, quos ante promisisset, redditurum se pollicens pacemque cum Romanis integram in posterum servaturum. verum haec mera tantum promissa; aggredi necopinantem parabat. iamque Bolcano adversus Iohannem proficiscente, monachus quidam praecurrens rem Iohanni indicat hostemque iamiam adventare affirmat. quem ille cum stomacho facessere abs se iussit, ut mendacem ac fraudulentum; sed mox fidem nuntio res ipsa addidit. Bolcanus enim per noctem invadens, plerosque militum in ipsis castris concidit; alios trepida ruentes fuga fluminis infra labentis undae hauserunt. qui autem fortiore erant animo, tabernaculo Iohannis occupato, strenue pugnantes locum vix obtinebant. sic dissipatis maximam partem Romanis, Bolcanus cum suis reversus, supra Zygum ad Sphentzanium constitit. quos conspicati, qui cum Iohanne erant, cum numero essent exiguo nec tantis hostium copiis pares, trans flumen recedendi consilium ceperunt. quo facto, Lipenium perveniunt, duodecim fere stadia inde distans. cumque plerisque amis-

κὼς ὁ Βολκάνος, ὡς μή τινος τοῦ ἀντικαθισταμένου περιλειφθέντος, ἐληΐζετο τὰς παρακειμένας πόλεις καὶ χώρας. καὶ τῶν Σκοπίων τὴν ἔξω χώραν τελείως ἠρίπωσε, τὸ δέ τι καὶ κατέκαυσεν. οὐ μέχρι δὲ τούτου. ἀλλὰ καὶ τὸν Πόλοβον καταλαβὼν καὶ ἄχρι Βρανέας φθάσας καὶ δῃώσας ἅπαντα, πολλήν τε λείαν ἐκεῖθεν ἀφελόμενος, εἰς τὴν οἰκείαν ὑπέστρεψε χώραν.

5. Ταῦτα ὁ βασιλεὺς μεμαθηκὼς οὐκέτ' ἀνεκτῶς εἶχεν. ἀλλ' εὐθὺς αὖθις ἐξωπλίσατο, μὴ πάνυ τι μηδὲ τοῦ αὐλητοῦ Τιμοθέου πρὸς τοῦτο δεόμενος, καθάπερ Ἀλέξανδρος περιμείνας τὸν ὄρθιον νόμον. αὐτός τε οὖν ὁ αὐτοκράτωρ περιθέμενος D ὅπλα καὶ τοὺς ἄλλους ὁπλίσας τοὺς τότε παρατυχόντας, τῆς κατευθὺ Δαλματίας φερούσης εἴχετο, σπεύδων τὰ μὲν φθάσαντα ἐριπωθῆναι τῶν κάστρων ἀνεγεῖραι αὖθις καὶ εἰς τὸ πρότερον ἀποκαταστῆσαι σχῆμα, καὶ ἀντίποινα τῶν παρ' αὐτοῦ πεπραγμένων ἐκ περιουσίας κατ' αὐτοῦ διαπράξασθαι. ἀπάρας οὖν τῆς μεγαλοπόλεως καὶ τὸ Δαφνούτιον καταλαβών, (πόλις δὲ τοῦτο παλαιά, τῆς Κωνσταντίνου σταδίους ἀπέχουσα τεσσαράκοντα,) καὶ τοὺς μήπω ἐφθακότας τῶν συγγενῶν ἐκδεχόμενος, αὐτοῦ που ἐκαρτέρει. τῇ γοῦν μετ' P. 254 αὐτὴν καταλαμβάνει Διογένης ὁ Νικηφόρος πλήρης θυμοῦ

4. Πολοβὼν G. καταλαβὼν add. C. 5. Βρανίας CG. 9. τοῦ om. A. 12. τῆς κατὰ A. 13. σπεύδοντα μὲν φθάσαι τὰ ἐριποθέντα G. 17. μεγαλουπόλεως CG. Δαφνούσιον CG. 18. τοῦτο : αὕτη G. Κωνσταντινουπόλεως CG. 19. ἀπέχουσα σταδίους G. 20. lege ἐγκαρτερεῖ. 21. ὁ διογένης νικηφόρος A.

sis, Iohannes amplius resistere non posset, viam Cpolim versus ingressus est. tum aucta Bolcanus confidentia, tanquam nemine, qui prohiberet, reliquo, ex finitimis oppidis pagisque praedas egit. ac Scopiorum quidem agrum suburbanum igni ferroque vastavit; neque ibi substitit; sed usque ad Polobum Braneasque progressus, cuncta latrociniis infestavit, praedaque onustus domum rediit.

5. Haec cum imperator comperisset, non amplius ferenda duxit, sed extemplo rursus ad bellum se accinxit, nihil prorsus, ut quondam Alexander, indigens Timotheo tibicine, qui orthium modularetur. postquam igitur et se et reliquos, qui praesto tum erant, armis instruxit, recta in Dalmatiam contendit, ut tum castella repararet destructa atque in integrum restitueret, tum iniurias multo gravius reponeret. Cpoli igitur profectus Daphnutium, (oppidum id vetus est, ab urbe quadraginta stadiis dissitum,) ibi substitit, qui nondum advenerant e consanguineis, opperiens. eo postridie se contulit Nice-

V. 201 καὶ φρονήματος· τῷ συνήθει δὲ χρώμενος προσωπείῳ, τὴν ἀλωπεκῆν περιεβέβλητο, καὶ τὴν ὄψιν χαριεστέραν διατιθείς, τῷ βασιλεῖ προσφέρεσθαι ἐλευθέρως ἐσχηματίζετο. τὴν μέντοι σκηνὴν οὐ τῷ συνήθει ἀποστήματι τοῦ βασιλικοῦ κοιτῶνος ἐπήξατο, ἀλλ' ἀγχοῦ τῆς πρὸς τὸν βασιλέα εἰσαγούσης ἀνόδου. Μανουὴλ δὲ ὁ Φιλοκάλης τοῦτο θεασάμενος καὶ ὡς ὑπὸ κεραυνοῦ βληθείς, ἐπεὶ οὐδὲ τὰ παρ' αὐτοῦ μελετώμενα τοῦτον διελάνθανεν, αὖος παραχρῆμα εἱστήκει. μόλις δὲ
B συναγαγὼν τὸ φρονοῦν τῆς ψυχῆς, πρόσεισιν εὐθὺς τῷ βασιλεῖ καί φησιν "οὐχ ἁπλοῦν τὸ γινόμενόν μοι δοκεῖ, ἀλλὰ δέος μοι ἔπεισι, μή τι νυκτὸς κατὰ τῆς σῆς νεωτερισθῇ βασιλείας. ῥήμασι γοῦν τισὶ πρὸς αὐτὸν χρησάμενος, ἐκεῖθεν μεταβῆναι τοῦτον παρασκευάσω." ὁ δέ, ὁποῖος ἐκεῖνος ἀκατάσειστον ὡς ἐπίπαν ἔχων τὸ φρόνημα, οὐδαμοῦ παρεχώρει τοῦ ἔργου τῷ Φιλοκάλῃ. πολλὰ δὲ τούτου βιαζομένου, "ἔα" φησίν. "οὐ χρὴ πρόφασιν τοῦτον ἐξ ἡμῶν ἐσχηκέναι. ἔστω τῆς καθ' ἡμῶν μελέτης αὐτὸς ὁ αἴτιος πρός τε θεὸν καὶ ἀνθρώπους." ἀχθόμενος δὲ ὁ Φιλοκάλης καὶ τύπτων τὰς χεῖρας, μεματαιωμένον τε τὸν βασιλέα ἀποκαλῶν, μεθίστατο.
C οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ τοῦ βασιλέως σὺν αὐτῇ τῇ βασιλίδι ἀπεριμερίμνως ὑπνώττοντος, περὶ μέσην φυλακὴν τῆς νυκτὸς ἄνεισιν ὁ Διογένης, ξίφος ὑπὸ τὴν μάλην φέρων· καὶ

5. ἐπήξατο κοιτῶνος G. 8. παραυτίκα A. 11. μή τι κατὰ τῆς βασιλείας σου νεωτερισθῇ A. 13. παρεσκεύαστο A. 17. ὁ om. G. 19. μεθίσταται CG. 20. αὐτῇ om. A. 22. εἴσεισιν A.

phorus Diogenes, qui cum ira arrogantiaque plenus esset, quasi vulpina pelle indutus, veterem gratiam vultu referebat ac liberaliter imperatore uti simulabat. tabernaculum non solito intervallo a cubiculo regio, verum proxime eum locum posuit, unde ad imperatorem aditus erat. id ubi vidit Manuel Philocales, quasi fulmine ictus, (quippe compertum habebat, quid ille pararet,) illico obstupuit; mox revocato, ut potuit, animo, imperatorem adiens, "hoc, inquit, consilium mihi non expers fraudis videtur; sed vereor, ne quid mali per noctem contra maiestatem tuam moliatur. quare conveniam eum efficiamque, ut inde se amoveat." at ille, imperterrito plane animo, non sivit id fieri. Philocali autem instantius flagitanti, "desine, inquit; non enim oportet nos odii praetextum ei dare; si quid molitur, deus hominesque sciant illum in culpa esse." discessit Philocales aegritudine complodens manus et imperatorem temeritatis incusans. non multo post imperatore cum ipsa Augusta secure dormiente, circiter mediam noctis custodiam, ascendit Diogenes in cubiculum, ensem sub

ἐπιβεβηκὼς τῶν οὐδῶν ἔστη. κοιμωμένῳ γὰρ τούτῳ τῷ βασιλεῖ οὔτε θύραι ἐπεζυγοῦντο, οὔτ' ἐκτὸς ἐπηγρύπνει φρουρά. ἀλλὰ ταῦτα μὲν τὰ περὶ τὸν βασιλέα. τὸν δέ γε Νικηφόρον θεία τις τῷ τότε δύναμις ἀπεῖρξε τοῦ ἐγχειρήματος. τὴν παιδίσκην γὰρ θεασάμενον τὴν τὸν ἀέρα ἀναρριπίζουσαν καὶ πόρρω ποι τοὺς κώνωπας ἀπωθουμένην τοῦ τῶν βασιλέων χρωτός, παραχρῆμα ὑπό τε τρόμος ἔλλαβε γυῖα, ὦχρός τέ μιν εἷλε παρειάς, κατὰ τὸν ποιητὴν φάναι, ἐς νέωτα τὸν φόνον D ἀναρτήσαντα. καὶ οὗτος μὲν τὴν ἀποφάσιστον τοῦ αὐτοκράτορος σφαγὴν ἐμελέτα διαπαντός, ἐκεῖνον δὲ οὐδὲν τῶν μελετηθέντων κατ' αὐτοῦ διελάνθανε. ταχὺ γὰρ ἡ παιδίσκη τοῦτο προσελθοῦσα τὸ δρᾶμα ἀπήγγειλε. τοιγαροῦν ἐκεῖθεν τῇ μετ' αὐτὴν ἀπάρας, τῆς προκειμένης ὁδοῦ εἴχετο, τὸν ἀγνοοῦντα μὲν ὑποκρινόμενος, οἰκονομῶν δὲ καὶ τὰ κατ' αὐτὸν τοσοῦτον, ὡς ἅμα μὲν καὶ φυλάττεσθαι, ἅμα δὲ καὶ μηδ' ἡντιναοῦν εὔλογον λαβὴν διδόναι τῷ Νικηφόρῳ. ἐν τοῖς μέρεσιν P. 255 οὖν γενόμενος τῶν Σερρῶν, ἐπεὶ ὁ Πορφυρογέννητος Κωνσταντῖνος ὁ Δούκας συνεπόμενος τῷ αὐτοκράτορι ᾐτεῖτο εἰς τὸν ἴδιον ἀγρὸν καταλῦσαι ἐπιτερπῆ ὄντα καὶ ὕδασι ψυχροῖς καὶ ποτίμοις κατάρρυτον καὶ ἀποχρῶντα οἰκήματα ἔχοντα πρὸς τὴν τοῦ βασιλέως ὑποδοχήν, (Πεντήγοστις τούτῳ τὸ

1. κοιμωμένου γὰρ τουτου G. 3. τὰ om. CG. 5. θεασάμενος A. τὴν alterum om. G. ἀναριπίζουσαν PG, recte A. 8. φάναι μὲν A. τὸ φαῦλον A. 12. lege τούτῳ. 15. μὲν add. CG. 21. τοῦ add. CG.

ala gestans, atque ipso in limine stetit. etenim hic imperator ita decumbere solebat, ut neque fores clauderentur cubiculi, nec ulla extra excubaret custodia. caeterum Nicephorum a perpetrando scelere divina quaedam vis tum avertit. cum enim ancillam videret, cui ventuli faciendi culicesque ab imperatorum facie abigendi negotium erat, extemplo tremor occupat artus pallorque eius capit genas, ut cum poeta loquar, caede in crastinum diem prolata. nec vero imperatorem quicquam eorum, quae Nicephorus aperte machinatus erat, latebat; statim enim ancilla expergefacto, quid accidisset, narravit. itinere tamen postridie continuato, dissimulavit se id nosse, quanquam ita se gessit, ut et a Nicephoro sibi caveret, nec ullam offensionis causam probabilem ei daret. itaque cum in fines Serrarum ventum esset rogassetque imperatorem Constantinus Ducas Porphyrogenitus, qui itineris comes erat, ut ad villam suam diverteret peramoenam aquisque abundantem salubribus atque ita amplam, ut commodum imperatori hospitium esset, (Pentegostis huic nomen erat,) imperator roganti obsecutus, ibi divertit. sed ne postridie quidem, cum in viam

ὄνομα,) ὁ βασιλεὺς ὑπείξας τῷ τούτου θελήματι, αὐτοῦ που κατέλυσεν. ἀλλ' οὐδὲ τῇ μετ' αὐτὴν βουλομένῳ ἐξελθεῖν ὁ Πορφυρογέννητος συνεχώρει· ἠξίου δὲ μᾶλλον ἐγκαρτερῆσαι καὶ ἔτι, ἐφ' ᾧ ἀνακτήσασθαί τε ἑαυτὸν τῆς ὁδοιπορίας καὶ B τὸ σῶμα τοῦ κονιορτοῦ καθᾶραι λουσάμενον. ηὐτρέπιστο γὰρ αὐτῷ ἤδη καὶ τὰ πρὸς εὐωχίαν δαψιλῆ. ὁ δὲ καὶ αὖθις τῷ τοῦ Πορφυρογεννήτου ὑπεῖξε θελήματι. ὡς δὲ λουσάμε- V. 202 νον καὶ τοῦ βαλανείου ἐξελθόντα τοῦτον μεμαθήκοι Νικηφόρος ὁ Διογένης, πάλαι τυραννιῶν, ἐπιτηρῶν δὲ εἴ που καὶ αὐτόχειρ δυνηθῇ τούτου γενέσθαι, περιζωσάμενος τὸν ἀκινάκην εἰσῄει, ὡς δῆθεν ἐκ θήρας ἐπανιὼν κατὰ τὸ σύνηθες. τοῦτον οὖν ὁ Τατίκιος θεασάμενος καὶ πάλαι γινώσκων τὸ παρ' αὐτοῦ μελετώμενον, ἀπώσατο ἐπειπών· "ἵνα τί ἀσυντάκτως οὕτω καὶ ξιφήρης εἰσέρχῃ; καιρὸς βαλανείου καὶ οὐχὶ ὁδοι- C πορίας οὐδὲ θήρας ἢ μάχης ἐστίν." ὁ δὲ τοῦ σκοποῦ διημαρτηκὼς ὑπεχώρησεν. ὑπολαβὼν δὲ ὡς ἤδη ἐπέγνωσται, (δεινὸς γὰρ ἔλεγχος ἡ συνείδησις,) δρασμῷ τὴν ἑαυτοῦ σωτηρίαν πραγματεύσασθαι ἐβουλεύετο, καὶ εἰς τοὺς ἐν Χριστουπόλει ἀγροὺς τῆς βασιλίδος Μαρίας ἢ εἰς τὸν Πέρνικον ἢ εἰς τὸν Περιτζὸν προσχωρῆσαι, κἀκεῖθεν αὖθις πρὸς τὰ συμπίπτοντα τὰ κατ' αὐτὸν εὖ διαθέσθαι. προεφθάκει γὰρ ἡ βασιλὶς Μαρία τοῦτον προσλαβέσθαι, ἀδελφὸν ὄντα μητρόθεν τοῦ προβεβασιλευκότος ἀνδρὸς αὐτῆς Μιχαὴλ τοῦ Δούκα,

8 lege μεμαθήκει. 12. Πατρίκιος G. 14. καὶ prius om. A. καὶ οὐχ ὁδοιπορίας ἢ θήρας A. 20. Πετριτζὸν G. τῷ συμπίπτοντι . . G. 22. προσλαβέσθαι C, προλαβέσθαι PG.

se dare vellet, id Porphyrogenitus sivit; immo petiit, ut diutius etiam ibi maneret, quo recrearet se ab itinere pulveremque abstergeret lavando. quippe lautitiarum apparatus iam provisus ab eo erat. quare iterum imperator precibus Porphyrogeniti cessit. cum autem Nicephorus Diogenes eum e balneo prodisse comperisset, quoniam regnum dudum affectans illius interimendi tempus aucupabatur, acinace cinctus ingreditur, tanquam e venatione, ut solebat, rediens. quem ut vidit Taticius, consiliorum eius haud ignarus, repulit hisce verbis: "quid insolenter sic cum telo intras? tempus balnei est, non itineris, nec venationis aut pugnae." ille re infecta se subduxit. quia autem iam deprehensus sibi videbatur, (tanta enim conscientiae vis est,) fuga salutem quaerere parabat atque in villas imperatricis Mariae, quae ad Christopolin erant, vel Pernicum vel Peritzum discedere, unde pro re nata rursus sibi prospiceret. hunc enim iam ante sibi adiunxerat Maria imperatrix, quod is coniugis nuper regnantis Michaelis Ducae frater erat, eadem cum illo matre natus, sed patribus diversis.

κἂν τὰ ἐς πατέρας διήλλαττον. καὶ ὁ μὲν βασιλεὺς τριταῖος ἐκεῖθεν ἔξεισι. τὸν δὲ Κωνσταντῖνον αὐτοῦ που καταλελοίπει D ῥαστώνης χάριν, δεδιὼς τὸ ἁπαλὸν καὶ ἀσύνηθες τοῦ νεανίου τότε πρώτως τῆς ἐνεγκαμένης πρὸς ἐκστρατείαν ἐξεληλυθότος. ἦν γὰρ μονογενὴς τῇ μητρί. καὶ ὁ αὐτοκράτωρ σφόδρα τοῦ νεανίσκου κηδόμενος, πάσης ἀνέσεως συνεχώρει ἐπαπολαύειν αὐτὸν σὺν τῇ βασιλίδι μητρί, ἅμα δὲ καὶ ὡς ἴδιον ἀπαρτὶ τέκνον ἐξόχως φιλῶν τοῦτον.

6. Ἀλλ' ἵνα μὴ συγκεχυμένος ὁ λόγος προΐῃ, τὰ κατὰ τὸν Διογένην Νικηφόρον ἐξ αὐτῆς ἀρχῆς ἱστορείτω. ὅπως μὲν οὖν ὁ τούτου πατὴρ Ῥωμανὸς εἰς τὴν βασίλειον ἀνήχθη περιωπὴν καὶ ὁποῖον τέλος ἔσχε τὰ κατ' αὐτόν, διαφόροις τῶν ἱστοριογράφων ἐμέλησε, κἀκεῖθεν ἐξέσται τὰ περὶ τούτου ἀνα- P. 256 λέγεσθαι τοῖς βουλομένοις. ἐπὶ παισὶ δὲ ὅμως τετελευτήκει τῷ τε Λέοντι καὶ τῷ Νικηφόρῳ. ὁ δὲ αὐτοκράτωρ Ἀλέξιος ἐκ προοιμίων τῆς αὐτοῦ ἀναρρήσεως παραλαβὼν τούτους ἰδιώτας ἐκ βασιλέων, (καὶ γὰρ ἅμα τοῦ τῆς βασιλείας ἐπιβῆναι ὁ Μιχαὴλ καὶ αὐτάδελφος αὐτῶν αὐτοὺς μὲν τῶν ἐρυθρῶν ἀπογυμνοῖ πεδίλων καὶ τὰ στέφη τούτων ἀφαιρεῖται, καὶ ὑπερορίαν ξὺν τῇ μητρὶ αὐτῶν τῇ βασιλίσσῃ Εὐδοκίᾳ εἰς τὴν μονὴν τοῦ Κυπερούδη καταψηφίζεται,) παντοίας θεραπείας ἠξίου, τὸ μέν τι δι' ὃ πεπόνθασιν οἰκτείρων αὐτούς, B

4. ἐκστρατείαν C, ἐκστρατίαν PG. 10. ἀρχῆς αὐτῆς G. 11. ἀνηνέχθη G. 14. τετελευτήκοι PG. correxi. 17. τοὺς CG. lege τῷ. 18. καὶ : ὁ CG. τῶν om. G. 19. τῶν πεδίλων G. 21. καταψηφίζεσθαι G. 22. τι : τοι G.

ceterum imperator triduo post inde proficiscitur. Constantinum autem ibi, ut otio frueretur, reliquit, tenero timens adolescenti, qui tum primum domo in bellum profectus erat. unicus enim matris erat filius, quem etiam imperator ipse non minus, quam filium, carum habebat.

6. Verum, ut ordine narratio procedat, Nicephori Diogenis memoria ab ipsis originibus repetenda est. pater eius Romanus quomodo ad imperium sit evectus quemque exitum habuerit, a variis scriptoribus traditum est; unde historiam eius cognoscere, qui volet, poterit. hoc unum monebo, decedentem eum duos reliquisse filios, Leonem et Nicephorum, quos imperator Alexius initio imperii sui privatos ex imperatoribus invenit. etenim cum Michael, frater ipsorum, rerum potitus esset, et rubris calceis et diademate ipsis interdixerat; quin etiam exsulare eos cum matre Eudocia imperatrice in monasterio Cyperudae iusserat. movit Alexii misericordiam tum tristis iuvenum casus, tum quod eos vide-

τὸ δέ τι καὶ τοὺς νέους ὁρῶν κατά τε σώματος ὥραν καὶ ῥώμην διαφέροντας τῶν πολλῶν, χνοάζοντας μὲν καὶ ἀρτιφυεῖς τὸ γένειον, ὑψηλοὺς καὶ ἰσομέτρους ὥσπερ ὑπὸ κανόνα τὸ μέγεθος, καὶ αὐτὸ τὸ νεοτήσιον ἤδη ἐκφύοντας ἄνθος, ἐξ αὐτῆς τε ὄψεως τὸ θυμοειδὲς αὐτῶν καὶ γενναῖον τοῖς μὴ διὰ πάθος τυφλώττουσιν ἀριδήλως ἐμφαίνοντας, καὶ σκύμνους οἷον λέοντος· καὶ ἄλλως δέ, ὁποῖος ἐκεῖνος μὴ ἐπιπολαίως ὁρῶν, μήτε πρὸς τὴν ἀλήθειαν μύων, μηδὲ πάθεσιν ἁλισκόμενος C ἐπιψόγοις, ἀλλὰ ταλαντεύων τὸ ὂν ἐν ἰσορρόπῳ στάθμῃ τῆς συνειδήσεως, καὶ τὸ ὕψος ἐξ οὗπερ ἐπεπτώκεσαν λογιζόμενος, ἐνηγκαλίζετο ἴσα καὶ τέκνοις ἰδίοις, τί μὲν οὐ λέγων, τί δὲ οὐ πράττων ἀγαθὸν ἐς αὐτούς, τί δὲ οὐ προμηθευόμε- V.203 νος; κἂν ὁ φθόνος βάλλων αὐτοὺς τοῖς τοξεύμασιν οὐκ ἀνίει. ἐκ πολλῶν γὰρ κατ' αὐτῶν ἐρεθιζόμενος ὁ αὐτοκράτωρ, αὐτὸς μᾶλλον πάσης αὐτοὺς ἐπικουρίας ἠξίου, ἱλαρὸν ἐνατενίζων ἀεὶ καὶ ἐνωραϊζόμενος οἷον ἐπὶ αὐτοῖς, ξυμβουλεύων τε διαπαντὸς τὰ συνοίσοντα. ἄλλος μὲν γὰρ ἴσως καὶ ὑπόπτους ἂν D ἐλογίσατο τούτους καὶ ἐκποδὼν διὰ παντοίας μεθόδου ἐξ αὐτῆς ἀρχῆς ποιῆσαι ἐσπούδασεν ἄν· οὗτος δὲ ὁ αὐτοκράτωρ τὰς τῶν πολλῶν κατὰ τῶν νέων εἰσηγήσεις παρ' οὐδὲν ἐτίθετο, ἐξόχως τούτους φιλῶν, τὴν μέντοι μητέρα τούτων Εὐδοκίαν καὶ δωρεῶν ἀξιῶν καὶ τιμῆς τῆς προσηκούσης βασιλίσσαις μὴ ἀπο-

13. τοῖς om. CG. 16. ἀεὶ: αὐτοῖς CG. ἐπ' G. 18. ἀρχῆς αὐτῆς G. 19. ποιῆσαι om. G.

ret forma ac robore corporis ceteris praestantes. ambo malas prima flavescebant lanugine; statura erant procera et magnitudine ad amussim pares, ipso iuventutis flore; vultus ipse fortitudinem generositatemque animi tam aperte prodebat, ut nisi qui odio occaecatus esset, leonis catulorum instar eos haberet. cumque praeterea imperator, homo et mentis acie pollens ad cernendum verum, nec pravis impeditus affectibus, quominus iustum aequa conscientiae lance pensitaret, id quoque reputasset, quanto ex fastigio rerum iuvenes cecidissent, eos velut proprios filios amplexabatur, et verbis et re amorem curamque ipsis probans. quanquam invidia non desinebat tela in eos iaculari. sed quo plures imperatoris iram adversus eos concitare studebant, tanto ipse maiori eosdem praesidio dignabatur, cum blando semper vultu iuvenes exciperet iisque quasi superbiret et rationibus ipsorum omni modo prospiceret. alius fortasse suspectos illos habuisset omnibusque artibus de medio tollere iam ab ipso initio studuisset; at hic imperator, contemtis delatorum calumniis, eximie caros habebat. ac matrem quidem eorum Eudociam et donis prosequebatur et nulla hono-

στερῶν, καὶ αὐτῷ δὲ τῷ Νικηφόρῳ τὴν τῆς νήσου Κρήτης ἀρχὴν ἀνέθετο εἰς ἐνδιαίτημα ἴδιον. ἀλλὰ ταῦτα μὲν ὁ βασιλεύς. τούτων δὲ ὁ μὲν Λέων, φρονήματος ὢν ἀγαθοῦ καὶ P. 257
γνώμης ἐλευθέρας, ὁρῶν δὲ καὶ τὴν βασιλέως εἰς αὐτοὺς εὐμένειαν, ἔστεργε τὴν λαχοῦσαν, ἐπαναπαυόμενος οἷον ἐπὶ τοῖς παροῦσι κατὰ τὸν εἰπόντα "Σπάρταν ἔλαχες, ταύταν κόσμει." ὁ δέ γε Νικηφόρος δύσοργος καὶ βαρύμηνις ὤν, καὶ βυσσοδομεύων κατὰ τοῦ αὐτοκράτορος καὶ τυραννήσειν μελετῶν οὐκ ἐπαύετο· ὑποβρύχιον δὲ ὅμως εἶχε τὴν βουλήν. ἤδη δὲ καὶ τοῦ ἔργου ἀπαρξάμενος, γνησιώτερόν τισι προσωμίλει. οὐκ ἐλάνθανε τοῦτο τοὺς πλείστους· δι' ὧν καὶ εἰς τὰς ἀκοὰς ἔφθανε τοῦ βασιλέως. ὁ δὲ βασιλεὺς B
καινόν τι ποιῶν, μεταπεμπόμενος τούτους ἐν καιροῖς ἁρμοδίοις, οὐκ ἐνέφαινε μὲν τὸ ἀκουσθέν, εὐφυῶς δὲ παρῄνει καὶ τὰ εἰκότα συνεβούλευε. καὶ ὅσῳ μᾶλλον τῆς ἐπιβουλῆς ἐν γνώσει ἐγίνετο, τοσούτῳ μᾶλλον ἐλευθερώτερον πρὸς αὐτοὺς διετίθετο, οὕτω βουλόμενος τούτους κερδανεῖν. ἀλλ' ὁ Αἰθίοψ οὐκ ἐλευκαίνετο. ἔμενε γὰρ ὁ αὐτὸς καὶ μετεδίδου τῆς λύμης, ὁπόσοις ἂν προσεπέλασε, τοὺς μὲν δι' ὅρκων, τοὺς δὲ δι' ὑποσχέσεων σφετεριζόμενος. τοῦ μὲν οὖν κοινοῦ τοῦ στρατοῦ οὐ τοσοῦτον ἔμελλε τῷ Νικηφόρῳ· ἤδη γὰρ ἅπαντες πρὸς αὐτὸν ἀπονενεύκασι· ἀλλ' ὅλος πρὸς τοὺς μεγι- C

4. lege τε καί. 6. ἔλαβες G. ταύτην CG. 7. δύσοργος ὢν καὶ βαρύμηνις G. 8. καὶ prius om. G. τυραννεῖν συμμελετῶν οὐκ ἐπαύσατο CG. 17. κερδάνειν PG, recte C. 21. lege ἔμελε. 22. ἀπονενεύκασι πρὸς αὐτὸν G. μεγιστάνους CG.

ris parte, qui imperatricibus debetur, defraudabat; Nicephoro autem ipsi principatum insulae Cretae proprium dedit. ita quidem imperator. iuvenum autem alter, Leo, bona indole ingenuoque praeditus animo, cum imperatoris in se caritatem perspiceret, sorte contentus erat fortunaque, qua utebatur, acquiescebat, secundum illud: "quae tibi Sparta obtigit, eam orna." sed Nicephorus, natura impotens et iracundus, consilia adversus imperatorem agitare tyrannidemque affectare non desistebat. consilium tamen celabat. tandem rem iam aggrediens, familiariter cum quibusdam colloquebatur. id continuo palam factum est; unde res brevi ad imperatoris quoque notitiam pervenit. verum ille, nova quadam usus ratione, postquam suo quemque tempore arcessivit, non indicavit quidem, quod audiverat, sed salubria dedit consilia et quae res postulare videbatur, admonuit. et quo certiorem conspirationis cognitionem nactus erat, eo liberalius cum iis agebat; ita sibi eos conciliare studens. sed Aethiops non albescit. mansit enim idem Nicephorus et contagione, quoscunque

στάνας ἀπονενευκώς, τῶν τε ἡγεμόνων καὶ τῶν τῇ συγκλήτῳ κατειλεγμένων προκρίτων ἀνδρῶν πολλὴν φροντίδα ποιούμενος, ὑπεποιεῖτο αὐτούς. ἦν γὰρ τὴν φρένα μὲν ὀξύτερος ἀμφιστόμου ξίφους, στάσιμος δὲ οὐδαμῶς, εἰ μὴ ὅσον πρὸς τὸ τυραννήσειν τὸ ἀμετάθετον ἐνεδείκνυτο· μελιχρὸς ἐν λόγοις, ἐν συναναστροφαῖς ἡδύς, ταπεινοφροσύνην μὲν ὡς ἀλωπεκῆν ποτὲ περιβαλλόμενος, ἔστιν οὖν καὶ τὸ θυμοειδὲς καθάπερ λέων ἐμφαίνων ποτέ, ῥωμαλέος καὶ πρὸς Γίγαντας ἐγκαυχώμενος D ἁμιλλᾶσθαι, σιτόχρους τὴν ὄψιν, εὐρὺς τὰ στέρνα, ὑπερωμίας τῶν τότε καιροῦ ὄντων ἀνδρῶν. εἰ δὲ σφαιρίζοντα τοῦ- V.204 τον εἶδέ τις, εἰ δὲ ἱππαζόμενον, εἰ δὲ οἰστὸν πέμποντα, εἰ δόρυ κραδαίνοντα καὶ ἱππασίας ποιούμενον, θαῦμα ἐδόκει καινὸν θεᾶσθαι, ἐκεχήνει τε καὶ μόνον οὐ πεπηγὼς ἦν. διὰ P.258 τοῦτο καὶ μᾶλλον τὴν τῶν πολλῶν ἐπεσπᾶτο εὔνοιαν. τοσοῦτον δὲ τὸ σπουδαζόμενον αὐτῷ προῄει, ὡς καὶ αὐτὸν τὸν ἐπ' ἀδελφῇ τοῦ αὐτοκράτορος γαμβρὸν Μιχαὴλ τὸν Ταρωνίτην τῷ τοῦ πανυπερσεβάστου τιμώμενον ἀξιώματι ὑποποιήσασθαι.

7. Ἀλλ' ἐπανακτέον τὸν λόγον αὖθις ὅθεν ἀπερρύη καὶ καθ' εἱρμὸν ἑκτέον τῆς διηγήσεως. ὁ μὲν οὖν αὐτοκράτωρ τοῖς λογισμοῖς ἀνατρέχων, ἐξ οὗπερ τὴν καθ' ἑαυτοῦ τοῦ

3. ὑποποιεῖτο PG, recte C. 5. τυραννίσειν G. 7. lege ἔστιν οὗ. 15. τὸν add. C.

accedebat, contaminavit, alios iuramentis sibi adiungens, alios promissis. ac vulgus quidem militum, non tantum operae dedit, ut pelliceret: iam enim omnes in ipsum se inclinabant: sed totus in eo erat, ut civitatis principes, tam exercitus duces quam qui in senatu plurimum auctoritate pollebant, omni cura sibi devinciret. habebat enim mentem ancipiti gladio acutiorem, constantem autem minime, praeterquam quod tyrannidis occupandae tenax esset. dulcis sermone, consuetudine comis, modestiae se plerumque specie tanquam pelle vulpina tegebat, sed idem non raro iracundus, ut leo, apparebat. corporis robore Gigantibus parem se gloriabatur. triticeus color oris, latum pectus. totis humeris eminebat supra eos qui tunc erant homines. iam vero cum vel pila luderet, vel equitaret, vel iaculum mitteret, vel hastam quateret, vel equestris pugnae specimen daret, admirationi spectantibus erat, qui tantum non attoniti adstabant. ea res maiorem etiam multitudinis favorem ipsi conciliavit. ac tam prospere inceptum succedebat, ut ipsum imperatoris ob ductam sororem affinem, Michaelem Taronitam, panhypersebasti dignitate ornatum, in partes suas traheret.

7. Sed redeundum est, unde deflexit narratio. imperator igitur, ex quo Diogenis adversus se odium perspexit, inde animo repetens,

Διογένους μελετὴν ἀνέγνωκεν, καὶ ὅπως ἐξ ἀρχῆς αὐτῆς τῆς αὐτοῦ ἀναρρήσεως ἀμφοῖν ἐχρήσατο τοῖν ἀδελφοῖν, ὁπόσης τε φιλοφροσύνης καὶ κηδεμονίας ἐπὶ τοσούτοις ἔτεσιν αὐτοὺς ἠξίου, κἂν οὐδὲν τούτων τὴν τοῦ Νικηφόρου γνώμην ἐπὶ τὸ βέλτιον B
μετηλλοίωσεν, εἰς ἀμηχανίαν ἐνέπιπτεν. ταῦτ' οὖν ὁ βασιλεὺς ἀναλογιζόμενος πάντα καὶ ὅπως μετὰ τὸ σφαλῆναι αὖθις εἰσῄει, ὅπως ἀπώσθη παρὰ τοῦ Τατικίου, καὶ γνοὺς ὅπως τὸ φονουργὸν σιδήριον θήγων κατ' αὐτοῦ αἵμασιν ἀναιτίοις σπεύδει χρᾶναι τὰς χεῖρας, καὶ ὁ τέως ἐφεδρεύων καὶ νυκτὸς τὸν φόνον ἐπιτηρῶν τελέσαι ἀπαρακαλύπτως τοῦτον ἤδη ἐπισπεύδει, πολλοῖς ἐκυμαίνετο λογισμοῖς. ἤθελε μὲν οὖν οὐδαμῶς τὸν Διογένην μετελεύσεσθαι δι' ὃν πρὸς αὐτὸν ἐγκάρδιον ἐκέκτητο πόθον, ἐξόχως τὸν ἄνδρα φιλῶν. ἁπαξαπλῶς δὲ ἅπαντα συνελών, ὅπῃ τε προβήσεται τὸ δεινὸν ἐννοῶν, ἐπεὶ C
τὸν περὶ ψυχῆς κίνδυνον αὐτῷ ἐφιστάμενον ἔγνω, πλήττεται τὴν καρδίαν. καὶ εἰς ἓν τὸ πᾶν συναγαγών, δεῖν ἔκρινεν κατασχεῖν τὸν Νικηφόρον. ἐκεῖνος δὲ τὸν μελετώμενον ἐπισπεύδων δρασμὸν καὶ βουλόμενος νυκτὸς τῆς πρὸς Χριστουπόλεως φερούσης ἅψασθαι, ἑσπέρας ἀποστείλας εἰς τὸν Πορφυρογέννητον Κωνσταντῖνον τὸν δοθέντα αὐτῷ παρὰ τοῦ βασιλέως ταχυδρόμον ἵππον ᾐτεῖτο ἀποχαρίσασθαί οἱ. ὁ δὲ καὶ ἀνένευσε, λέγων μὴ δύνασθαι δῶρον τοιοῦτον αὐθήμερον τοῦ βα-

4. κἂν: καὶ G. 7. πατρικίου G. γνοὺς om. CG. 13. ἐκέκτητο ἐγκάρδιον G. 20. αὐτοῦ G. 21. καὶ om. CG. lege ὁ δέ γε.

cum reputaret, quemadmodum ab ipso imperii sui initio se ergа utrumque adolescentem gessisset quantamque iis tot annis benevolentiam curamque praestitisset, licet nihil ista profecissent ad deliniendum Nicephori animum, consilii inopia affectus est. ad hoc consideravit, ut Nicephorus post irritum caedis consilium rursus ad se irrupisset, ut repulsus esset a Taticio; cumque intellexisset, illum cruentum ferrum acuentem insonti sanguine manus pollutum properare, et qui insidiis modo noctuque ipsius vitam appetivisset, eundem iam aperte caedem festinare, inter varia fluctuabat consilia. noluit quidem gravius aliquid de Diogene statuere ob eximium, quo hominem prosequebatur, amorem. tamen cum omnia secum perpenderet universa et quo evasurum esset malum, quoniam vitae periculum sibi imminens cognovit, timore perculsus, Nicephorum comprehendendum statuit. is fugam, quam meditabatur, parans ac noctu Christopolin versus contendere cupiens, misit sub vesperam ad Constantinum Porphyrogenitum, ut sibi equum celerem, quem imperator ei dederat, concederet. at hic renuit, dicens, non posse se tale imperatoris mu-

D σιλέως ἀποποιήσασθαι. ἐπεὶ δὲ πρωΐας ὁ βασιλεὺς τῆς προκειμέ-
νης ὁδοῦ ἥψατο, συνείπετο τούτῳ καὶ ὁ Διογένης, τοῦ διασκε-
δάζοντος βουλὰς καὶ λογισμοὺς ἀθετοῦντος λαῶν θεοῦ τοῦτον
σφήλαντος, γνωσιμαχοῦντα μὲν τὸν δρασμόν, ὑπερτιθέμενον
δὲ ὥραν ἐξ ὥρας, ὁποῖα τὰ τοῦ θεοῦ κρίματα. κατασκηνώσας
οὖν ἀγχοῦ τῶν Σερρῶν, ὅπου καὶ ὁ βασιλεύς, αὐτὸς μὲν τῶν
συνήθων εἴχετο λογισμῶν, ὡς πεφωραμένος ἤδη καὶ δεδιὼς
τὸ μέλλον. ὁ δὲ βασιλεὺς μετακαλεῖται τηνικαῦτα τὸν ἴδιον
P. 259 ἀδελφὸν Ἀδριανὸν καὶ μέγαν δομέστικον κατ' αὐτὴν τὴν
ἑσπέραν, ἐν ᾗ καὶ ἡ τοῦ μεγαλομάρτυρος Θεοδώρου ἐτελεῖτο
μνήμη. καὶ κοινοῦται αὖθις τούτῳ τὰ τοῦ Διογένους, μηδὲ
τὸ πρότερον ἀγνοοῦντι, ὡς ξιφήρης εἰσῄει, ὡς ἀπώσθη τῆς θύ-
ρας, ὡς τὸ πάλαι βεβουλευμένον, εἰ δυνατόν, ἵσταται σπεύδων
τελέσαι. τηνικαῦτα οὖν ἐπισκήπτει τῷ δομεστίκῳ ὁ βασιλεὺς
V. 205 τὸν Διογένην εἰς τὴν ἰδίαν μετακαλέσασθαι σκηνὴν καὶ διὰ
μειλιχίων λόγων καὶ παντοίων ὑποσχέσεων πεῖσαι ἀνακαλύ-
ψαι ἅπαντα τὰ βεβουλευμένα, ἀπάθειαν αὐτῷ ὑπισχνουμένῳ
καὶ ἀμνηστίαν τοῦ λοιποῦ τῶν κακῶν, εἰ μηδ' ὁτιοῦν ἀποκρύ-
B ψειεν, ἀλλὰ καὶ τοὺς συνίστορας ἐξείποι ἅπαντας. ὁ δὲ ἀθυ-
μίας πλήρης γενόμενος, ὅμως ἐπλήρου τὸ κελευσθέν. ποτὲ
μὲν οὖν ἀπειλῶν, ὁτὲ δὲ ὑπισχνούμενος, ὁτὲ δὲ καὶ συμ-

3. βουλὰς om. G. 4. ἀφεῖλαντος G. τὸν δρασμόν om. CG. 6. Σερῶν C. 9. Ἀνδριανὸν G. 16. πεῖραι P, δεῖσαι G, πεῖσαι C. 17. ὑπισχνούμενος CG. 20. τὰ κελευσθέντα CG. 21. ὁτὲ prius: ποτὲ CG.

nus eodem, quo accepisset, die alteri donare. postridie autem imperatore inceptum iter continuante, etiam Diogenes sequitur, a divino numine, quod hominum cogitationes pervertit et gentium consilia irrita reddit, in perniciem datus. cum enim fugam cogitaret, tamen, ut sunt dei consilia, horam ex hora trahebat. itaque dum prope Serras, ubi et ipse imperator erat, commoratur, eadem quidem consilia agitabat, utpote qui iam deprehensus esset futuraque timeret. imperator autem arcessivit fratrem suum Adrianum, magnum domesticum, illa ipsa vespera, qua magni martyris Theodori celebrabatur memoria; cumque rursus huic, qui nec ea ignoravit, quae antea acciderant, exposuisset, ut gladio armatus introisset, ut ab ostio repulsus esset, ut consilium dudum agitatum, si posset, exsequi properaret, domestico mandavit, evocaret Diogenem in suum tabernaculum eique blandis verbis et promissionibus omnis generis persuadere niteretur, ut omnia aperiret consilia; quorum si nihil celasset omnesque etiam coniurationis socios edidisset, impunitatem et criminum in posterum oblivionem polliceretur. Adrianus sollicitudine plenus,

βουλεύων, οὐκ ἔπειθε τὸν Διογένην ὅλως οὐδ' ὁτιοῦν τῶν βεβουλευμένων ἀνακαλύψαι. τί τὸ ἐπὶ τούτοις; ἤχθετο μὲν ὁ μέγας δομέστικος καὶ ἠνιᾶτο, οὗ κακῶν φέρεται ὁ Διογένης, στοχαζόμενος. ἔσχε γὰρ τοῦτον προφθάσας ὁ Διογένης γαμβρὸν ἐπὶ τῇ ὑστάτῃ τῶν ἑτεροθαλῶν αὐτοῦ ἀδελφῶν. ἔνθεν τοι καὶ μετὰ δακρύων ἐκλιπαρῶν αὐτὸν οὐκ ἀνίει· ἐπεὶ δὲ οὐδαμῶς, κἂν αὐτὸς ἐνέκειτο, ἀναμιμνήσκων ἅμα καὶ τῶν ὄπισθεν. σφαιρίζοντι γάρ ποτε τῷ αὐτοκράτορι κατὰ τὸ C ἐν τῷ μεγάλῳ παλατίῳ ἱππηλάσιον ἀνήρ τις βάρβαρος ἐξ Ἀρμενίων καὶ Τούρκων φύς, ξίφος ἔσωθεν τῶν ἀμφίων φέρων, ἐπὰν τὸν αὐτοκράτορα τῶν συσφαιριζόντων ἀνασειράσαντα τὸν χαλινὸν ἀπολειφθέντα ἐθεάσατο, ἐφ' ᾧ πνευστιῶντα τὸν ἵππον ἀναψῦξαι, πρόσεισι μὲν τῷ αὐτοκράτορι γονυπετῶν ἅμα καὶ αἰτεῖσθαι ὑποκρινόμενος. ὁ δὲ ἀνασειράζει τὸν ἵππον εὐθὺς καὶ ἐπιστραφεὶς ἐπυνθάνετο, τί ἂν τὸ αἰτούμενον εἴη. ὁ δὲ φονεὺς μᾶλλον ἢ προσαίτης ὤν, τὴν χεῖρα ὑποβαλὼν καὶ τοῦ ξίφους ἁψάμενος εἷλκε τοῦ κουλεοῦ. τὸ δ' D οὐ συνείπετο τῇ χειρί. ἅπαξ οὖν καὶ δὶς τοῦ μὲν ξίφους ἀποπειρώμενος, τοῖς δὲ χείλεσι ψευδεῖς αἰτήσεις συνείρων, ἀπογνοὺς καὶ προσουδίσας ἑαυτὸν τῇ γῇ, ἔκειτο συγγνώμην ἐξαι- P. 260 τούμενος. ὁ δὲ πρὸς αὐτὸν στρέψας τὸν χαλινόν, ἠρώτα ὅτου χάριν συγγνώμην αἰτεῖ. καὶ ὃς τὸ ξίφος σὺν αὐτῷ κουλεῷ

3. lege οἱ κακῶν. 8. τὸ ἐν om. G. 11. ἐπάν: ἐπ' αὐτὸν CG. σφαιριζόντων CG. 19. συνεὶς CG.

tamen quod iussus est, exsequitur. verum nec minando, nec pollicendo, nec suadendo Diogenes adduci potuit, ut vel minimam consiliorum partem detegeret. quid postea? magno domestico, qui bene nosset, quo malorum Diogenes rueret, gravem ea res dolorem attulit. siquidem Diogenes sororem germanam natu minimam ei in matrimonio collocaverat. quapropter etiam lacrimis eum obsecrare non desiit. nihil tamen quidquam profecit, etsi veteris memoriae recordationem repeteret. ludente enim aliquando imperatore pila in magni palatii area, barbarus quidam ab Armeniis et Turcis oriundus, gladio sub vestibus abdito, cum illum frenis adductis a ceteris sociis, quo equo anhelanti respirandi spatium daret, segregasse se animadvertisset, accidit ad pedes imperatoris, petentis specie. is, equo statim retento, conversus ad eum percontatur, quid vellet. tum ille, qui sicarius potius quam mendicus erat, submissa manu gladium e vagina educere parabat. cumque, semel iterumque facto conatu, frustra esset, mendaci verborum supplicatione, humi prostratus, veniam orabat. imperatori ad eum converso percunctantique, cuius rei pe-

ἐδείκνυ· στερνοτυπῶν δ' ἅμα καὶ ἐκθαμβούμενος καὶ βοῶν
ἔλεγε "νῦν σε δοῦλον τοῦ θεοῦ γνήσιον ἔγνωκα, νῦν τὸν μέγαν
θεὸν σκέποντά σε ἐν ὀφθαλμοῖς τεθέαμαι. ἐπὶ τῇ σφαγῇ γὰρ
τῇ σῇ τουτὶ τὸ ξίφος κατασκευάσας καὶ λαβὼν οἴκοθεν, ἐν-
ταῦθα πάρειμι, ἐφ' ᾧ κατὰ τῶν σῶν ὠθήσω σπλάγχνων.
ἅπαξ δὲ καὶ δὶς καὶ τρὶς τοῦτο σπασάμενος, οὐδαμῶς ὑπεῖ-
κον ἔσχον τῇ βίᾳ τῆς ἐμῆς χειρός." ὁ μὲν γὰρ βασιλεὺς κα-
B θαπερεὶ μηδέν τι τοιοῦτον ἀκηκοώς, ἐπὶ ταὐτοῦ σχήματος
θαρσαλέος εἱστήκει. συνέδραμον δὲ πρὸς αὐτὸν παραχρῆμα
ἅπαντες, οἱ μὲν ἀκροασόμενοι τῶν λεγομένων, οἱ δὲ ἐκθαμ-
βούμενοι ἐπὶ τούτοις. οἱ δὲ εὐνούστερον πρὸς τὸν αὐτοκρά-
τορα διακείμενοι, καὶ διασπαράττειν αὐτὸν ἐπεχείρουν, κἂν
αὐτὸς νεύματί τε καὶ χειρὶ καὶ συχνοῖς ἐμβριμήμασιν ἀπεῖργε
τῆς ἐγχειρήσεως. τί τὸ ἐπὶ τούτοις; παντελῶς ἀφέσεως ὁ
φονεὺς ἐκεῖνος παραχρῆμα τυγχάνει στρατιώτης, οὐκ ἀφέσεως
δὲ μόνον, ἀλλὰ καὶ μεγίστων δωρεῶν· ἐπὶ τούτοις καὶ ἐλευ-
C θερίας παραπολαύει. πολλοὶ μὲν οὖν τούτων καὶ ὀχλοῦντες
V.206 ἐνέκειντο τῆς βασιλευούσης ἀπελαθῆναι τὸν φονέα ἐκεῖνον· ὁ
δὲ οὐκ ἐπείθετο, λέγων "ἐὰν μὴ κύριος φυλάξῃ πόλιν, εἰς μά-
την ἠγρύπνησεν ὁ φυλάσσων. λοιπὸν θεῷ ἐπεύχεσθαι δεῖ,
τὴν ἡμετέραν ἐκεῖθεν ἐξαιτουμένους διαμονὴν καὶ φρουράν."

1. στερνοκτυπῶν CG. vid. Lobeck. Phryn. p. 593. 7. γὰρ: lege οὖν. 9. θαῤῥαλέος G. 10. ἀκροασάμενοι G. τῶν λεγομένων om. G. δ' G. 11. εὐνούστερον C, εὐνούστεροι PG. 13. τε om. G.

teret veniam, gladium iste vaginae affixum monstravit; simul pectus tundens reique miraculo perculsus exclamavit: "nunc te verum dei servum cognovi, nunc deum maximum tueri te hisce oculis vidi; etenim cum huc advenissem, ut ensem hunc, ad tuam caedem paratum, in viscera tua conderem, semel iterumque ac tertio eum stricturus, neutiquam manui meae parentem habui." imperator, quasi nihil eiusmodi audiisset, eodem habitu imperterritus stetit. concurrunt repente omnes, alii rei cognoscendae cupidi, partim admiratione affecti. qui benevolentiore erga imperatorem animo erant, etiam discerpere istum aggrediebantur; verum ipse nutu manuque ac multis minis inceptum repressit. quid postea? omnino venia sicario statim datur, nec solum venia, sed larga etiam munera; ad hoc libertas concessa, ac licet complures enixe flagitarent, ut sicarius urbe pelleretur, tamen non obsecutus ille, "nisi, inquit, dominus custodierit civitatem, frustra vigilat qui custodit eam. proinde ad deum precemur oportet, nostram inde expetentes salutem praesidiumque." susurrabant tum nonnulli, Dioge-

ὑπεψιθύριζον οὖν τινές, μετὰ τῆς τοῦ Διογένους γνώμης τῷ τοῦ αὐτοκράτορος φόνῳ ἐπικεχειρηκέναι τὸν ἄνδρα ἐκεῖνον, κἂν ὁ βασιλεὺς οὐδ' ὅλως ὑπεῖχε τούτοις τοῖς λόγοις τὰ ὦτα. ἀλλὰ μᾶλλον ἐβαρυμηνία κατ' αὐτῶν, τοσοῦτον αὐτοῦ ἀνεχόμενος, ὡς μέχρις αὐτοῦ λαιμοῦ τῆς ἀκωκῆς τοῦ ξίφους φθανούσης, τὸν ἀγνοοῦντα ὑποκρίνεσθαι. ἀλλὰ ταῦτα μὲν οὕτω. τούτων οὖν ἀναμνήσας αὐτὸν ὁ μέγας δομεστίκος D
καὶ μηδαμῶς πείθων, προσελθὼν ἀπαγγέλλει τῷ βασιλεῖ τὴν τοῦ Διογένους ἔνστασιν καὶ ὅτι ἔξαρνος παντάπασιν ὁ Διογένης ἐστί, καίτοι πολλὰ παρακληθείς, ὡς ἔλεγε, παρ' αὐτοῦ.

8. Παραπέμπεται τοίνυν τὸν Μουζάκην. καὶ ἐπισκήπτει ἔνοπλον μεθ' ἑτέρων παραγενόμενον, ἀναλαβέσθαι τοῦτον τῆς τοῦ μεγάλου δομεστίκου σκηνῆς καὶ εἰς τὴν ἰδίαν ἀπαγαγεῖν κἀκεῖσε μετὰ ἀσφαλείας τηρεῖν, δεσμῶν ἄτερ καὶ ἑτέρας κακώσεως. ὁ δ' εὐθὺς τὸ κελευσθὲν ἐπλήρου. καὶ παραλαβὼν τοῦτον εἰς τὴν ἰδίαν ἀπάγει σκηνήν. ἐπεὶ δὲ δι' ὅλης P. 261
νυκτὸς παρακαλῶν αὐτὸν καὶ συμβουλεύων οὐ μόνον οὐκ ἔπειθεν, ἀλλὰ καὶ ἀναισχύντως αὐτῷ προσφερόμενον ἑώρα, θυμοῦ πλησθείς, καὶ ἃ μὴ προστέτακτο ἐπιχειρεῖν ἠπείγετο. δοκιμάσας οὖν ἐτάσαι αὐτόν, ἤδη δὲ καὶ ἐτάζων, ἐπεὶ οὐδὲ πρὸς τὴν πρώτην προσβολὴν ὁ Διογένης ἀντισχὼν ἅπαντα ἀνομολογῆσαι διεβεβαιοῦτο, τῶν μὲν δεσμῶν λύει παραχρῆμα, καὶ γραφεὺς

10. ὡς παρ' αὐτοῦ ἔλεγε P, recte G. 20. πλησθεὶς C, πλεισθεὶς PG.

ne haud inscio hominem aggressum esse caedem. at Augustus, sermonibus hisce spretis, graviter etiam succensebat, eo usque illum perferens, ut licet ipsum iugulum admoto mucrone peteret, tamen nescire id simularet. his igitur in memoriam revocatis, cum magnus domesticus animum Diogenis flectere non posset, reversus imperatori contumaciam eius renuntiavit et quod negando omnino perstaret, etsi multum a se, ut aiebat, admonitus.

8. Tum imperator accersitum Muzacen cum armatis praesto esse iubet et Diogenem ex tabernaculo magni domestici in suum ipsius transferre ibique custodire, nullis tamen adhibitis vinculis aliave contumelia. fecit ille extemplo, quod imperatum erat, comprehensumque in tabernaculum suum abduxit. ubi vero per totam noctem adhortando et admonendo non solum eum non movit, verum etiam insolenter tractatum se vidit, ira incensus, quae non erat iussus, facere properavit. etenim decrevit tormentis eum exquirere; cumque iam exquireret Diogenesque ad primum do-

τηνικαῦτα προκαλεῖται γραφίδα κατέχων· Γρηγόριος δὲ ἦν ὁ Καματηρὸς νεωστὶ προσληφθεὶς καὶ ὑπογραμματεύων τῷ αὐτοκράτορι. καὶ Διογένης ἅπαντα ἀπαγγέλλων, οὐδὲ τὸν φό-
B νον παρεσιώπα. ἀναλαβόμενος δὲ πρωΐας ὁ Μουζάκης τάς τε ἐγγράφους αὐτοῦ ὁμολογίας καὶ ἃς ἀναζητήσας εὗρε παρά τινων πρὸς αὐτὸν πεμπομένας γραφάς, δι' ὧν ἐφαίνετο καὶ ἡ βασιλὶς Μαρία τὴν μὲν ἀποστασίαν τοῦ Διογένους εἰδέναι, τὸν δὲ φόνον μηδαμῶς συγχωρεῖν, ἀλλὰ καὶ μετ' ἐπιμελείας ἀπείργειν αὐτὸν οὐκ ἀπὸ τοῦ φόνου μόνον, ἀλλὰ καὶ ἐξ αὐτῆς ψιλῆς ἐννοίας, κομίζει τῷ βασιλεῖ. ὁ δὲ ταύτας ἐπαναγνοὺς καὶ πλείων τῶν ὑποπτευομένων ἐγγεγραμμένοις εὑρηκὼς καὶ τούτους ἐκκρίτους ἅπαντας, ἐν ἀμηχανίᾳ ἦν. οὐδὲ γὰρ ἔμελλεν τῷ Διογένει τοσοῦτον τῆς κοινότητος· εἶχε
C γὰρ αὐτοὺς πάλαι ὅλῃ ψυχῇ κεχηνότας καὶ πρὸς αὐτὸν ἀπονενευκότας· ἀλλὰ πᾶν τὸ τὰ πρῶτα φέρον τοῦ στρατιωτικοῦ τε καὶ πολιτικοῦ συντάγματος ἔσπευδεν ὑποποιήσασθαι. ὁ μὲν οὖν αὐτοκράτωρ τὰ τῆς βασιλίδος Μαρίας ἀνέκφορα μένειν ἠβούλετο. καὶ μέντοι καὶ διετήρησε τὸν ἀγνοοῦντα ὑποκριθεὶς δι' ἣν πρὸς αὐτὴν εἶχε πίστιν καὶ ὁμολογίαν καὶ πρὸ τοῦ τὰ τῆς βασιλείας ἀναδέξασθαι σκῆπτρα. διεδίδοτο δὲ

1. an προσκαλεῖται? γραφίδια G. 3. φθόνον G. 5. ἃς om. G. 11. ἐπαναγνοὺς G, ὑπαναγνοὺς P. lege πλείους. lege ἐγγεγραμμένους. 13. lege ἔμελε. 14. καὶ transponendum videtur post αὐτόν. 18. διετήρει G. 19. ὁμολόγως G.

loris sensum omnia fassurum se esse polliceretur, statim remissis fidiculis, scriba advocatur, stilo instructus. Gregorius is erat Camaterus, qui nuper imperatori ab epistolis factus erat. Diogenes omnia confessus est ac ne caedem quidem reticuit. mane igitur Muzaces, quibus confessiones illius perscriptae erant, tabulas et quas indagaverat litteras, a quibusdam ad Diogenem datas, ex quibus apparebat, imperatricem quoque Mariam defectionem Diogenis non ignorasse, sed caedis tamen consilium minime probasse, quin etiam operam dedisse, ut eum non a caede tantum, sed ab ipso consilio revocaret, haec igitur scripta imperatori defert. quae cum is legisset, magna affectus est sollicitudine. quippe plures, quam suspicatus erat, litteris consignatos reperit, et eos quidem principes civitatis omnes. Diogenes enim non admodum studuit demerendae multitudini, cuius egregiam erga se voluntatem studiumque dudum nosset, sed quidquid castrensis atque urbanae nobilitatis erat, conciliare sibi nitebatur. imperator, quae quidem imperatricem Mariam attinebant, sempiterno silentio premi voluit; ac sane nihil quidquam eorum se scire assimulavit ob amicitiae foedus, quod inierat cum illa, antequam imperii potitus esset.

πανταχοῦ, τὴν τοῦ Διογένους βουλὴν παρὰ τοῦ Πορφυρογεννήτου Κωνσταντίνου τοῦ βασιλέως καὶ υἱοῦ αὐτῆς διαμηνυθῆναι τῷ βασιλεῖ, κἂν ἄλλως εἶχε τὸ πρᾶγμα. ἐξ αὐτῶν δὲ τῶν ἐξυπηρετουμένων τῷ Διογένει τὰ τῆς βουλῆς ἠρέμα διεπορθ- D *μεύετο. ἐπεὶ δὲ ὁ Διογένης περιωρᾶτο καὶ δέσμιος ἤδη καὶ ὑπερόριος καθίστατο, καὶ οἱ τῆς αὐτοῦ βουλῆς ἔκκριτοι ὑπόπτους ἑαυτοὺς οἱ μὴ φθάσαντες ἁλῶναι ἤδη γεγενημένους διαγνόντες, περίφοβοί τε ἐφαίνοντο καὶ σκεπτόμενοι ὅ τι καὶ δράσαιεν, τούτους οἱ ἀμφὶ τὸν βασιλέα οὕτω κυμαινομένους κατανοοῦντες, ἐν ἀμηχάνοις ἑστάναι ἐδόκουν, ἐν στενῷ κομιδῇ τὰ κατ' αὐτὸν ὁρῶντες, ὡς εἰς ῥητούς τινας περιγραφείσης ἤδη τῆς τοῦ αὐτοκράτορος ἀγωγῆς, τὸν κίνδυνον ὑπὲρ κεφαλῆς ἐφιστάμενον ἤδη ἔχοντος. ὁ δὲ βασιλεὺς τοῖς λογισμοῖς ἀναλύων* P. 262 *εἰς τὰ ἐξ ἀρχῆς καὶ ποσάκις κατ' αὐτοῦ ὁ Διογένης ὁρμήσας καὶ σφαλεὶς ἐκ θείας δυνάμεως, αὐτὸς αὐτόχειρ τούτου φονεὺς ἤδη ἐφίστατο, πολλοῖς ἐκυμαίνετο λογισμοῖς. καὶ πολλὰς νοημάτων λαμβάνων μεταβολὰς καὶ τροπὰς παρ' ἑαυτῷ, ἐπεὶ ἅπαν τοῦ τε πολιτικοῦ καὶ στρατιωτικοῦ συντάγματος διεφθορὸς ταῖς τοῦ Διογένους θωπείαις ἐπέγνω, ἀποχρῶσαν μὴ ἔχων δύναμιν, ὥστε φρουρὰν πρὸς τοσούτους ἐπιστῆσαι, μήτε*

2. *αὐτοῦ* G. 3. *τῷ αὐτοκράτορι* CG. *δὲ*: lege *γάρ*. 5. an *ἐπεφωρᾶτο*? 6. *ὑπόπτους ἑαυτοὺς* transpone post *ἁλῶναι*. 9. *κυμαινόμενοι* CG. 11. *ὡς* — *ἐφιστάμενον* om. G. an *μετρητούς*? idem supra 237, 11. 282, 13. 296, 21. 12. lege *ἀρωγῆς*. 15. *φονεὺς τούτου* G.

quod autem vulgo ferebatur, Diogenis coniurationem a filio eiusdem Mariae Constantino Porphyrogenito, imperii insignibus ornato, detectam esse imperatori, id secus erat. ab ipsis enim Diogenis familiaribus consilia eius paulatim erant divulgata. ceterum cum Diogenes, sceleris compertus, in custodiam iam datus esset atque exsilio multatus, qui nondum capti erant coniurationis participes, quoniam in suspicionem se venisse intelligebant, conturbabantur metu nec, quid agerent, habebant. quos ubi imperatoris familiares ita anxios animi sollicitosque viderunt, ipsi difficultatibus circumventi sibi videbantur, cum in summas angustias imperatorem adductum conspicerent, quippe cuius salus, imminente periculo, paucorum tantum praesidio niteretur. atque hic animo reputans omnia inde ab initio et quoties Diogenes, insidiis sibi structis, divino numine frustratus, vitam suam ferro appetivisset, magno cogitationum aestu fluctuabat. tandem, multum re secum deliberata, cum senatus exercitusque principes omnes Diogenis blanditiis corruptos nosset, destitutusque esset copiis, quibus tot custodiendos traderet, nec vero etiam multitudinem in-

μὴν ἀκρωτηριάσαι λαὸν παμπληθῆ ἐθέλων, τὸν μὲν Διογένην καὶ Κεκαυμένον τὸν Κατακαλὼν τοὺς πρωταιτίους ἐς Καισα-
B *ρόπολιν ἐξέπεμψεν, ἐφ' ᾧ ἐμφρούρους καὶ δεσμώτας εἶναι μόνον, μηδὲν ἄλλο δεινὸν τέως κατ' αὐτῶν βουλευσάμενος, κἂν πάντες ἀκρωτηριάσαι τούτους αὐτῷ ξυνεβούλευον. ἠγάπα γὰρ τὸν Διογένην διαφερόντως καὶ τῆς προτέρας ἔτι περὶ αὐτὸν εἴχετο κηδεμονίας. ὑπερόριον δὲ καὶ τὸν ἐπ' ἀδελφῇ γαμβρὸν αὐτοῦ Μιχαὴλ τὸν Ταρωνίτην καὶ τὸν * * * * καὶ τὰς περιουσίας αὐτῶν ἀφελόμενος. τὰ δέ γε κατὰ τοὺς λοιποὺς ἀσφαλὲς ἐλογίσατο μηδὲ εἰς ἐξέτασιν ἀγαγεῖν ὅλως, ἀλλὰ διὰ συμπαθείας τούτους μᾶλλον καταμαλθάξαι. κατὰ μὲν οὖν τὴν ἑσπέραν ἕκαστος τῶν ὑπερορίων τὴν λαχοῦσαν αὐτῷ κα-*
C *τελάμβανεν, καὶ ὁ Διογένης τὴν Καισαρόπολιν· τῶν δ' ἄλλων οὐδεὶς τῆς οἰκείας μεθίστατο καταστάσεως, ἀλλὰ ἐπὶ ταὐτοῦ ἅπαντες μεμενήκεσαν.*

9. *Ἐν τούτοις δὲ τοῖς δεινοῖς ὄντων, τῇ μετ' αὐτὴν βουλομένου τοῦ αὐτοκράτορος μετακαλέσασθαι πάντας καὶ τὸ δοκοῦν αὐτῷ διαπράξασθαι, ὁπόσοι εἰς τὸν αὐτοκράτορα πόθον ἐγκάρδιον ἔτρεφον τῶν τε ἐξ αἵματος καὶ ἀγχιστείας αὐτῷ προσηκόντων, καὶ ὁπόσοι πατρῷα θεράποντες τότε παρῆσαν, ὀβριμοεργοὶ καὶ ταχεῖς μὲν συνιδεῖν τὸ μέλλον, ἀγχίνοοι δὲ τὸ συνοῖσον ἐν ἀσκέπτῳ καταπράξασθαι χρόνῳ, δεδιότες μὴ*

2. *Καυμένον* CG. 4. *μηδὲ* G. 7. *εἶχεν* G. 10. *ἀσφαλῶς* G. 14. *ἀλλ'* G. 20. *πρώην οἱ* CG. lege *πατρῷοι*. 21. *ὀβριμοεργοὶ* G, *ὀμβριμοεργοὶ* P. *ἀγχίνοες* CG. vid. Lobeck. Paralip. p. 174.

gentem poena afficere vellet, Diogenem et Cecaumenum Catacalonem coniurationis auctores Caesaropolim mittendos ibique in custodia citra noxam habendos statuit, quamquam omnes, ut excaecari eos iuberet, suadebant. quippe amantissimus erat Diogenis eademque, qua antea, cura eum prosequebatur. relegavit quoque sororis suae coniugem, Michaelem Taronitam et * * * *, bonaque eorum publicavit. reliquos e re videbatur ne in examen quidem vocare, sed ignoscendo potius sibi conciliare. sub vesperam igitur Diogenes Caesaropolim et alii alio, quo relegati erant, perrexere; ceterorum nemo loco summotus est, sed eodem omnes statu mansere.

9. In hac tanta difficultate rerum imperator convocare postridie concionem et quae sibi viderentur, exsequi cogitabat. quicunque ei cupiebant ex cognatis affinibusque, et quotquot paterni ministri aderant, viri fortes nec minus acres in coniiciendis futuris, quam in iis, quae usui erant, exsequendis promtissime: hi igitur metuebant, ne postridie, multitudine confluente, nonnulli eum adorti in ipso solio

πως τῇ μετ' αὐτὴν τοῦ πλήθους συρρεύσαντος ἐφορμήσαντό τινες διαμελίσωσιν αὐτὸν ἐπὶ τοῦ θρόνου, πολλάκις ξίφη ὑπὸ [D] τὰ ἀμφία φέροντες, ὥσπερ ποτὲ ἐκεῖνος ὁ σφαιρίζοντι τούτῳ ἐν σχήματι προσαίτου προελθών, (τὸ δὲ οὐκ ἄλλην εἶχε τὴν θεραπείαν ἢ τὸ τὰς πρὸς τὸν Διογένην ἁπάντων περιελεῖν ἐλπίδας, τὴν τῶν τούτου ὀμμάτων ὡς ἐν παραβύστῳ διαφημισάντων ἐκτύφλωσιν,) μεταπεμψάμενοί τινας διαπέμπονται τοὺς τοῦτο πρὸς πάντας διακηρυκεύσοντας ἐν ἀπορρήτοις, κἂν μηδ' εἰς νοῦν οὔπω τοῦτο τοῦ αὐτοκράτορος ὅλως ἀνήει. ὁ δὲ [P. 263] λόγος οὗτος κἂν ψιλὸς τότ' ἦν, εἰς ἔργον ὅμως προὐβέβηκε, καθὼς ὁ λόγος κατωτέρω διατρανώσειεν. ἐπὰν δὲ ὁ ἥλιος τοῦ [V. 208] ὁρίζοντος ὑπερκύψας λαμπρὸς ἀνέθορεν, ὁπόσοι τῶν περὶ τὸν αὐτοκράτορα μὴ τῆς τοῦ Διογένους λύμης μετειλήχασι καὶ αὐτοὶ δὲ οἱ πάλαι τῶν βασιλικῶν σωμάτων τεταγμένοι φύλακες, πρῶτοι πρὸς τὴν βασιλικὴν ἐχώρουν σκηνήν, οἱ μὲν ξίφη περιεζωσμένοι, οἱ δὲ δόρατα φέροντες, οἱ δὲ τὰς βαρυσιδήρους ῥομφαίας ἐπὶ τῶν ὤμων ἔχοντες, ἐκ διαστήματός τινος τοῦ βασιλικοῦ θρόνου εἰς μηνοειδὲς σχῆμα ἑαυτοὺς ἰλαδὸν καταστήσαντες καὶ οἷον ἐναγκαλισάμενοι τὸν αὐτοκράτορα, [B] θυμῷ στρατηγούμενοι πάντες καὶ θήγοντες κἂν μὴ τὰ ξίφη, ἀλλὰ τὰς καρδίας. ὅσον δὲ συγγενὲς ἐξ αἵματός τε καὶ ἀγχι-

1. lege ἐφορμήσαιντό τινες καὶ διαμελ. vid. annotat. 3. τούτου G. 4. lege προσελθών. 10. προβέβηκε CG. 11. τρανώσειεν CG. 14. lege δή. 16. δῶρα CG. 18. μηνοειδὲς F, μηνειοδὲς P, μοειδὲς G. 21. δὲ om. CG.

conciderent, gladios fortasse vestibus tegentes, sicut ille, qui quondam mendici habitu ludentem eum pila adierat. cui rei cum non aliter occurri posset, quam si omnium spes, in Diogene posita, ita praecideretur, ut eum clam excaecatum esse in vulgus spargerent, miserunt, qui hoc omnibus secreto renuntiarent, quamquam id ne in mentem quidem imperatori venerat. etsi is tunc quidem rumor erat merus, tamen in rem mox evasit, ut narratio infra docebit. luce igitur orta, quotquot ex imperatoris familiaribus Diogenis scelere infecti non erant, atque ipsi illi ad imperatorum praesidium olim constituti milites, ad regium tabernaculum primi tendunt, ensibus partim, partim hastis armati, alii rhomphaeas ferreas magno pondere humeris gestantes, nec procul ab imperatorio solio lunata acie turmatim consistunt imperatoremque quasi cingunt, strenui omnes et, si non tela, certe animos exacuentes. quidquid sanguinis aut affinitatis necessitudine eum contingebat, proxime solium stabat utrimque; a dextra laevaque ceteri collocati erant milites. imperator in throno terribilis adspectu sedebat, non regio magis quam militari ornatu, nec admodum

στείας τούτῳ προσῆκον, ἀγχοῦ τοῦ βασιλικοῦ θρόνου ἐφ' ἑκάτερα ἵσταντο. δεξιόθεν δὲ καὶ ἐξ εὐωνύμων ἕτεροι καθίσταντο ὑπασπισταί. ὁ δὲ βασιλεὺς ἐπὶ θώκου φοβερὸς προὐκάθητο, οὐ βασιλικῶς ἐσταλμένος μᾶλλον ἢ στρατιωτικῶς, οὐδὲ πολὺ μετέωρος, ὁποῖα τὰ ἐκείνου μὴ ἐπηρμένα. χρυσὸς δὲ ὅμως τὸν θρόνον ὑπήλειφεν, ὑπερανεστήκει τε τὴν κεφαλήν. συνέσταλτο C δὲ τούτου τὸ ἐπισκύνιον, τὴν δὲ παρειὰν ἐπιπλέον τότε ὁ ἀγὼν κατεφοίνισσε, τὰ δὲ ὄμματα πεπηγότα ἐπὶ συννοίας καὶ πλήρη ἐνθυμημάτων ὑπεμφαίνοντα τὴν ψυχήν. συνέθεον δὲ ἅπαντες ὁμοῦ πεφοβημένοι καὶ τὰς ψυχὰς μικροῦ ἐς ἀέρα ὑπὸ φόβου ἐξερεύξασθαι ἐκβιαζόμενοι, τῶν μὲν ὀξύτερον βέλους ὑπὸ τῆς σφῶν συνειδήσεως κεντουμένων, τῶν δὲ τὴν καινὴν ὑποψίαν δεδιότων. φωνὴ δέ τις παρ' οὐδενὸς ἐξηκούετο, ἀλλ' ἀτενὲς πρὸς τὸν ἐφεστηκότα τῇ πύλῃ τῆς σκηνῆς ἀπονεύοντες ἐπτοημένοι ἑστήκεσαν. ἀνὴρ δὲ οὗτος καὶ εἰπεῖν συνετὸς καὶ καταπράξασθαι δυνατός· Τατίκιος τούτῳ τὸ ὄνομα. τούτῳ ὁ βασιλεὺς ἐνατενίσας, δοῦναι τοῖς ἔξωθεν τὴν εἴσοδον διὰ τοῦ βλέμ- D ματος ἐνέφηνεν. ὁ δὲ παραχρῆμα τῆς εἰσόδου τούτοις παραχωρεῖ. οἱ δὲ καίπερ δεδιότες, ἀλλ' ὅμως εἰσῄεσαν, τετρεμμένοι τε τὰς ὄψεις καὶ βραδεῖ ποδὶ στείχοντες. κατὰ στοίχους δὲ τὴν στάσιν λαχόντες, ἐκαραδόκουν τὸ μέλλον ἕκαστος δεδιώς, ὡς τὸν περὶ ψυχῆς λοίσθιον δρόμον δραμούμενος. ἀλλ' οὐδὲ αὐτὸς ὁ αὐτοκράτωρ ἐθάρρει παντάπασιν, (κατ'

1. αὐτῷ CG. 3. φοβεροῦ G. 4. μηδὲ CG. 5. ἐπηρμένου G. 6. lege ὑπείληφεν. 10. ὑπὸ ἐξερεύξασθαι φόβου P, recte CG. 11. βιαζόμενοι CG. 15. συνετὰ — δυνατὰ G. 17. ἔξω CG. 19. lege τετραμμένοι.

excelsus, ut statura haud procera erat. quamquam auro erat solium circumdatum, et ipse supereminebat capite. supercilia eius contracta erant, genae ob animi contentionem solito rubicundiores, oculi in cogitatione defixi animumque consiliorum plenum prodentes. concurrebant cuncti pariter conterriti et prae metu tantum non exanimes, quippe qui partim conscientia aculeo acrius pungerentur, partim novam timerent suspicionem. nec ulla vox a quoquam audiebatur, sed pavidi stabant, intentis in tabernaculi portae custodem oculis. erat is Taticius, vir et consilio prudens et manu strenuus: quem cum nutu iussisset imperator eos, qui foris essent, intro admittere, intrandi iis continuo potestatem dedit. illi, quantumvis trepidi, tamen introiere, confuso vultu et pede cunctabundo. mox ordine collocati, quid futurum esset, exspectabant animo anxio, tanquam de vita periclitaturi. nec vero imperator ipse plane vacuus erat metu, (humanitus dico,

ἄνθρωπον λέγω, εἰ μὴ ὅσον εἰς θεὸν ἀναφέρων τὸ πᾶν,) δεδιὼς τὸ σύμμικτον τῶν παρεστώτων, μὴ ἄλλο τι ὀξὺ καὶ δεινὸν κατ' αὐτοῦ μελετήσαιεν. στερροτέροις δὲ λογισμοῖς ἑαυτὸν ἑδράσας καὶ ἅπαξ τοῖς ἀγῶσιν ἐγκαταστάς, τῆς πρὸς P. 264
αὐτοὺς δημηγορίας ἤρχετο· οἱ δὲ καὶ αὐτῶν ἰχθύων ἀφωνότεροι ἑστήκεσαν, καθαπερεὶ τὰς γλώττας ἐγκεκομμένοι· "οἴδατε," λέγων, "ὡς οὐδὲν δεινὸν παρ' ἐμοῦ ὁ Διογένης ἐπεπόνθει ποτέ. οὔτε γὰρ τὴν ἀρχὴν ταυτησὶ τῆς βασιλείας ἐκ τοῦ πατρὸς αὐτοῦ ἀφειλόμην ἐγώ, ἀλλ' ἕτερος, οὐδέ τι δεινὸν ἢ λυπηρὸν τὸ παράπαν εἰς αὐτὸν πέπραχα. καὶ τῆς βασιλείας εἰς ἐμὲ θεοῦ πάντως νεύσει μεταβιβασθείσης, οὐ μόνον αὐτὸν καὶ τὸν αὐτοῦ ἀδελφὸν Λέοντα ἐπὶ ταὐτοῦ διεφύλαξα, ἀλλ' ὡς οἰκείους παῖδας καὶ ἐπόθησα καὶ ἐχρησάμην. τὸν δὲ Νικηφόρον καὶ πολλάκις κατ' ἐμοῦ βουλευόμενον φωράσας, τοσαυτάκις B
συμπαθείας ἠξίωσα. καὶ μηδὲ πάλιν διορθούμενον ἠνειχόμην ἐπικρύπτειν τὰ πολλὰ τῶν αὐτοῦ μηνιμάτων, κατανοῶν τὴν V. 209
τῶν ἁπάντων πρὸς αὐτοὺς δυσμένειαν, κἂν μηδὲν τῶν παρ' ἐμοῦ εἰς αὐτὸν γενομένων ἀγαθῶν τὸ δολερὸν τῆς αὐτοῦ γνώμης ἠλλοίωσεν. ἀλλ' αὐτὸς ἀντὶ πάντων θάνατόν μοι ἐπεψηφίσατο." ἐπεβόησαν δ' ἐπὶ τούτοις ἅπαντες, ὡς οὐ βούλοιντ' ἂν ἕτερον προεστηκότα ἐν βασιλείῳ ἰδεῖν σχήματι, οὐ τοῦτο οἱ πλείους βουλόμενοι, ἀλλ' ἦσαν θῶπες αὐτῶν οἱ λό-

3. στεῤῥότερον CG. 15. an διορθουμένου, ἠνειχόμην ἐπικρύπτων? 17. αὐτὸν τὴν G.

sine fiduciae respectu, qua in deo acquiescere solebat,) verebatur enim a multitudine omnis generis, ne quid gravius contra se moliretur. tamen cum se animo obfirmasset semelque periculum subisset, verba facere hunc in modum coepit, dum illi ipsis piscibus mutiores adstant, tanquam linguis excisis. "scitis, inquit, nulla unquam in re laesum esse a me Diogenem. non enim ego patrem eius imperio privavi, sed alius, nec omnino iniqui in eum molestive quicquam feci; immo imperio dei voluntate ad me translato, non modo ipsum eiusque fratrem Leonem eodem in statu manere sivi, verum etiam paterno amore, acsi filii essent mei, amplexus sum. Nicephorum autem, saepius in insidiis mihi struendis deprehensum, nunquam non venia donavi, et cum parum ad bonam frugem proficeret, sustinui tamen pleraque ab eo scelerate suscepta negligere, commune in istam familiam odium reputans. quamquam nihil eorum, quae bene illi feci, subdolum eius animum frangere potuit, sed pro his omnibus ipse mihi necem inferre decrevit." ad haec cuncti nolle se alium principem clamabant, etsi plerique non ita sentiebant, sed adulabantur

C γοι, τὸν ὑπόγυιον διαδρᾶναι κίνδυνον ἐντεῦθεν μηχανώμενοι. ὁ δὲ βασιλεὺς προαρπάσας τὸν καιρόν, συμπαθείας κοινῆς τοὺς πλείονας ἠξίου, ὡς τῶν αἰτίων τῆς βουλῆς ὑπερορίαν πρότερον κατακριθέντων. ἐπὶ τούτου θροῦς ἦρτο πολύς, οἷον οὐδείς πω τῶν τότε παρόντων εἰς ἔτι καὶ νῦν τῶν ὤτων, ὥς λέγουσιν, ἐντὸς εἰσεδέξατο, τῶν μὲν ἐπαινούντων τὸν βασιλέα καὶ θαυμαζόντων τῆς ἀνεξικακίας καὶ πρᾳότητος, τῶν δὲ τοὺς ὑπερορίους διασυρόντων καὶ θανάτου ἀξίους εἶναι διενισταμένων, ὁποῖα τὰ τῶν ἀνθρώπων. ὃν γὰρ τὴν σήμερον μακαρισμοῦ ἀξιοῦσι, προπέμπουσί τε καὶ διὰ τιμῆς ἄγουσιν, ἐπὰν D περιτραπέντα τούτῳ τοῦ βίου τὸν κύβον θεάσοιντο, πᾶν τοὐναντίον εἰς αὐτὸν ἐνδεικνύμενοι οὐκ αἰσχύνονται. ὁ δὲ βασιλεὺς νεύματι τούτους κατασιγάσας, αὖθις ἔφη· "οὐ χρὴ θορυβεῖσθαι, οὐδὲ συγχεῖν τὴν προκειμένην ὑπόθεσιν. ἔγωγε γάρ, καθὼς ἔφην, ἅπαντας συμπαθείας ἀξιώσας, πάλιν ὁποῖος τὰ πρότερα πρὸς ὑμᾶς ἔσομαι." ἐν ᾧ δὲ τούτους συμπαθείας ὁ βασιλεὺς ἠξίου, ἄτερ τῆς αὐτοῦ γνώμης ἀποστείλαντες οἱ P. 265 τὴν βουλὴν ἐκείνην βουλευσάμενοι τῶν ὀμμάτων τὸν Διογένην ἐστέρησαν. ταὐτὰ τούτῳ καὶ κατὰ τοῦ Κεκαυμένου Κατακαλὼν ὡς τῆς αὐτοῦ βουλῆς κεκοινωνηκότα τῷ Διογένει κατεψηφίσαντο. ἡμέρα δὲ ἦν, ἐν ᾗ ἡ τῶν κορυφαίων Ἀποστό-

1. an μηχανωμένων? 5. πω add. CG et in margine P. ὤτων C, ὄντων PG. totum locum sic corrige τῶν τότε παρόντων καὶ εἰς ἔτι καὶ νῦν περιόντων τῶν ὤτων. 9. μακαρισμῶν C, μακαρισμὸν G. 18. ἐκείνου CG. 20. lege αὐτῆς. lege κεκοινωνηκότος.

tantum, quo praesens periculum effugerent. imperator vero, hac opportunitate usus, gratiam se facere plerisque criminis dixit, quod coniurationis principes exsilio damnati iam essent. ibi tum ingens oritur tumultus, qualem nemo eorum, qui tum aderant atque etiamnum superstites sunt, audire se meminit, aliis quidem laudantibus imperatorem ac propter patientiam clementiamque admirantibus, aliis exsules lacerantibus morteque dignos contendentibus, ut hominum mos est. quem enim hodie beatum praedicant, cui pompam faciunt, quem omni prosequuntur honore, simulac vitae sortem conversam viderint, nullo pudore prohibentur, quominus contraria omnia faciant. imperator, nutu silentio indicto, "non decet, inquit, tumultuari et propositam causam interrumpere. ego enim, ut dixi, ceteros omnes indulgentia dignatus, erga vos rursus, qualis antea, ero." interea dum hi venia donantur, consilii illius auctores, imperatore invito, mittunt, qui Diogeni oculos eruerent. eodem supplicio et Cecaumenum Catacalonem, quippe eius participem consiliorum, affecerunt. dies erat princi-

λων μνήμη ἐτελεῖτο. ἀλλὰ ταῦτα μὲν ἔκτοτε καὶ μέχρι σήμερον λογοποιεῖται. εἰ δὲ καὶ ὁ βασιλεὺς περὶ τούτου παρ' αὐτῶν εἰσηγηθεὶς ἐνδέδωκεν, ἢ καὶ τὸ πᾶν τῆς ἐκείνου γνώμης ἦν, θεὸς ἂν εἰδείη· ἔγωγε τέως οὐ πάνυ τι γινώσκειν ἔχω βεβαίως.

10. Τοιαῦτα μὲν οὖν τὰ ἐκ τοῦ Διογένους συμπεσόντα τῷ αὐτοκράτορι, παραδόξως τῆς ἀμάχου τοῦ ὑψίστου χειρὸς ῥυσαμένης τοῦτον ἐξ ὑπογυΐου κινδύνου. αὐτὸς δὲ πρὸς οὐδὲν B τῶν συμπιπτόντων ἐμαλακίζετο, ἀλλὰ καὶ ὣς κατευθὺ Δαλματίας ἤλαυνε. μεμαθηκὼς δὲ ὁ Βολκάνος τὴν εἰς τὸ Λιπένιον τοῦ αὐτοκράτορος ἔλευσιν καὶ ἐπικαταλαβόντα τοῦτον θεασάμενος, καὶ πρὸς τὰς Ῥωμαϊκὰς παρατάξεις καὶ τὸν συνασπισμὸν ἐκεῖνον καὶ τὴν στρατηγικὴν πανοπλίαν μηδ' ἀντωπῆσαι δυνάμενος, ἀποστείλας παραχρῆμα τὰ περὶ εἰρήνης ἠρώτα, ὑπισχνούμενος ἅμα καὶ αὐτοὺς τοὺς προϋπεσχεθέντας ὁμήρους ἀποστεῖλαι καὶ μηδέν τι δεινὸν τοῦ λοιποῦ διαπράξασθαι. δέχεται τοίνυν τὸν βάρβαρον ἀσμένως ὁ αὐτοκράτωρ, ἀκηδιῶν οἷον καὶ ἀποστρεφόμενος τὴν ἐμφύλιον μάχην· C κἂν γὰρ Δαλμάται ἦσαν, ἀλλ' ὅμως Χριστιανοί. ἐκεῖνος δ' εὐθὺς τεθαρρηκὼς προσεληλύθει συνεπαγόμενος τούς τε συγγενεῖς καὶ ἐκκρίτους τῶν ζουπάνων, καὶ προθύμως ὁμήρους τοὺς αὐτοῦ ἀνεψιαδεῖς τῷ αὐτοκράτορι παραδέδωκε, τόν τε

15. τοὺς om. G. προυπεσχημένους CG. 18. τὴν ἐμφύλιον om. CG. 19. καὶ G. δὲ G.

pum Apostolorum memoriae sacratus. atque haec quidem fama ex illo tempore etiamnunc tenet. utrum etiam imperator, edoctus ab illis, assenserit, an totum ipsius fuerit consilium, deus sciverit: ego certa ea de re nihil prorsus habeo comperti.

10. Tali modo a Diogene insidiae structae erant imperatori, quem mirum in modum invicta summi numinis vis ex praesenti periculo eripuit. ipse ob ea, quae sibi acciderant, nihilo demissiore erat animo, sed vel sic recta in Dalmatiam contendit. quem ubi Bolcanus Lipenium advenisse cognovit, quoniam Romanorum aciem omnemque bellicum apparatum ne intueri quidem contra sustinuit, statim legatos de pace misit, pollicens se et promissos obsides redditurum et ab omni deinceps iniuria temperaturum. accepit perlibenter barbarum imperator, bellum exosus civile; quanquam enim Dalmatae, Christiani tamen erant. ille statim magna fiducia se ad eum confert, comitantibus cognatis zupanorumque electis, ac lubenti animo obsides imperatori tradidit consobrinorum suorum filios, unum Uresin nomine, alterum Stephanum Bolcanum, praeterea alios, nu-

Οὔρεσιν καλούμενον καὶ Στέφανον τὸν Βολκάνον, καὶ ἑτέρους
τὸν εἴκοσι ἀριθμὸν ἀποπληροῦντας. οὐ γὰρ ἐνὸν ἦν αὐτῷ
V. 210 ἄλλως πως τοῦ λοιποῦ διατεθήσεσθαι. ὁ δὲ αὐτοκράτωρ
ὁπόσα διὰ μάχης καὶ σιδήρου ἀνύεσθαι πέφυκεν, εἰρηνικῶς
διαλύσας, πρὸς τὴν βασιλεύουσαν ἐπανέστρεψεν. τοῦ μέντοι
D Διογένους ἐκήδετο πάνυ, καὶ δακρύων ὡρᾶτο καὶ βύθιον στέ-
νων δι' αὐτὸν ἐξηκούετο. πολλήν τε τὴν περὶ αὐτὸν φιλο-
φροσύνην ἐπεδείκνυτο, καὶ ἀνακτᾶσθαι τοῦτον ἔσπευδεν, καὶ
τοῖς πλείοσι τῶν ἐξ αὐτοῦ ἀφαιρεθέντων αὖθις τοῦτον ἀπο-
κατέστησεν. αὐτὸς δὲ κατακώχιμος ὑπὸ τῆς λύπης ὢν καὶ
τὴν ἐν μεγαλοπόλει διατριβὴν ἀποστρεφόμενος, τοῖς ἰδίοις
P. 266 ἀγροῖς ἐμφιλοχωρῶν ἦν, ταῖς τῶν παλαιῶν προσανέχων διό-
λου βίβλοις, ἄλλων ὑπαναγινωσκόντων αὐτῷ. στερούμενος
γὰρ φωτός, ἑτέρων ἐχρᾶτο πρὸς τὴν ἀνάγνωσιν ὄμμασιν.
ἀνὴρ δὲ οὗτος τοσοῦτος τὴν φύσιν, ὡς καὶ μὴ ὁρῶν τὰ τοῖς
ὁρῶσι δυστέκμαρτα ῥᾳδίως καταλαμβάνων. πᾶσαν μὲν δὴ
ἔκτοτε παιδείαν διελθὼν καὶ αὐτὴν δὴ τὴν περίκλυτον γεω-
μετρίαν, τὸ καινότατον, φιλοσόφων τινὶ ἐντυχὼν διὰ στε-
ρεῶν τούτῳ τὰ σχήματα παρέχειν ἐπέταττεν· ὁ δὲ τῇ τῶν
χειρῶν ψηλαφήσει ἁπάντων τῶν τῆς γεωμετρίας θεωρημά-
B των τε καὶ σχημάτων ἔσχε κατάληψιν, καθάπερ ἐκεῖνος ὁ
Δίδυμος, ὃς δι' ὀξύτητα νοῦ καὶ ἄνευ ὀμμάτων μουσικῆς καὶ

1. *Βελκάνον* CG. 5. *ἐπανέστρεφεν* CG. 14. *ὄμμασιν* om. P, recte CG. 15. *ὁρῶντα* PG, em. Brockhoffius. 16. lege *καταλαμβάνειν*.

mero viginti. neque enim alia conditione pacisci ei in posterum licuit. at imperator, quae bello armisque confici solent, pace consecutus, in urbem rediit. Diogenis autem rebus non desiit consulere eiusque casum lacrimis et gemitu prosequi. ac magnam omnino benevolentiam homini praestitit consolarique eum studuit et pleraque bona, quibus multatus erat, eidem restituit. at Diogenes, aegritudini indulgens, urbanae vitae odio in praediis suis degebat et in veterum scriptis omne studium collocabat, aliis ei praelegentibus. etenim luminibus privatus, alienis ad legendum utebatur oculis. atque hic vir tanto erat ingenio, ut, cum caecus esset, tamen ea facile perspiceret, quae oculis praediti vix perspiciunt. universum exinde disciplinarum orbem emensus est atque ad ipsam, quod maxime mirere, geometriam illam accessit, duce philosopho quodam, quem sibi ex solida materia figuras efformare iussit. manuum enim contrectatione omnia geometriae theoremata atque figuras comprehendebat, sicut Didymus ille, qui oculis captus ingenii quadam vi summam artis musicae et geo-

γεωμετρίας εἰς ἄκρον ἐλήλυθεν, εἰ καὶ μετὰ τὴν γνῶσιν τούτων εἰς αἵρεσιν ἄτοπον συνηλάθη, τὸν νοῦν ἐκτυφλωθεὶς ὑπὸ κενοδοξίας, καθάπερ ὑπὸ πάθους τὰ ὄμματα. θαυμάζει μὲν οὖν ἅπας ταῦτα ἀκούων. ἐγὼ δὲ καὶ τεθέαμαι τὸν ἄνδρα καὶ τεθαύμακα καὶ περὶ τοιούτων λαλοῦντος ἀκήκοα· μηδ' αὐτὴ δὲ τῶν τοιούτων παντάπασιν ἀμελέτητος οὖσα, ἐπεγίνωσκον C τοῦτον ἀκριβῆ τῶν θεωρημάτων γνῶσιν ἔχοντα. εἰ δὲ καὶ περὶ λόγους ἠσχόλητο, τῆς παλαιᾶς ὅμως κατὰ τοῦ αὐτοκράτορος οὐκ ἀφίστατο μηνίδος, ἀλλὰ τὸν τῆς τυραννίδος λογισμὸν ὑποτυφόμενον εἶχε διόλου. καὶ μέντοι καί τισιν αὖθις τοῦ ἀπορρήτου τούτου κεκοινώνηκε λογισμοῦ, ἀφ' ὧν εἷς τις τὰ βεβουλευμένα προσελθὼν προσαγγέλλει τῷ αὐτοκράτορι. μεταπεμψάμενος δὲ τὸν Διογένην, ἐπυνθάνετο περὶ ὧν τε βε- D βούλευται καὶ περὶ τῶν τῆς βουλῆς αὐτῷ κεκοινωνηκότων. καὶ ὃς πάντα θᾶττον ἀνομολογήσας, παραχρῆμα συμπαθείας ἠξίωτο.

2. συνηλάθη τὸν νοῦν, ἐκτυφλωθεὶς PG. correxi. 5. τούτων G. 12. an ἀπαγγέλλει? 14. αὐτοῦ G. 15. ὃς : οὐ G.

metriae nactus est scientiam; quamquam is quidem ex harum rerum cognitione in absurdam haeresin incidit, cum mentem eius obcaecaret superbia, quemadmodum morbus oculos. scio haec audientibus mira visum iri. ego vero Diogenem et vidi et admirata sum et de eiusmodi rebus disserentem audivi; cumque ipsa in eo genere non plane rudis essem, accuratam eum theorematum cognitionem habere intellexi. quamvis autem litteris vacaret, a veteri tamen in imperatorem odio non destitit, sed gliscentem semper tyrannidis cogitationem habuit; quin etiam nonnullos rursus clandestini huius consilii participes fecit. e quibus unus rem ad imperatorem detulit, qui Diogenem arcessivit eumque et de iis, quae ipse moliretur, et de coniurationis sociis interrogavit. atque hic omnia quantocius confessus, veniam statim impetravit.

BONNAE
TYPIS CAROLI GEORGII.